ΓΕΩΡΓΙΟΥ ΤΟΥ ΣΧΟΛΑΡΙΟΥ ΤΟ ΣΥΝΤΑΓΜΑ:

ἐπιγραφόμενον,

ΟΡΘΟΔΟΞΟΥ ΚΑΤΑΦΥΓΙΟΝ.

Τοῦ ὕστερον γενομένου Γενναδίου Μοναχοῦ. τμῆμα πρῶτον. περὶ τῶν αἰτιῶν τοῦ σχίσματος καὶ ἐπιδρομῶν. καὶ ὅτι τὰ κατὰ τὴν τρίτην σύνοδον, σαφὴς ἀπόδειξις, τοῦ γραικοὺς ὀρθῶς φρονεῖν.

Χάριν παράσχου Χριστὲ τοῖς ἐμοῖς πόνοις.

Θεοῦ διδόντος, οὐδὲν ἰσχύει φθόνος,
Καὶ μὴ διδόντος, οὐδὲν ἰσχύει πόνος.

Παῦλος πρὸς Ἐφεσίους, δ. 25.

Ἀποθέμενοι τὸ ψεῦδος, λαλεῖτε ἀλήθειαν ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ, ὅτι ἐσμὲν ἀλλήλων μέλη.

Ἰωάννης, ιε. 26.

Ὅταν ἔλθῃ ὁ παράκλητος, ὃν ἐγὼ πέμψω ἡμῖν, τὸ πνεῦμα τῆς ἀληθείας ὃ παρὰ τοῦ πατρὸς ἐκπορεύεται.

Παῦλος πρὸς Γαλάτας, α. 8.

Ἐάν τις εὐαγγελίσηται ὑμῖν ἄλλο παρ' ὃ εὐαγγελισάμην ὑμῖν, ἀνάθεμα ἔστω.

Ἐκ τῆς ἐπιστολῆς τοῦ ἁγίου Ἰγνατίου πρὸς Πολύκαρπον Σμύρνης.

Πᾶς ὁ λέγων παρὰ τὰ διατεταγμένα, κἂν ἀξιόπιστος ᾖ, κἂν νηστεύῃ, κἂν παρθενεύῃ, κἂν σημεῖα ποιῇ, κἂν προφητεύῃ, λύκος σοι φαινέσθω ἐν προβάτου δορᾷ, προβάτων φθορὰν κατεργαζόμενος.

Παῦλος πρὸς Τιμόθεον· β. Κεφαλ. δ. 3.

Ἔσται γὰρ καιρὸς ὅτε τῆς ὑγιαινούσης διδασκαλίας οὐκ ἀνέξονται, ἀλλὰ κατὰ τὰς ἰδίας ἐπιθυμίας ἑαυτοῖς ἐπισωρεύσουσι διδασκάλους, κνηθόμενοι τὴν ἀκοήν· Καὶ ἀπὸ μὲν τῆς ἀληθείας τὴν ἀκοὴν ἐπιστρέψουσι, καὶ ἐπὶ τοὺς μύθους ἐκτραπήσονται.

Παῦλος πρὸς Φιλιππησίους. γ. 2.

Βλέπετε τοὺς κύνας, βλέπετε τοὺς κακοὺς ἐργάτας, βλέπετε τὴν κατατομήν.

Παῦλος πρὸς Κορινθίους. β. Κεφ. ια. 13.

Οἱ γὰρ τοιοῦτοι ψευδαπόστολοι ἐργάται δόλιοι, μετασχηματιζόμενοι εἰς ἀποστόλους Χριστοῦ· καὶ οὐ θαυμαστόν. αὐτὸς γὰρ ὁ Σατανᾶς μετασχηματίζεται εἰς ἄγγελον φωτός. οὐ μέγα οὖν εἰ καὶ οἱ διάκονοι αὐτοῦ, μετασχηματίζονται, ὡς διάκονοι δικαιοσύνης. ὧν τὸ τέλος ἔσται, κατὰ τὰ ἔργα αὐτῶν.

ΓΕΩΡΓΙΟΥ ΤΟΥ ΣΧΟΛΑΡΙΟΥ ΤΟ ΣΥΝΤΑΓΜΑ:

Τοῦ ὕστερον γενομένου Γεναδίου Μοναχοῦ. τμῆμα πρῶτον. περὶ τῶν αἰτίων τοῦ σχίσματος καὶ ἐπιδρομῶν. καὶ ὅτι τὰ κατὰ τὴν τρίτην σύνοδον σαφὴς ἀπόδειξις, τοῦ γραικοὺς ὀρθῶς φρονεῖν.

ΠΡΟΟΙΜΙΟΝ.

Τὸν θεῖον λόγον καὶ τῆς ἀληθείας ἔφορον τοῦ παρόντος προστησάμενος λόγου, περὶ τοῦ τῆς ἀληθείας διαλέξομαι πνεύματος· δυοῖν ἕνεκα τουτὶ τολμήσας καὶ προελόμενος. ἑνὸς μὲν καὶ πρώτου, ὅτι τῶν συγγραψαμένων κατὰ Λατίνων, ἐξ ὅτου τῆς καθολικῆς Ἐκκλησίας ἐκεῖνοι διέστησαν, οἱ μὲν ἀρχαιότεροι, βραχείας ἐνεστήσαντο πραγματείας· καὶ οὔτε μετὰ πολλῆς τῆς περιουσίας τῷ ψεύδει πεπολεμήκασιν, οὔτε τὴν ξύμπασαν τῆς καθολικῆς Ἐκκλησίας γνώμην ἐξέθεντο, περὶ ἑκάστης τῶν τῷ ζητήματι συνεζευγμένων ἀποριῶν. Ἔνιοι δὲ αὐτῶν, κἂν τοῖς καιρίοις ἀσθενέστερον ἠγωνισμένοι, τὰς ἐν τοῖς ἔθεσι καὶ θρησκεύμασιν ἁμαρτίας Λατίνων, ἐλέγχουσι φορτικώτερον. τῶν δὲ ὑστέρων ἁπάντων, βέλτιον μὲν καὶ ἱκανώτερον, καὶ τῷ μεγέθει τῆς ὕλης ταύτης συμμέτρως, μάλιστα μὲν ὅ, τε θεσπέσιος Νεῖλος, καὶ ὁ Ἱερὸς Θεοφάνης: μετ' αὐτοὺς δὲ, καὶ τῶν Ἱερῶν Γρηγορίων οἱ ὁμώνυμοί τε καὶ ἀκριβεῖς ὀπαδοὶ, συνεγράψαντο. ἀλλὰ καὶ τούτων τῇ διδασκαλίᾳ, σοφισταί

τινὲς μετὰ ταῦτα ἐπιφυέντες, νοῦν μὲν ἔχουσιν ἀκροαταῖς, οὐδὲν πλέον ὑπέρ τε Λατίνων καὶ ἑαυτῶν ἀνύουσι, δι' ὧν συγγεγράφασιν, ἢ ὅτι σοφισταί τινες δοκοῦσιν εἶναι ὡς ἀληθῶς, καὶ τῆς ἀρχαίας τε καὶ ἀληθινῆς θεολογίας παραχαράκται. τοῖς δὲ δι' ἀπαιδευσίαν εὐκολωτέροις, ἢ διὰ πονηρίαν ἀμβλυωτέροις τοὺς τῆς ψυχῆς ὀφθαλμοὺς, δοκοῦσι τὶ λέγειν. καὶ ἡ νῦν δὲ τῶν ἡμετέρων συναρπαγὴ πρὸς Λατίνους, πολλὰ τῶν πρόσθεν λανθανόντων ἐξέφηνεν, καὶ ἐπὶ τούτοις, ὥσπερ ἅπασιν, τοῖς χρόνῳ μὲν ὑστέροις, ἐπιμελεστέροις δὲ ὁτιοῦν ἐρευνᾶσθαι, συμβαίνειν εἴωθεν. οὕτω καὶ ἐμοὶ πάντων τῶν ἑκατέρωθεν συγγεγραμμένων ἐπεληλυθότι καλῶς, καὶ ταῖς ἱεραῖς Βίβλοις ἐγκύψαντι, πόρρωθεν ἀρξαμένῳ τῆς περὶ ταῦτα σπουδῆς, ἐξευρεῖν τὶ πλέον, ἐπὶ συνηγορίᾳ μὲν τῆς ἀληθείας, καθαιρέσει δὲ τοῦ ψεύδους, ἐγγέγονε. καὶ εἰ τοῦθ' οὕτως ἔχῃ, κρινοῦσιν, οἷς ποτε τοῦ παρόντος λόγου διακοῦσαι μελήσει· οὓς οἶμαι, κἂν μηδὲν πλέον εὕρωσιν ἐν αὐτῷ, μηδ' οὕτω φαυλοτέραν περὶ ἡμῶν ψῆφον ἐξειπεῖν, δικαίους ὄντας. καὶ διὰ τοῦτο ἐχρῆν ἀντιστῆναι μὲν, τοῖς σοφισταῖς ἐκείνοις. τοῖς δὲ ὑπὲρ τῆς ἀληθείας συστῆναι συγγράμμασι, καὶ τὸ ἐνδέον ἐκείνοις, ἀναπληρῶσαι· συγγέγραπται μὲν γὰρ ἐκεῖνα, λίαν ἂν ἐνδεῶς, κατὰ τοὺς οἰκείους ἕκαστα χρόνους. Ἀλλ' ἡ νῦν ἐνεστῶσα χρεία, καὶ προσθήκην τινὰ οὐ μικρὰν ἀπῄτει, καὶ ἐμοὶ ταύτην φέρειν ἔδοξε δεῖν, καὶ τῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ συνεισφέρειν, μεθ' ὅσης ἔχω τυγχάνων παρασκευῆς. τὴν μὲν προθυμίαν, οἴκοθεν παρεχομένῳ. τὴν δὲ τοῦ κατορθώσειν ἐλπίδα, ἐπὶ τῷ τῆς ἀληθείας πρυτάνει, καὶ τῷ καλῷ παραδείγματι τῶν ἡμετέρων καθηγουμένων ἐρείδοντι· οἷς κατ' ἴχνος ἑπόμενον, ἀδύνατον ἐστὶν ἀνοδίας πειραθῆναι τινός. Τούτου τε τοίνυν ἕνεκα, ἐπῆλθέ μοι τὸν παρόντα συγγράψαι λόγον, ἑπομένῳ τῇ δόξῃ, καὶ προαιρέσει, τῶν Ἱερῶν ἐκείνων πατέρων, καὶ ἅμα πρὸς τὴν τῶν νῦν ἐναντιουμένων τῷ παναγίῳ πνεύματι προπέτειαν, χαλεπήναντι. λέγω δὲ τοὺς ἐπιβουλομένους τὸ τῆς εἰρήνης εἴδωλον τοῦτο, καὶ συγγράμμασιν ὑπερείδειν οὐδὲν ὑγιὲς ἔχουσι, καὶ ἔργοις, ἃ τυράννοις μᾶλλον ἁρμόττει, τῆς δὲ ἡμετέρας Αὐλῆς καθάπαξ ἐστὶν ἀλλότρια. οἱ σοφοὶ τὸν πρόσθεν χρόνον γεγονότες καὶ ἀγαθοὶ, καὶ τῶν πατρίων

ζηλω-

ζηλοῦνται διδαγμάτων, ὑπὸ τῆς ἔναγχος γενομένης τῶν ἡμετέρων συναρπαγῆς (καὶ ἄλλοτέ ποτε, παραχωρήσαντος τοῦ Θεοῦ, τῇ Πόλει ταύτῃ συμβάσης) οὕτω σφόδρα ἐξεβακχεύθησαν, ὥστε τὴν ἀληθῆ δικαίαν κρίσιν περί τε τῶν θείων, καὶ τῶν σφίσιν αὐτοῖς συμφερόντων, παντάπασιν ἀγνοῆσαι. ὃ δὴ καὶ περὶ ἐμοῦ σφᾶς πεποίηκεν, ἢ ἀμφιγνοεῖν, ἢ τἀναντία δοξάζειν. ποτὲ μὲν ὑπὸ τῆς καιρὸν ἐχούσης σιωπῆς ἡμῶν, πλανωμένους· ποτὲ δὲ τὴν ἐν λόγοις, ἢ πράγμασιν, οἰκονομίαν ἡμῶν, κατὰ τὸ δοκοῦν σφίσι παρερμηνεύοντας. ἔστι δ' ἃ καὶ συκοφαντοῦντας. ἔδει με τοίνυν καὶ διὰ ταῦτα λόγον συγγράψαντα, διορθώσασθαι μὲν αὐτῶν, τοὺς μὴ καθάπαξ ἀνιάτως ἔχοντας, καὶ πρὸς τὴν ἀρχαίαν ἐκείνην καὶ σώφρον αὐτοῖς τε, καὶ τῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ δόξαν, ἐπαναγαγεῖν. στηρίξαι δὲ ἐν τῇ ἀληθείᾳ, τὰς ὑπὸ τοῦ ψεύδους κλονουμένας ψυχάς. βοηθῆσαι δὲ τῇ καλῇ μετανοίᾳ τῶν τῆς συναρπαγῆς ταύτης αἰτίων. ὧν οἱ μὲν φθάσαντες, τοῦ παρόντος ἀπεχώρησαν βίου: οἱ δὲ περιόντες ἔτι, σφοδρότερον τὸν μεταμέλον ἐπιδείκνυνται, μετὰ τοῦ πάσχειν ὑπὲρ τῆς ἀληθείας κακῶς. ὅσον γὰρ ἂν εἰς ἐλάττους ἐκχεθείη τὸ βλάβος, τοσοῦτον αὐτοῖς οὐ πολλῶν ὑπὲρ τῆς συναρπαγῆς δεήσει καθάρσεων. ἀμφιβολίας δὲ περὶ ἐμοῦ, καὶ συκοφαντίας, παῦσαι πολλούς. οὔτε γὰρ ἀμφιγνοήσει τὶς λοιπὸν, οὔτε συκοφαντεῖν προαχθήσεται, τῆς ἐμῆς γνώμης ἐκδήλου γεγενημένης, ὅτε ἔμελλεν ὠφελιμωτέραν μὲν εἶναι καθ' ἑαυτήν, ὠφελικωτέραν δὲ ἢ πρόσθεν, τοῖς τῆς ἀληθείας φίλοις ἐκτίθεσθαι. τούτων μὲν ἕνεκα τὸν παρόντα λόγον ἐνεστησάμην. Εἰ δὲ ταῦτα πάντα ζῆλον μὲν ὑπὲρ τῆς ἀληθείας ἔχει τῆς πίστεως, καὶ οὐδὲν ἀνθρώπινον πάθος, πρόνοιαν δὲ ὑπὲρ τῆς σωτηρίας τῶν ἀδελφῶν, ὑπὲρ δὲ τῆς ὀφειλομένης ἐργασίας τοῦ δεδομένου ταλάντου, φέρει τινὰ παραίτησιν. (καὶ εἰ τὴν κατειληφυῖαν ἡμᾶς ἐκ συναρπαγῆς καὶ τῆς πρὸς τὰ καλὰ ῥαθυμίας αἰσχύνην καὶ σύγχυσιν χαλεπῶς φέρω καὶ ὀδύρομαι, καὶ βουλοίμην ἂν μηδὲ ζῆν, ταύτης ἐπικρατούσης, καὶ εὔχομαι τὴν προτέραν πάλιν γαλήνην ἰδεῖν· καὶ τῆς μὲν εἰρήνης ἐφίεμαι τῶν Ἐκκλησιῶν ἁπασῶν. ἀλλ' ὥσαν ἡμῖν καὶ τῇ ἀληθείᾳ συμφέροι. καὶ δεῖν ἡγοῦμαι μετὰ τῆς ἀληθείας ἑστῶτας ἡμᾶς, τοῖς Λατίνοις ἅτε τῶν

σκανδάλων αἰτίοις γεγενημένοις, ἀπορρίπτειν πάντα τὸν ἐκ τῆς ταύτης καὶ τοῦ σχίσματος κίνδυνον. καὶ βούλομαι τὴν ἀλήθειαν ἐν τῷ ἡμετέρῳ σώζεσθαι γένει, μέχρι τῆς συντελείας. καὶ εἰ μηδένας ἄλλους, ἡμᾶς γοῦν ἄσυλον ἀποδοῦναι τῷ ἡμετέρῳ δεσπότῃ τὴν παρακαταθήκην τῆς πίστεως. ἣν ἡμῖν αὐτός τε, καὶ οἱ αὐτοῦ μαθηταί, μετ᾽ αὐτὸν, καὶ τῶν πιστῶν αἱ (σύνοδοι πᾶσαι, καὶ τῶν ἱερῶν Διδασκάλων ὁ κύκλος, ἄνευ ἡστινοσοῦν ἀμφιβολίας, κατέθεντο) οἶδε μὲν ὁ πάντα ὁρῶν Κύριος, ἐξέστω δὲ καὶ ἑκάστῳ κρίνειν ὡς ἂν βούλοιτο· ἐγὼ δὲ τῇ τοῦ Χριστοῦ χάριτι πεπεισθὼς, ἥ με καὶ ἁμαρτωλὸν ὄντα, τῇ γνώσει τῆς ἀληθείας πεφώτικεν. οὐδὲ ἀφῆκεν ὑπὸ τοῦ ψεύδους καταισχυνθῆναι, οὐκ ἐπὶ καυχήσει μᾶλλον, ἢ συστάσει τοῦ δὲ τοῦ ἔργου, ὃ ἐπ᾽ ὠφελείᾳ πάντων εἱλόμην, πάντας ἀνθρώπους πληροφορῶ, τοιαύτην τὴν ἐμὴν εἶναι προαίρεσιν. καὶ ὑπὸ τοιούτων μὲν λογισμῶν, βεβαίως καὶ ἀληθῶς κεκινῆσθαι. δέος δὲ οὐδὲν ὑπέστην, μάλιστα μὲν προαιροῦμαι τὴν ἀλήθειαν, μὴ ἐν τῇ περὶ ταύτης ἁμαρτῆσαι ζητήσει. ὅ, τε γὰρ ταῦτα προαιρεῖσθαι δεδωκὼς, καὶ πρὸς τὴν τῆς ἀληθείας ἐπίτευξιν ὁδηγὸς ἔσται· καὶ ἅμα οὐ δόξαν ἐγὼ καινοτομῶ καθάπερ Λατῖνοι, ἀλλ᾽ ἀρχαίας καὶ κοινῆς ὑπεραγωνίζομαι δόξης, ὑπὸ πάντων Ἀγγέλων τε καὶ ἁγίων μαρτυρουμένης. καὶ ὑπὸ μὲν Λατίνων, τῇ καινοτομίᾳ, σβεσθείσης, ἐν ἡμῖν δὲ διαπρεπούσης, τῇ τοῦ Χριστοῦ χάριτι. ὅθεν ἀδύνατον ἐστὶ, τὸν ὑπὲρ τῆς ἀληθείας ἠγωνισμένον, τοῦ τῆς ἀληθείας τέλους διαμαρτεῖν. Εἰ δὲ ὁ παρὼν λόγος, ἁπλῶς οὕτω καὶ ἰδιώτῃ πρέπων σχεδὸν ἐσχεδίασται, δεῖ συγγινώσκειν τοὺς ἐντυγχάνειν μέλλοντας, νῦν τε, καὶ ὕστερον. οὐ γὰρ πρὸς ὀλίγους τε καὶ σοφοὺς μόνον, ἀλλὰ καὶ πρὸς πάντας ποιεῖσθαι τοῦτον διεγνωκὼς· καὶ τοὺς μὲν σοφωτέρους, ὑπομιμνήσκειν· τοὺς δ᾽ ἄλλως ἔχοντας, διδάσκειν, καὶ πείθειν (ἂν οἷόν τε ᾖ) τοιοῦτον αὐτῷ προσθεῖναι δεῖν ἔγνων σχῆμα. Ὀλίγα δέ μοι καὶ τῆς τῶν κεφαλαίων τάξεως, αὐτοσχεδιάζοντι πεφρόντισται. ἀλλ᾽ ὡς ἂν ἕκαστα συμπίπτῃ τῷ λογισμῷ, οὕτω καὶ τίθεται. τῆς γὰρ ἐν τοῖς νοήμασιν ἀληθείας ἔδει πάνυ φροντίζειν, περὶ θεοῦ πραγματευομένους. τῆς δὲ ἐν τοῖς ἄλλοις ἐπιτηδεύσεως, μηδένα ποιεῖσθαι λόγον.

ΚΕΦΑΛΑΙΟΝ α.

Ὅτι ἀρχαία ἐστὶν ἡ διαφορὰ αὕτη, καὶ ἀπὸ τῆς τρίτης Συνόδου. καὶ τί πεφρονήκασι περὶ ταύτης, οἱ τῆς Συνόδου πατέρες ἐκεῖνοι.

Ἐγὼ τοίνυν ἐξετάζων, εὑρίσκω τὴν περὶ τοῦ πνεύματος ταύτην διαφορὰν, τῇ ῥωμαίων Ἐκκλησίᾳ, πρὸς τὰς Ἀσιάτιδας, εὐθὺς ἀπ' αὐτῆς τῆς πρώτης Συνόδου συνεστηκυῖαν. οὐκ εἰς τὸ δὲ μὲν παρελθοῦσαν σχίσματος, οὐδὲ ἐνεργῆσαι εὐθύς. ἐκεῖθεν δὲ ὑποφυομένην, καὶ τρεφομένην ἠρέμα, καὶ τέλος ἐπὶ κακῷ τῆς Ἐκκλησίας προκόψασαν. πολὺ γὰρ ταύτῃ τῇ διαφορᾷ συνέβαλε τότε, καὶ συνεργάζεται νῦν, ἡ περὶ τῆς Οὐσίας τε, καὶ τῆς Ὑποστάσεως, τότε γεγενημένη, καὶ νῦν οὖσα διαφορὰ, Γραικοῖς καὶ Λατίνοις. ἣν λῦσαι τὸν ἱερὸν φασὶν Ἀθανάσιον, τῇ στενότητι τῆς Ῥωμαίων Γλώττης ἐπιγραφόμενον· τὸ μὴ δύνασθαι συμφωνεῖν ἐκείνους ἡμῖν, ὡς ἡμῶν δηλονότι βέλτιόν τε καὶ οἰκειότερον, Ὑπόστασιν μὲν τὸ ἄτομον, καθ' ὁμοιότητα τῶν κτιστῶν πραγμάτων, ἐν οἷς τὰ τοιαῦτα ὑφέστηκεν. Οὐσίαν δὲ τὸ εἶδος καὶ τὴν φύσιν ἀποκαλούντων, ἢ τὸ ἄτομον ἐστί. σαφεστέραν δὲ τὴν διαφορὰν ταύτην ἐπὶ τῆς τρίτης γεγονέναι Συνόδου. οὔπω δὲ οὐδέ ποτε φανερῶς εἰς μέσον ἐλθεῖν, ἀλλὰ παρακύψασαν μόνον, αὖθις ἐνδομυχεῖν· τότε γὰρ ὁ μὲν Νεστόριος ἐν τῷ οἰκείῳ Συμβόλῳ περὶ τοῦ πνεύματος προσετίθει. καὶ οὔτε
» υἱὸν νομίζοντες (τὸ πνεῦμα δηλονότι τὸ ἅγιον) οὔτε διὰ τοῦ υἱοῦ τὴν ὕ- » Νεστόρ.
» παρξιν εἰληφέναι. καὶ οὔτε ἡ Σύνοδος ἤλεγχεν, οὔθ' ὁ Κύριλλος. οὗτος
μὲν καὶ Θεοδώρητον ἀπεκάλει συκοφάντην, βλασφημίαν αὐτοῦ καὶ δυσσέβειαν καταιτιόμενον, τά τε ἄλλα, καὶ εἰ τὸ πνεῦμα ἴδιον καλεῖ τοῦ υἱοῦ, ἢ δι' υἱοῦ, τὴν ὕπαρξιν ἔχοι. καὶ μετὰ τὴν μέμψιν ἐκείνην, πανταχοῦ δια-
στίζει καλῶς, τοῦ υἱοῦ μὲν λέγων τὸ πνεῦμα, ὡς οἰκεῖον καὶ οὐκ ἀλλότριον, » Κύριλ.
» καὶ κατὰ τὸν τῆς οὐσίας λόγον. τοῦ δὲ πατρὸς, ὡς ἐκπορευόμενον ἐξ αὐτοῦ: »

ταύ-

ταυτὸν δὲ εἰπεῖν, κατὰ τὸν τῆς αἰτίας λόγον. οὕτω γὰρ ἑαυτὸν ἀναφέρει,
πρὸς τὰς τῶν οἰκουμενικῶν συνόδων γνώμας, καὶ τὰς κανονικὰς γραφὰς
καὶ πάσης ἔξω καθίσταται μέμψεως. καὶ τοσοῦτον ἀπέσχε διὰ τοῦτο τί
περὶ Θεοδώρητον, τὴν τοῦ Νεστορίου κακοδοξίαν ἐπεγκαλεῖν, ὥστε καὶ μαρ-
Κύριλ. » τυρεῖ τούτοις ὕστερον, ὅτι τὰς Νεστορίου βεβήλους κενοφωνίας, κατακρίνουσί τε
» καὶ ἀναθεματίζουσι (φησὶ) μεθ' ἡμῶν. καὶ οὐδ' ἐνὸς ἠξίωσαν αὐτὰς ποτὲ λό-
» γου. ἀλλὰ τοῖς εὐαγγελικοῖς τε καὶ ἀποστολικοῖς ἕπονται δόγμασι, καὶ τὴν
» τῶν πατέρων ὁμολογίαν κατ' οὐδένα λυποῦσι τρόπον. ὡς ἐκείνων δηλονότι
φανερὸν τοῦτο, δι' ἐγγράφου καὶ σαφοῦς πεποιηκότων ὁμολογίας. ἐκεῖνοι δὲ ὁ-
μολόγουν ἀεὶ τὸ πνεῦμα ἐκ τοῦ πατρὸς ὑφεστάναι· ἴδιον δὲ τοῦ υἱοῦ ὀνομά-
ζεσθαι, ὡς ὁμοούσιον, ἀλλ' οὐκ ἐξ αὐτοῦ τὴν ὕπαρξιν ἔχον. καὶ ἐπ' αὐ-
ταῖς ταῖς διαλλαγαῖς, ταῦθ' ὁμολόγουν. μᾶλλον δὲ καὶ ἐπὶ τοιαύταις
συνθήκαις (ὡς εἰπεῖν) διηλλάττοντο. καὶ οὐ μόνον ὡμολόγουν ἐκεῖνοι ταῦτα,
Θεοδώρ. » καὶ Κύριλλος ἤδη συνεπίθετο. ἀλλὰ καὶ τὰς ἐπιστολὰς φησὶ Θεοδώρητος τοῦ
» Κυρίλλου (ἐξ ὧν ἔδοξεν ἡ τῆς εἰρήνης πρόφασις ἀνασχεῖν) τῇ εὐαγγελικῇ
» εὐγενείᾳ καλλωπίζεσθαι. ὅτι τε ἐν αὐταῖς εὑρίσκεται Θεὸς τέλειος, καὶ ἄν-
» θρωπος τέλειος, ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἀνηγορευόμενος. καὶ ὅτι τὸ
» πνεῦμα ταύταις ἐμπεριείληπται, οὐκ ἐξ υἱοῦ, ἢ δι' υἱοῦ, τὴν ὕπαρξιν ἔχον,
» ἀλλ' ἐκ πατρὸς ἐκπορευόμενον. ἴδιον δὲ τοῦ υἱοῦ, ὡς ὁμοούσιον ὀνομαζό-
μενον. καὶ Κύριλλος πάλιν φαίνεται δυσχεραίνων, οὐχ ὅτι δόξαν αὐτῷ
περὶ τοῦ πνεύματος ἀλλοτρίαν Θεοδώρητος ἐπιγράφει, καὶ τῆς αὐτοῦ πί-
στεως καταψεύδεται. οὐχ ὅτι Θεοδώρητος δυσσεβεῖ, καὶ πρὸς τὰς Νεστορίου
πάλιν ἀποφέρεται βλασφημίας· ἀλλ' ὅτι διορθωθῆναι φησὶν αὐτὸν, καὶ
ἰατρευθῆναι, ὁ δὲ ἀεὶ τὰ αὐτὰ περὶ πάντων ἐφρόνει. διὰ τοῦτο τοίνυν
χαλεπῶς ἔφερε, μέχρι τέλους συκοφαντούμενος. οὕτω καὶ Κύριλλος, ἀ-
ληθῆ τὴν περὶ τοῦ πνεύματος Θεοδωρήτου, (εἰ δὲ βούλει καὶ Νεστορίου) δό-
ξαν ἠπίστατο. καὶ οὕτω περὶ πλείονος ἐποιεῖτο ταύτην καὶ αὐτὸς ἔχειν ἀεὶ
τὴν δόξαν, καὶ οὐχ ἕτερον μεταμεμαθηκέναι δοκεῖν. καὶ τῶν ἱερῶν συνό-
δων ἡ τετάρτη καὶ πέμπτη, ἄθλον νέμουσι Κυρίλλῳ δικαίως τῶν ὑπὲρ
τῆς εὐσεβείας ἀγώνων, τὴν τῆς ὀρθῆς πίστεως μαρτυρίαν. ἅμα καὶ Θεοδω-

ρήτου φειδόμεναι, ὅτι μὴ συκοφάντην ἀπεκάλουν, ὥσπερ ὁ Κύριλλος πρότερον· καὶ πάντας ἀξιοῦσι δέχεσθαι τὰ τοῦ Κυρίλλου συγγράμματα, μηδὲ μίαν ὑποψίαν περὶ αὐτῶν, ἐκ τῶν τοῦ Θεοδωρήτου μέμψεων ἔχοντας. καὶ τὰ Θεοδωρήτου συγγράμματα, τὰ κατὰ τῆς ὀρθῆς πίστεως, καὶ τῶν ὀρθῶν κεφαλαίων τοῦ Κυρίλλου, πᾶσιν ἀναθεματίζειν προστρέπονται· ὅτι τὴν ὀρθότητα ἣν ὕστερον αὐτοῖς ἐνιδεῖν ὁ Θεοδώρητος ἔλεγεν (εἴτε καὶ οὕτω φρονῶν, εἴτε καὶ προσποιούμενος) πόῤῥωθεν εἶχον καὶ ἐξ ἀρχῆς· οὔτε δὲ Θεοδώρητον, οὔτε τὰς τοῦ Θεοδωρήτου δόξας, ἀναθεματίζουσιν· ἀλλὰ μόνον Κυρίλλῳ συνηγοροῦσι, καθάπερ ἀδικουμένῳ. ἔτι γὰρ τὸ τοῦ Κυρίλλου σέβας, παρὰ πολλοῖς ἐκινδύνευε, διὰ τὰς Θεοδωρήτου μέμψεις, σωζομένας. καὶ ἐδόκει πολλοῖς, μὴ τὴν ἀρχὴν καλῶς πεφρονηκέναι. ὥσπερ καὶ Θεοδωρήτου πολὺν ἐπιβιώσαντος χρόνον, κατεφρόνουν, καὶ δι' ὑποψίας εἶχον τὸν ἄνδρα. καὶ ᾤοντο μὴ πάνυ τῆς τρίτης Συνόδου ψήφῳ προσέχειν. καίτοι Θεοδώρητος οὐδὲν ποτε ὑπεναντίον ἐκείνῃ τῇ Συνόδῳ συγγέγραφε μετὰ ταῦτα, οὐδὲ ἠνώχλει τοῖς ἐκείνης θεσμοῖς. ἀλλ' ὅμως ὕποπτος ἦν ἐνίοις, ὥστε κἂν τῇ τετάρτῃ Συνόδῳ, πάλιν ἀναθεματίσαι τὸν Νεστόριον ἠναγκάσθη, ταύτῃ παρών. καὶ οὕτω λοιπὸν καθάπερ κρείττων γέγονεν ὑποψίας. Οὐ μόνον τιμῶντες τὸν Κύριλλον οἱ θεῖοι πατέρες ταῦτα ἐποίουν, ἀλλὰ καὶ τὴν Σύνοδον ἧς αὐτὸς ἐξῆρχε, κρατύνοντες. ἅμα δὲ καὶ Θεοδωρήτῳ χαριζόμενοι. εἰ γὰρ κατὰ Κυρίλλου μέμψεις ἐκείνῳ, τὸ μὲν περὶ τοῦ πνεύματος μέρος, δόξαν συκοφαντίας προσῆπτον, τῆς τοῦ Κυρίλλου γνώμης φανερᾶς γενομένης ἐν ταῖς ἐκείνου συγγράμμασι· καὶ οὕτω πᾶσαν διαπεφευγότος αἰτίαν. τὸ δὲ περὶ τῆς θείας οἰκονομίας μέρος, καὶ αἱρέσεως δόξαν αὐτῷ προσεπετρίβοντο. εἰ γὰρ καὶ μὴ φανερῶς ὑπερηγωνίζετο Νεστορίου, ἀλλὰ ταῖς κατὰ Κυρίλλου φιλοτιμίαις, ἰσχυρὸν ἐδόκει ποιεῖν τὸν Νεστόριον. ὥστε καὶ περιτρέπειν αὐτῷ τὸν Κύριλλον πάντα πρὸς τὴν Νεστορίου κακοδοξίαν. τούτων ἕνεκα πάντων ἐπεὶ μὴ ῥᾳδίως ἦν ἀφανίσαι τῆς γῆς ἁπάσης τὰ Θεοδωρήτου κεφάλαια ταῦτα, ἄλλον τινὰ τρόπον ἐπῆλθε τοῖς πατράσιν ἐκείνοις, ἀφανῆ ποιῆσαι καὶ ἄκυρα. καὶ τοὺς μὲν ἀναθεματισμοὺς Κυρίλλου προσίενται, πρόφασιν ἔχον-

τας ὑγιᾶ, τὸν τῆς αἱρετικῆς βλασφημίας ἔλεγχον, καὶ ἅμα εἰκῆ καὶ μάτην ἐνοχληθέντας. δι᾽ ὧν γὰρ εὐθὺς ἀπολογήσατο καὶ συνέγραψε Κύριλλος ὕστερον, ἔδειξε καθαρεύων τῆς ὑποψίας ἁπάσης· τὰς δὲ Θεοδωρήτου μέμψεις, εἰ βεβήλους ἀποδείξαιεν καὶ πόῤῥω τῶν ἱερῶν, αὐτῷ τε Θεοδωρήτῳ, καὶ Κυρίλλῳ, καὶ τοῖς πράγμασι τῆς τρίτης ἐκείνης Συνόδου, συμφέροντα πράξειν ἐνόμιζον. Οὕτω μὲν οὖν (ὡς ἐν βραχεῖ γοῦν περὶ πάντων εἰπεῖν) ἡ τῶν Ἀσιανῶν Ἐκκλησία σύμπασα, τὰ περὶ τὴν τοῦ πνεύματος ὕπαρξιν ἐφρόνει· καὶ πάνυ καλῶς ἐν τοῖς Κυρίλλου καιροῖς, ἀντὶ ψήφου τὰ τότε συμβάντα δοῦσα, κατέχειν ἡμᾶς. ἐξ ὧν τοῖς ἀκριβῶς ἐπιοῦσιν, ἥ τε Σύνοδος δείκνυται ταῖς περὶ αὐτῆς συμβαινούσαις πάσαις, καὶ μηδὲν παραλλάττον ὁριζομένη· καὶ Κύριλλος ἐν μὲν τοῖς ἄλλοις, τῆς ἀληθείας ὑπερασπίζων. ἐν δὲ τῇ περὶ τοῦ πνεύματος δόξῃ, σωφρόνως ἔχων, καὶ τῆς κοινῆς ἁπάντων δόξης, οὐκ ἐξιστάμενος.

ΚΕΦΑΛΑΙΟΝ β′.

Τί ἐφρόνουν τότε τινὲς περὶ τοῦ πνεύματος, καὶ μάλιστα Αὐγουστῖνος.

Ἡ δὲ τῆς Ῥώμης Ἐκκλησία, καίτοι τ᾽ ἄλλα συμβαίνουσα τότε τῷ λοιπῷ τῆς Ἐκκλησίας σώματι, ἐν τούτῳ γοῦν ἤρξατο τῷ μέρει διαφωνεῖν, τινῶν ἐν αὐτῇ διδασκάλων τοῦτο διαθρυλλούντων τὸ δόγμα, εἴπερ ἀληθεύωσιν οἱ πρὸς Αὐγουστῖνον τὴν δόξαν ἀναφέροντες, ταύτην οὐκ ἂν εἴπω καθόλου κεκριμμένην τι καὶ συντεθημένην. ὁ μὲν γὰρ Ῥώμης Ἐπίσκοπος Κελεστῖνος, ἐν οἷς τε πρὸς αὐτὸν ἐπιστέλλει Νεστόριον (κἀν τοῖς ἄλλοις κατὰ Νεστορίου γράμμασιν, οὖσι συνοδικοῖς) οὐδὲν ἄλλο φαίνεται Νεστορίῳ μεμφόμενος, ἢ ὅτι τὴν ἐνανθρώπησιν ἠδίκει τοῦ θείου λόγου, καὶ κατὰ τῆς σωτηρίας ἔλυττα τῆς ἡμετέρας. ὡς ἔοικε πλὴν τούτου, κακὸν ἐν τῇ Νεστορίου φωρᾶσαι πίστει μὴ δυνάμενος. εἰ γὰρ καὶ φησί
Κελεσ. "που τῆς πρὸς τὸν Κωνσταντινουπολιτῶν Κλῆρον ἐπιστολῆς, ὅτι ἐγκατε-

λείφθη

λήφθη ὁ ἀσεβὴς διαλεκτικὸς παρὰ τοῦ πατρὸς, ὁ ποτ' αὐτοῦ τοῦ θείου ” πνεύματος πεφρονηκὼς ἐναντία. οὐδὲν ἕτερον λέγει, ἢ ὅτι, πῶς οὐκ εἰ- ” κὸς ἦν ἐγκαταληφθῆναι παρὰ τοῦ πατρὸς, τὸν ἐναντία πεφρονηκότα τοῦ πνεύματος; ἐναντία δὲ φρονεῖ τοῦ πνεύματος, ὁ τῇ τοῦ πνεύματος ἀνθιστάμενος διδασκαλίᾳ, καὶ τῇ ἀληθείᾳ τῆς πίστεως, ἐν ὅτῳ δήποτε τῆς πίστεως μέρει τὴν παρασκευὴν ἂν ὑποσταίη. Ἐν αὐτοῖς δὲ τοῖς χρόνοις καὶ ἡ τοῦ Αὐγουστίνου διδασκαλία διέπρεπεν. ὃς πρῶτος σχεδὸν τὴν δόξαν ταύτην, ἐν τοῖς Λατίνοις διήρθρωσέ τε καὶ κατεσκεύασε. πλέον τῶν περὶ αὐτοῦ πάντων ἐμφιλοτιμησάμενος ταύτῃ. ὅσον ἐκ τοῦ προφαινομένου τῆς λέξεως, τῷ τε τὸν Νεστόριον φανερῶς τοὐναντία ταύτης ὁμολογεῖν καὶ συγγράφειν ὡς ἔοικεν, ἴσως ὑπειληφὼς ἐκεῖνον ἀπαρέσκοντα λέγειν, τῇ κοινῇ τῆς Ἀνατολικῆς Ἐκκλησίας γνώμῃ κἂν ταῦθα, ὥσπερ κἂν τοῖς ἄλλοις αὐτοῦ ληρήμασι· καὶ τῷ πολλοὺς ἐκεῖ τὸ τοῦ Νεστορίου σύμβολον ἐξετάζοντας, τὰ μὲν ἄλλα ἐγκαλεῖν αὐτῷ, τῇ δὲ περὶ τοῦ πνεύματος δόξῃ, μηδὲν ἔχειν μέμφεσθαι· οὐ μᾶλλον Νεστορίῳ, ἢ τῇ κοινῇ τῆς Ἐκκλησίας ὁμολογίᾳ χαριζομένους. οὓς ὑπελάμβανεν Αὐγουστῖνος ἁμαρτάνειν οὕτω φρονοῦντας· πάνυ γὰρ ἑάλλω τούτου τοῦ δόγματος. Ὅτι δὲ τοιαύταις τισὶν ὁ Διδάσκαλος ἐκεῖνος ἐκινήθη προφάσεσι, τῆς γνώμης ταύτης μετὰ πολλῶν ἱδρώτων προστῆναι, δῆλον ἐστὶν, ἐξ ὧν ἀγωνιστικῶς πανταχοῦ τὴν δόξαν ταύτην ἐνασπείρει τῶν ἑαυτοῦ συγγραμμάτων· μεποχετεύει γὰρ τὸν λόγον, ὥσπερ τὸ ῥεῦμα, πρὸς τὴν περὶ τοῦ πνεύματος ὕλην ἀεὶ, τῆς εὐθείας ἀφιστάμενος τοῦ λόγου προθέσεως· οὐ δὲ ἀπαλλάττεται ῥαδίως, ἀλλ' ἐπιμένει, πάσαις ἀνάγκαις χρώμενος, ὥστε δυνηθῆναι τὸ πνεῦμα δεῖξαι, καὶ ἐκ τοῦ υἱοῦ προϊόν. οὐδὲ τῷ τῆς διδασκαλίας τρόπῳ συνήθως, ἀλλὰ τῷ τῆς διαλέξεως προχωρεῖ, καὶ ὡς ἄλλων προβαλλομένων τοῦτο τὸ ζήτημα. καὶ βοηθεῖν πειρᾶται τῇ ἐναντίᾳ γνώμῃ. λόγους τε ἐκείνων τιθεὶς καὶ ἐνστάσεις, ὡς ἂν εὐλόγως δόξῃ συμπεραίνειν τἀληθῆ. καὶ ὅτι τοῦθ' οὕτως ἔχει, οὐκ ἐκ τῶν ἄλλων Αὐγουστίνου βιβλίων καὶ λόγων, ὧν ἀνέγνων ἐγὼ τῆς Ἰταλικῆς ἐπαΐων Γλώττης, ἀλλὰ καὶ ἐκ τῶν ὀλίγων, ἃ πρὸς τὴν ἡμετέραν μετηνέχθη φωνὴν,

σαφὲς

σαφὲς ἐστὶ τῷ βουλομένῳ σκοπεῖν. τοῦτο δὲ τὸ σχῆμα τῶν λόγων, πάνυ δείκνυσιν, ἐκεῖνοι πρὸς ἀγῶνα πεποιημένον τοὺς περὶ τοῦ πνεύματος λόγους, ὡς τοῦ ζητήματος τούτου, βιαιότεροι ἢ πρόσθεν, ἐνοχλεῖν ἀρξαμένου τότε, καὶ ἐπὶ μεῖζον τὴν διαφορὰν αἴροντος. διὸ καὶ πολλοῖς δοκεῖ τὰ τμήματα ἐκεῖνα, ὕστερον ἀνεαπάρθαι τοῖς Αὐγουστίνου συγγράμμασιν, ὑπὸ τῶν τὴν προσθήκην ἐργασαμένων, βουληθέντων τὴν τῆς δόξης ταύτης αἰτίαν, ἐπ᾽ ἐκεῖνον μάλιστα τὸν διδάσκαλον ἀναφέρειν, Ἁγιοσύνῃ τε καὶ Σοφίᾳ τῶν εὐρωπαίων διδασκάλων πάντων σχεδὸν διαφέροντα. τὸ δ᾽ οὐχ οὕτως ἔχει. ἀλλὰ γνήσιά τε εἰσὶν Αὐγουστίνου τὰ ῥήματα, καὶ τὴν διαφορὰν (ὅπερ ἔφθην εἰπὼν) τὴν νῦν ἡμῖν ἐνοχλοῦσαν, ἐπὶ τῶν ἐκείνου χρόνων στηρίζεσθαι μαρτυροῦσιν. καὶ Αὐγουστῖνον γεγονέναι τοῖς ὑστέροις τῆς νεωτέρας δόξης ταύτης αἰτίαν, οὔπω μετὰ πολλῶν τῶν ἀγώνων ταύτην κατασκευακότα δεικνύουσιν. Ἀλλὰ περὶ μὲν τῶν Αὐγουστίνου ῥητῶν, καὶ τῶν ἄλλων ἀπὸ τῆς Εὐρώπης πατέρων, ὕστερον καθόλου πραγματευθήσεται. Νῦν δὲ τούτου χάριν ἐμνήσθην τοῦ διδασκάλου, ἵνα δείξω κατὰ τὸν τῆς Τρίτης Συνόδου καιρὸν, κινουμένην τὴν περὶ τοῦ πνεύματος ζήτησιν, καὶ Λατίνους ἡμῖν ἐκεῖθεν διαφερομένους. πλὴν οὔτε πάντας ὁμοῦ, οὔτε φανερῶς οὑτωσὶ, οὔτε μετὰ πολλῆς τῆς ἐνστάσεως καὶ τῆς ἀπεχθείας. Ὅτι δὲ συγκροτουμένης τῆς Τρίτης Συνόδου, καὶ Αὐγουστῖνον τὰ βασιλικὰ μετεπέμποντο γράμματα, ἰδίως αὐτοῦ ζητοῦντα τὴν παρουσίαν (πρὸς γὰρ τὸ τῆς Συνόδου κράτος, ἀρκεῖν ἔμελλον οἱ τὸν τοῦ Πάπα τόπον πληροῦντες.) καὶ ὡς ἔφθη προαπελθὼν τῆς προσκαίρου ταύτης ζωῆς, πρὶν αὐτὸν τὰ τοῦ Βασιλέως δέξασθαι γράμματα, ἡ Καπρεόλου ἐπισκόπου ἐπιστολὴ, πρὸς τὴν Σύνοδον (ταῖς συνοδικαῖς ἐγκειμένη πράξεσι) δείκνυσιν. εἴτε δὲ Κύριλλος ἔπεισε τὸν Βασιλέα μετακαλεῖσθαι τὸν ἄνδρα, πολλὴν ἐξ αὐτοῦ τὴν συμμαχίαν ἐλπίζων εὑρήσειν, κἀν τοῖς περὶ τοῦ πνεύματος λόγοις (οὐ γὰρ ἑαυτῷ μόνῳ τὰ τοιαῦτα εἶχε θαρρεῖν, ἤδη δὲ πάντως τὰς Αὐγουστίνου περὶ τοῦ πνεύματος διαλέξεις) εἴ τε καὶ πᾶσιν ἐδόκει τοῦτο συμφέρειν, (οὐκ ἐπὶ καθαιρέσει μόνον τοῦ Νεστορίου, καὶ τῆς Αὐγουστίνου δεομένοις συνηγορίας, ἀλλὰ δὴ καὶ ἐπὶ τῇ λύσει, τῆς περὶ

τοῦ πνεύματος κινουμένης τότε διαφορᾶς, πάντων προβλεπομένων οὐ τὸ δεινὸν ὁ δεύσει τῆς τοιαύτης εἴδος) ἐγὼ μὲν οὐκ ἔχω λέγειν θαῤῥούντως. οὐδὲ ἔκ τινος ἀληθοῦς ἱστορίας διϊσχυρίζεσθαι θάτερον τούτων, ὥσπερ ἔνιοι τὸ πρότερον ἰσχυρίζονται. ἐξ ὧν δ᾽ ἐμοὶ τὸ συνειδὸς ὑποβάλλει, τοῦ Κυρίλλου λόγοις προσέχοντι, τῷ δευτέρῳ τίθεμαι πλέον. λέγουσι μὲν γάρ τινες, Κύριλλον εἶναι τὸν τοῦτο παράπλοντα, καὶ πλέον τῶν ἄλλων τῆς Αὐγουστίνου δεόμενον παρουσίας. καὶ αὐτὸν γὰρ Κύριλλον τοῖς Αὐγουστίνου κεκινῆσθαι φρονήμασι, καὶ τὴν αὐτὴν ἐκείνῳ δόξαν περὶ τοῦ πνεύματος ἐν ἑαυτῷ συλλαβεῖν, πρὶν αὐτῷ τὰς παρὰ τῶν ἄλλων ἀπαντῆσαι μέμψεις. μετὰ δὲ ταύτας βέλτιον ἐπιστήσαντα, διορίσαι πάνυ σαφῶς, καὶ πανταχοῦ τὴν κοινῇ πᾶσιν ἀρέσκουσαν γνώμην προστήσασθαι. ἑώρα γὰρ πάντας, ἃ μὲν ὁ Νεστόριος περὶ τῆς τοῦ πνεύματος ὑπάρξεως ἐφρόνησεν, ἀποδεχομένους. ἃ δὲ αὐτὸς παρέσχεν, ὑποψίαν φρονεῖν, ἔκτοπά τινα καὶ ἀήθη, καὶ πόῤῥω τῶν ἱερῶν, κρίνοντας εἶναι. Ἀλλ᾽ ἔμοιγε τοὺς Κυρίλλου λόγοις καλῶς ἐξετάζοντι, δοκεῖ μηδέποτε τῆς ἐναντίας δόξης ἐκεῖνον γενέσθαι. ἀλλὰ τὴν κοινὴν τῆς Ἐκκλησίας δόξαν κατέχειν. οὕτω γὰρ αὐτός τε λέγειν δοκεῖ. καὶ οὕτως αἱ Σύνοδοι πᾶσαι, τὴν ἐκείνου πίστιν, ἀεί τε καὶ πάσαις ὀρθὴν γενέσθαι μαρτυροῦσιν αὐτῷ. ὑποψίαν δέ τινα τοιαύτην αὐτὸν παρασχεῖν, ἐκ τῆς αὐτῷ προκειμένης ὕλης, καὶ τῆς τῶν λόγων ἀνάγκης, ὡς μετ᾽ ὀλίγα δειχθήσεται.

ΚΕΦΑΛΑΙΟΝ γ.

Ὅτι ταύτης ἕνεκα τῆς διαφορᾶς, πολλάκις διηρέθησαν, καὶ ἡνώθησαν αἱ Ἐκκλησίαι οἰκονομικῶς, οὐ δογματικῶς. καὶ ὅτι τούτων, τῆς ἐν τῷ Συμβόλῳ προσθήκης γέγονεν αἴτιον.

Η τοιαύτη τοίνυν περὶ τοῦ πνεύματος διαφορά, ταῖς Ἐκκλησίαις οὕτως ἐμπολιτευσαμένη, τότε μὲν πρῶτον, ὀλίγα τὴν κοινὴν

εἰρήνην ἔβλαπτε. μετὰ δὲ τὴν ἕκτην εὐθὺς Σύνοδον, φανερώτερον ἢ πρόσθεν ἐξελεγχθεῖσα, ἀρχὴ φανεροῦ πολέμου κατέστη. καίτοι καὶ πρότερον ἐσχίζοντό τε παρακαίρως, καὶ διηλλάττοντο πάλιν, ἅτε μὴ περὶ τὴν πίστιν αὐτοῖς γινομένων τῶν διαφορῶν. ἀλλ' ὕστερον πρόφασις οὐκ ἄλογος ἦν, τοῖς βουλομένοις σχίζειν τὴν Ἐκκλησίαν, ἡ περὶ τὰ δόγματα καινοτομία Λατίνων. ὅθεν ὑποδυόμενοί τινες τὴν ἐν τῇ πίστει διαφορὰν, ἀληθῆ τε οὖσαν, καὶ πᾶσι γινωσκομένην, τὰς Ἐκκλησίας διῄρουν, οὕτω σφίσι συμφέρον, ἰδίων αἰτιῶν ἕνεκα. ὥσπερ τῆς ἐν τοῖς τοιούτοις δυνάμεως, εἰς ἑτέρας τῷ χρόνῳ μεθισταμένης, οἷς τῆς Ἐκκλησιαστικῆς εἰρήνης ἐμέλησε, μᾶλλον ἐπὶ τῷ σφετέρῳ καλῷ, ἢ τῇ βεβαίᾳ τῆς Ἐκκλησίας ὁμονοίᾳ, ἀπολυπραγμόνως τὰ τῶν Ἐκκλησιῶν διελύοντο σκάνδαλα, μηδὲ μιᾶς περὶ τῶν διαφορῶν δίκης γεγενημένης. τὰ αὐτὰ δὲ καὶ περὶ Φωτίου τελευταῖον συνέβη. ὁ γὰρ αὐτὸς καὶ διελεῖν τὰς Ἐκκλησίας προήχθη, χρώματι τῇ διαφορᾷ τῆς δόξης χρησάμενος. καὶ πάλιν τὰς τῶν Ἐκκλησιῶν συμβάσεις, μισθὸν ἀπέδωκε τῶν ἰδίᾳ συμφερόντων αὐτῷ. ἵνα κακοῦ τὸ κακὸν μείζονος ὠνήσηται τοὔλαττον. οὕτω γὰρ δεῖ μᾶλλον λέγειν, ἢ ὡς εἴωθε λέγεσθαι. ἡμάρτανον δὲ πάντες τήν τε τῆς πίστεως ἀλήθειαν, καὶ τὴν ἐν αὐτῇ τῆς Ἐκκλησίας εἰρήνην, πάρεργον τῆς ἑαυτῶν εὐκλείας ποιούμενοι, καὶ πάντα πρὸς τὸ συμφέρον αὐτοῖς ἕλκοντες. Ἀλλ' ἐχρῆν αὐτοὺς οἰκουμενικῷ κριτηρίῳ τὴν διαφορὰν ἐπιτρέψαι, καὶ τοῦ νεωτερισμοῦ τῶν Λατίνων, τῇ κοινῇ προσαχθέντος βασάνῳ, ἢ καθάπαξ αὐτῶν ἀποστῆναι (εἰ φαύλως τε πιστεύοντες καὶ ἰσχυρογνωμονοῦντες ἐφαίνοντο) ἢ μηκέτι χωρισμοῦ πρόφασιν ὑπολιπέσθαι τοῖς μετ' αὐτοὺς (εἰ μηδὲν εἰς τὸ τῆς Εὐσεβείας κεφάλαιον, ἡ τῶν Λατίνων ἔβλαπτε καινοφωνία) ἀλλ' ἅπαξ ἑνωθέντας, ἠνωμένους διαμένειν ἀεὶ, ἕνεκά γε τοῦ πνεύματος· τότε γὰρ ἴσως, καὶ ῥᾷον ἂν ἐπείθοντο Λατῖνοι, καὶ πρὸς τὴν κοινὴν τῆς Ἐκκλησίας μετεβάλλοντο γνώμην, ἐκ πολλῶν αἰτιῶν, ἃς πᾶς τις ἂν εὐκόλως συνίδοι. δοκεῖ δὲ τοῖς ἀπραγματεύτοις τῶν Ἐκκλησιῶν ἑνώσεσι, πολύ τι τότε συμβάλλεσθαι, καὶ τὸ μηδὲ τοὺς Λατίνους αὐτοὺς φανερῶς τὴν δόξαν ὁμολογεῖν. μήτε τοῖς ἡμετέροις μέμφεσθαι,

ὡς

ὡς ἀλόγως αὐτῶν καταιτιωμένοις· τοὐναντίον μὲν οὖν, εἰς τὴν κοινὴν καταφεύγειν ὁμολογίαν ἐγκαλουμένοις. ἀεὶ γὰρ τὸ τῆς πίστεως προὐβάλοντο σύμβολον, μένον ἐν αὐτοῖς καὶ κηρυττόμενον ἄνευ ἧστινοσοῦν προσθήκης, ἢ ἀφαιρέσεως· εἰ δὲ καὶ δοξάζουσι τινὲς ἐν αὐτοῖς, τὸ πνεῦμα καὶ ἐκ τοῦ υἱοῦ προϊέναι, τὰς μὲν λέξεις ἔφασκον μηδὲν ἀδικεῖν, ὡς ἐκ τῶν παρὰ σφίσι διδασκάλων φανερῶς οὑτωσὶ λεγομένας. ἑαυτοὺς δέ, μηδὲν παρὰ τὰ κοινῇ διατεταγμένα φρονεῖν ὡμολόγουν, καὶ ὡς ἡ κοινὴ πίστις βούλεται τὰς τῶν διδασκάλων λέξεις νοεῖν. τουτέστι τὴν τῆς οὐσίας ἑνότητα, οὐ τὴν αἰτίαν βούλεσθαι παριστάνειν, ἐν τῷ τὸ πνεῦμα λέγειν ἐκ τοῦ υἱοῦ. εἴτε οὖν οὕτως ἐννόουν, εἴτε τῆς εἰρήνης ἕνεκα δεῖν ᾤοντο κρύπτεσθαι, ἄλλος ἂν εἴη λόγος· οὕτω δ' οὖν ἀπολογούμενοι, τοὺς ἡμετέρους ἔπειθον, μὴ σφόδρα ἐπαχθεῖς αὐτοῖς γίνεσθαι. ὅπερ ἔξ ἄλλων τε πολλῶν τεκμηρίων δῆλον ἐστί, καὶ ἐκ τῆς Μαξίμου πρὸς Μαρῖνον ἐπιστολῆς. ἀλλὰ περὶ μὲν ταύτης ὕστερον. Τὸ τοίνυν πολλάκις οὕτως ἑνωθῆναι καὶ διαστῆναι, μηδὲν περὶ τῆς ἐν τῷ δόγματι διαφορᾶς ἐξετάσαντας, πλὴν ὅτι τὴν αὐτὴν πίστιν ἔχειν, καὶ τὰ αὐτὰ φρονεῖν ἡμῖν ἰσχυρίζοντο Λατῖνοι, καθάπερ καὶ νῦν ἰσχυρίζονται, καὶ ἀναθέματι καθυπέβαλλον, τοὺς ἄλλον ὅρον τῆς πίστεως καινοτομοῦντας, ἢ προστιθέντας. καὶ τούτου δραττόμενοι τὰς συνθήκας ἔπραττον, οἱ τὴν μετ' ἐκείνων ἕνωσιν, ἰδίας ὠφελείας χάριν πραγματευόμενοι. ὃ καὶ Φώτιος τελευταῖον ἐποίει. τοῦτο τῆς ἐν τῷ συμβόλῳ καινοτομίας, Λατίνοις γέγονεν αἴτιον· ἀπῴκαμον γὰρ διαλλαγὰς ἀεὶ νέας μετὰ πολλῶν τῶν φροντίδων, ἐπὶ συνεχέσι ταῖς μάχαις καὶ διαστάσεσι, συντιθέντες. καὶ χαλεπῶς ἔφερον τὰ τῆς κακοδοξίας ὀνείδη. ἀεὶ γὰρ τὴν κακοδοξίαν αὐτοῖς προὔφερον, οἱ βουλόμενοι πρὸς αὐτοὺς ἀπεχθάνεσθαι. ᾤοντό τε τῆς δόξης ἐν τῷ Συμβόλῳ προστιθεμένης, οὐκ ἔτι λοιπὸν ἐνοχλεῖν τοὺς ἀπὸ τῆς Ἀσίας αὐτοῖς. ἀλλ' ὡς κρίσει τε καὶ Συνόδῳ προστιθεμένης, ἀσπάσεσθαι καὶ μὴ βουλομένους, τὸ τῆς Ἐκκλησίας ἐκείνης αἰδεσθέντας ἀξίωμα· καὶ ὅπερ ἔδει συνελθόντας ποιεῖν, τοῦτο μόνοι ποιοῦντες, ἤλπισαν καὶ τοὺς ἄλλους ἑκόντας ἐπισπάσασθαι, ὡς δὴ χαλεπὸν ἡγουμένους, συνοδικῇ ψήφῳ διακηρύττεσθαι καὶ δόγματι συνο-

δικῶς

δικῶς κριθέντι, διαπιστεῖν. καὶ τοῦτο παρὰ γνώμην σφίσιν ἐξέβη. οὐκ ἔτι γὰρ ἦσαν ἀνεκτοί, διὰ τὰ τῆς Τρίτης συνόδου κωλύματα.

ΚΕΦΑΛΑΙΟΝ δ.

Ὅτι τὸ σχίσμα γέγονε μάλιστα, διὰ τὴν ἐν τῷ Συμβόλῳ πρόσθεσιν. καὶ ὅτι καλῶς ἀπεστράφημεν τοὺς Λατίνους διὰ τὴν πρόσθεσιν, ἀποστροφῆς οὖσαν ἀξίαν.

ΚΑὶ ὡς οὐ μόνον κακῶς φρονοῦντες, ἀλλὰ καὶ παρανομεῖν προηγμένοι, καὶ τὸ τῆς πίστεως Σύμβολον ἀδικοῦντες, καὶ πρός γε τούτῳ, τὸ τῆς καθολικῆς Ἐκκλησίας ἁρπάζοντες ἀξίωμα, μόνοι, καὶ περὶ τῶν πάνυ διαφερόντων βουλευόμενοί τε καὶ πράττοντες, χεῖρον λοιπόν, ἢ πρότερον ἐμισήθησαν. καὶ δικαίως. τί γὰρ ἐχρῆν πίστιν καλῶς ἔχουσαν, ἀναπτύσσειν; καὶ ταῦτα τοῦ περὶ πνεύματος ἄρθρου καλῶς ὑπὸ τῆς Δευτέρας ἀναπτυχθέντος Συνόδου. καὶ ἐν καιροῖς πᾶσαν ἀπαιτοῦσιν ἀκρίβειαν, ὡς μηδὲν ἂν ὑπ' ἐκείνων τῶν πατέρων εἰρῆσθαι, σιγᾶσθαι πρέπον, μήτε μὴν σιωπηθῆναι τι τῶν λέγεσθαι προσηκόντων. Σαφὲς γὰρ ἐστὶ πᾶσιν, ὅτι τοῦ κατὰ Νικαίαν Συμβόλου, στενῶς πάνυ τὴν εἰς τὸ πνεῦμα τὸ ἅγιον πίστιν διδάσκοντος. ὅθεν τὸ τῶν αἱρετικῶν ἠρέθισαι τόλμημα. καὶ ἡ τῶν ἱερῶν Συνόδων Δευτέρα, τὰ τῶν αἱρετικῶν ἐμφράττουσα στόματα, τὸ περὶ τοῦ πνεύματος ἀνέπτυξεν ἄρθρον. καὶ τῆς Πρώτης Συνόδου τοσοῦτον εἰπούσης,

Συνόδ. α. » καὶ εἰς τὸ ἅγιον πνεῦμα· πιστεύομεν δηλονότι. ἡ Δευτέρα σαφέστερόν τε

Συνόδ. β. » καὶ τελεώτερον εἶπε, καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον, τὸ κύριον, τὸ ζωοποιόν,

» τὸ ἐκ τοῦ πατρὸς ἐκπορευόμενον, τὸ σὺν πατρὶ καὶ υἱῷ συμπροσκυνούμενον,

» καὶ συνδοξαζόμενον. ἡ δὲ Τρίτη, μήτε προσθεῖναι τούτοις, μήτε ἀφελεῖν

Συνόδ. γ. » ὥρισε δεῖν· καὶ αἱ μετὰ τὴν Τρίτην, πᾶσαι ταῖς τῆς Δευτέρας ἀναπτύξεσιν ἐφησύχασαν· δεῖν ἡγησάμεναι, τῷ κωλύματι τῆς Τρίτης Συνόδου μᾶλλον προσέχειν, ἢ τοῦ τὴν τῆς Δευτέρας ἐξουσίαν μιμεῖσθαι. ἐξῆν μὲν

γὰρ λοιποῦ καὶ τῇ Τρίτῃ προστεθεῖναι. ἀλλὰ καθάπερ ἐκεῖνοι, τῇ δυνά-
μει πρὸς τὴν προσθήκην ἐχρήσαντο, τῶν πραγμάτων τοῦτο ἀπαι-
τούντων. οὕτως οἱ τῆς Τρίτης πατέρες, ἑαυτούς τε, καὶ τοὺς ἄλλους, ἐκώ-
λυσαν ἐκ τῆς ἴσης δυνάμεως. οὕτω συνοίσειν ὑπειληφότες, ἂν μηκέτι λοι-
πὸν τὸ τῆς πίστεως σύμβολον, προφάσει τῶν ἀναπτύξεων, ἐνοχλῆται, καὶ
παραβλάπτηται. καὶ τῶν πάντων ἁπλῶς ἀφελέσθαι τὴν ἐξουσίαν, τοῦ
τὸ Σύμβολον τρόπῳ γοῦν τινὶ μεταποιεῖν. ὥρισε γὰρ φησὶν ἡ ἁγία Σύ- ,, Συνόδ. γ.
νοδος, μηδενὶ ἐξεῖναι, καὶ τὰ λοιπά. πᾶσαν ματαίαν ἐξέκοψαν πρόφα- ,,
σιν, τῶν βουληθέντων ἄν ποτ' ἐκ πονηρίας, τολμηρὰν ἐπιβαλεῖν τῷ Συμ-
βόλῳ χεῖρα. ὥσπερ ὁ δεσπότης ἡμῶν Ἰησοῦς, τὴν τῆς συντελείας ἡμέ-
ραν ἀγνοεῖν εἶπε τὸν υἱὸν (ἑαυτὸν λέγων) τὸν δὲ πατέρα μόνον εἰδέναι, ἵνα
θριγκὸν ἐπιθῇ τῇ τῶν ἀποστόλων πολυπραγμοσύνῃ. τίς γὰρ ἂν ἐτόλ-
μησε λοιπὸν ἐπιθυμεῖν εἰδέναι, καὶ τολμᾶν ἐρευνᾶν, ἅπερ ὁ δεσπότης ἔλε-
γεν ἀγνοεῖν; καὶ ὁ μακάριος Παῦλος. ἐάν τις εὐαγγελίσηται ὑμῖν (φη- ,, Γαλά. α.
σὶν) ἄλλο, παρ' ὃ εὐηγγελισάμην ὑμῖν, ἀνάθεμα ἔστω. καὶ ἑαυτὸν ὑπο- ,,
θεὶς ταύτῃ τῇ δίκῃ, εἰ μέλλει ποτὲ τἀναντία τοῖς προτέροις εὐαγγελί-
ζεσθαι. οὕτως οὖν καὶ οἱ τῆς Τρίτης Συνόδου πατέρες, οὔτε αὐτοὶ τὸ Σύμ-
βολον μετεποίουν, οὔτε ἄλλῳ τινὶ τοῦτο ἔφασαν ἐξεῖναι ποιεῖν. ἐνενόουν
γὰρ (ὡς εἰκὸς ἐστὶ) τοῦ χρόνου προβαίνοντος, τὴν τοῦ Νεστορίου τόλμαν,
καὶ ἄλλοις τισὶν ἐπελθεῖν ἄν. καὶ καθάπερ ἐκεῖνος τῷ θρόνῳ θαρρῶν, ἐ-
λύπει τὸ Σύμβολον. οὕτω καί τινα τῶν ἄλλων Πατριαρχῶν, τῆς κοινῆς ὁμο-
τίμων ὑπεριδόντα θελήσεως, ἀναπτύξεως ἀκαίρῳ προφάσει, ἴσως μὲν
ἀληθεῖ τινὶ, ἴσως δὲ καὶ ψευδεῖ καινοτομίᾳ, τὴν κοινὴν ὁμολογίαν παρα-
βλάψαι τῆς πίστεως. καὶ τὴν τόλμαν ταύτην, ὥσπερ ἄριστοί τινες ἰατροὶ,
προανεῖλον, ἀποφηνάμενοι, μηδενὶ λοιπὸν ἐξεῖναι τοῦ Συμβόλου τῆς πί-
στεως ἅπτεσθαι. καὶ καθάπερ ἔργον γέγονε τῆς Πρώτης καὶ Δευτέρας Συνό-
δου, τὸ προσθεῖναι κατὰ τῶν αἱρετικῶν. οὕτως Αὕτη τῶν ἀληθινῶν Συ-
νόδων καὶ τῶν τῆς ἀληθείας μαθητῶν, ἔργον εἶναι κατέδειξε, τὸ μένειν ἐν
τῷ Συμβόλῳ τῆς Δευτέρας Συνόδου. καὶ κακουργίαν εἶναι νομίζειν αἱρετι-
κὴν, τὸ βούλεσθαί τι καινοτομεῖν. καὶ τοῦτον τὸν νόμον αἱ μετ' ἐκείνην,

πᾶσαι

πάσαι τετηρήκασι Σύνοδοι. καίτοι ψήφους μὲν τινας περὶ τῶν προκειμένων ἔφερον ἑκάστη, καὶ νόμους ἐτίθουν· ἀλλὰ τοῦ Συμβόλου, καθάπαξ ἀπέσχοντο. καὶ καθάπερ ἐξῆν αὐταῖς ἀποφαίνεσθαι περὶ ὁτουοῦν, ἕως ἑκάστη τὸ τῆς οἰκουμενικῆς Συνόδου καὶ συμπάσης τῆς ἱερᾶς Ἐκκλησίας εἶχεν ἀξίωμα. οὕτως οὐκ ἐξῆν αὐταῖς ἅπτεσθαι τοῦ Συμβόλου, ἕως ἄθικτον αὐτὸ διαμένειν, ἡ Τρίτη Σύνοδος ὥρισεν. Αὗται δὲ τοὺς ἐκείνης νόμους ἐξ ἀνάγκης ἐτήρουν. ἄμφω γὰρ προσήκοντα ἦν Συνόδοις ἀληθιναῖς, καὶ τὸ μηδὲν ἀναιρεῖν, ὧν ἔδοξε ταῖς προτέραις, μᾶλλον δὲ αὐταῖς πρότερον. καὶ τὸ περὶ τῶν ἑκάστοτε ζητουμένων, μετ' ἐξουσίας τἀληθῆ διορίζειν· καὶ ἠδύναντο πράττειν ἑκάτερον, μηδὲ θάτερον παραβλάπτουσαι· καὶ τῇ μὲν πίστει, προστιθέναι, καὶ ἀναπτύσσειν, καὶ ὁρίζειν, ἅπερ ἐδόκει σκοπουμέναις ἀληθῆ καὶ δίκαια εἶναι. ἥκιστα δὲ τὴν τοῦ Συμβόλου λέξιν μεταποιεῖν. εἰ δὲ καὶ μὴ ταῦτα ἡ Τρίτη Σύνοδος ἐβούλετο καταδεῖξαι ταῖς ἄλλαις, μή τε μὴν εἴργουσα ἦν μηδένα καὶ ὁτινοῦν, οὐκ ἔδει πρὸς Θεοῦ, τοὺς μετὰ τὴν Ἑβδόμην Σύνοδον, μᾶλλον χρήσασθαι τῷ παραδείγματι τῶν πέντε Συνόδων, ὥστε μὴ προστιθέναι (καὶ ταῦτα ὑστέρων οὐσῶν καὶ ἐφεξῆς) ἢ τῷ παραδείγματι τῶν προτέρων ἐκείνων, δυοῖν τε οὐσῶν, καὶ πάσαις ἀνάγκαις εἰς τὴν τοῦ προστιθέναι χρείαν ἀφικομένων; ἢ εἴγε δεῖ τἀληθῆ λέγειν, οὐ προστεθεισῶν μᾶλλον, ἢ συντιθεισῶν τὸ Σύμβολον· ἐπὶ γὰρ τῆς Δευτέρας, ἤδη τέλειον ἦν, καὶ οὐδενὸς ἐνέδει τῶν ἀναγκαίων. παντί που δῆλον ἐστὶν, ὅτι τὸ τοῦ μὴ προστιθέναι παράδειγμα, ἰσχυρότερον ἂν ἦν, τοῦ προστιθέναι, τοῖς γε βουλομένοις πράττειν ὀρθῶς. Ἀλλ' οἱ τὸ ἐκ τοῦ υἱοῦ προστεθηκότες, τούτων ἁπάντων ὑπεριδόντες, μετὰ πολλῆς τῆς ἀδείας τὴν προσθήκην ἐτόλμων. καὶ τὰς πέντε Συνόδους ὑπερβάντες, ἐπὶ τὰς προτέρας ἐκείνας τὸν ζῆλον ἐξέτειναν. οὐδὲ γοῦν τὸ σχῆμα τῶν οἰκουμενικῶν Συνόδων περιβεβλημένοι. Ὁ γὰρ Ῥώμης Ἀρχιερεὺς μετὰ τῶν ὑφ' αὑτὸν ἐπισκόπων, ταῦτα ἔπραττε μόνος. μηδενὸς αὐτῷ τῶν ἀπὸ τῆς Ἀσίας Πατριαρχῶν, οὐδενὶ τρόπῳ συνεδριάζοντος. Οὕτω τὰς οἰκουμενικὰς ἐκείνας ἐμιμοῦντο Συνόδους, οἱ τῶν μὲν προτέρων Συνόδων καταφρονήσαντες, τῷ μὴ τὰ Κεφάλαια τῆς Οἰκουμένης ἔχειν συμψηφιζόμενα, καθάπερ

Σημ.

ἐκεῖναι.

ἐκεῖναι. τὴν δὲ ὑστέραν ὀλίγον ποιησάμενοι λόγον, ὅτι προσετίθουν ἐν τῷ Συμβόλῳ κατ' ἐξουσίαν αὐτοί, πάσης ἐκείνων ἀποσχόμενοι προσθήκης. οὕτω τὸν μακάριον ἐσεβάσθησαν Κελεστῖνον, λέγοντα, „ δεῖ πάντας εἰδέναι τὸ πραττόμενον, ὁσάκις ἡ περὶ κοινοῦ πράγματος ἡ σκέψις. „ Κελεστ. διὰ ταῦτα δικαίως (ὥσπερ ἔφην εἰπών) χεῖρον ἢ πρότερον ἐμισήθησαν· καὶ τὴν τῶν σχισματικῶν δικαίως ἀπειλήφασι χώραν.

ΚΕΦΑΛΑΙΟΝ ε.

Ὅτι καθ' ἡμῶν τὴν πρόσθεσιν ἐποιήσαντο, καὶ τῶν ἔτι ὁμοφρονούντων τότε ἡμῖν ἐν αὐτοῖς. οὓς λέγουσιν εἶναι Νεστοριανούς. καὶ ὅτι ὁπόταν διισχυρίζωνται πιστεύειν ὁμοίως ἡμῖν, ἢ ἑαυτοῖς ἀσύμφωνα λέγουσιν. ἢ Νεστοριανοὶ βούλονται εἶναι αὐτοί. ἢ ἡμᾶς ἐξαπατᾶν ἐθέλουσιν.

Καὶ πρὸς τούτοις οὐδὲ ἐλελήθει τοὺς ἡμετέρους πατέρας, ὡς ἡ Σύνοδος ἐκείνη, καὶ ἡ προσθήκη, καὶ πάντα τὰ τότε, κατὰ τῆς Ἀνατολικῆς Ἐκκλησίας, ἢ μᾶλλον εἰπεῖν, κατὰ τῆς ἀρχαίας καὶ κοινῆς ἐγένοντο δόξης. τὸ γὰρ μάλιστα συνελάσαν ἐπ' ἐκεῖνα Ῥωμαίους ἦν, ὅτι πολλοὶ ταῖς Ἀνατολικαῖς Ἐκκλησίαις συνηγόρουν ἐκεῖ· καὶ οὕτω διῃρῆσθαι Λατῖνοι, καὶ πρὸς ἑαυτοὺς ἐκινδύνευον. τῶν γὰρ αἰτιῶν τοῦ σχίσματος ἐξεταζομένων (ἅτε πάντας λυποῦντος) ἐν ταῖς διαλέξεσιν, ὥσπερ εἰώθασιν ἐκεῖνοι ποιεῖν, αἰτίας ἔξω τοὺς ἡμετέρους ἐτίθουν. καὶ σωφρονέστερα περὶ τοῦ πνεύματος ἡγοῦντο λέγεσθαι τῇ πίστει, τοὺς τοῖς ἀρχαίοις ἐμμένοντας. καὶ οὐ μόνον ἐν ἑκάστοις Γένεσι πλεῖστοι τὴν τῶν Ἀσιανῶν ἐτίμων Εὐλάβειαν. ἀλλὰ καὶ ὅλα γένη τῆς τῶν γραικῶν ἐκοινώνουν δόξης, μᾶλλον δὲ τῆς ἀρχαίας εἴχοντο πίστεως, καὶ πρὸς τὴν νέαν ἐκείνην ἀπεχθῶς εἶχον. εἴ τε καὶ οὕτω πάνυ φρονοῦντες, εἴ τε καὶ τὸ τοῦ σχίσματος δεινόν, ἐκ ταύτης αὐξηθή-

σεσθαι προορώμενοι τῆς δὴ γνώμης καὶ Ἰωάννης ἦν ὁ πάπας ἐπὶ Φωτίου, καὶ ἡ ἱερὰ (κατὰ Λατίνους εἰπεῖν) τότε τῆς Ῥώμης Αὐλὴ, ὡς ἐκ τῆς πρὸς Φώτιον ἐπιστολῆς αὐτοῦ διαφαίνεται. ἣν διαβάλλουσιν, οἱ μηδὲν πρὸς ἀλήθειαν, πάντα δὲ πρὸς τὴν πονηρὰν αὐτῶν ἕλκοντες πρόληψιν. πόθεν γὰρ ἔξεστιν αὐτοῖς νοθείαν καταγινώσκειν, τῶν πραγμάτων ταῦτα συμφθεγγομένων, καὶ οὕτω συμφωνούντων καλῶς, ὥστε μηδὲν πλέον εἰς βεβαίωσιν ἐκ ταύτης προσγίνεσθαι τοῖς χρωμένοις, πρὸς τὴν τῆς ἀληθείας ἀπόδειξιν, τῆς τῶν πραγμάτων ἐνεργείας ἀρκούσης; τίς γὰρ οὐκ οἶδεν ὅτι προσθήκης, ἀνάγκῃ πάσῃ τῷ προέδρῳ τῆς Ῥώμης ἀπείργετο, τὴν κοινὴν ὁμολογίαν καὶ πίστιν διεκδικεῖν, καὶ τὰ ἴδια τισὶ δοκοῦντα καταδικάζειν καὶ εἴργειν; καὶ τοὺς διὰ ταῦτα παραιτουμένους τῶν ὁμοτίμων καὶ ἀδελφῶν, ταῖς τῆς διορθώσεως ἐλπίσι παραμυθεῖσθαι, καὶ πείθειν αὐτοὺς ἡσυχάζειν; μηδὲ πρὸς τὰς φήμας τῶν νεωτερισμῶν σκανδαλίζεσθαι, ὡς ἐκριζωθησομένων ἠρέμα, μεθόδοις ποιμαντικαῖς τε καὶ πατρικαῖς; εἰ δὲ καὶ τῆς σώφρονος καὶ εὐλαβοῦς μοίρας ἐτύγχανεν ὤν, οὐ διὰ τὸ σχίσμα μόνον, ἀλλὰ καὶ διὰ τὴν τῆς ἀληθείας συνείδησιν, τοῦτ᾽ ἂν ἐποίει. τοιαῦτα δέ τινα ἡ ἐπιστολὴ καὶ οὐδὲν, ἢ τῷ τοῦ Πάπα σχήματι, ἢ τοῖς τότε πράγμασιν, ἀσύμφωνον περιέχει. Εἰ δὲ καὶ ταῦτα πρὸς τὸν Φώτιον ἐπιστέλλων ἐπλάττετο, ἐμελέτα δὲ τὸ δεινὸν καὶ αὐτὸς, καὶ ψήφῳ κοινῇ τὴν πονηρὰν ἐνίων προπέτειαν ἐβούλετο βεβαιοῦν, ὡς καὶ αὐτὸς ταύτην ἔνδον κρύπτων τὴν δόξαν: ἃ μὲν ἔγραφε, πατρὶ, καὶ ποιμένι, καὶ διδασκάλῳ, προσήκοντα, ὥσπερ ἡμῖν ἐστὶ, καὶ τοῖς πράγμασι συμφωνεῖ· ἃ δὲ ἐβούλετο πράττειν, οὐ μόνον τῷ πρέποντι, ἀλλὰ καὶ αὐτῷ μαχόμενα ἦν. καὶ οὕτω δ᾽ ἔχοντα, ὥσπερ ἡμῖν ἐστὶ δήπου. ἀλλ᾽ οὐ μόνον ἐκ τῆς ἐπιστολῆς ἐκείνης, ἀλλὰ καὶ ἐξ ὧν ἔπραττεν ἐνταῦθα, διὰ τοποτηρητῶν αὐτοῦ, τόν τε Φώτιον ἐγκαθιδρύων τῷ θρόνῳ, καὶ τὴν ἡμετέραν Ἐκκλησίαν πείθων, ὡς ἄρα ταύτῃ σύμφρων ἐστὶν ἡ Ῥωμαϊκὴ, καὶ τοὺς ἐνίων νεωτερισμοὺς οὐ προσίεται. καὶ μετὰ ταῦτα, τοῖς ἐγνωσμένοις ἐναποθνήσκων, καὶ τὴν ἀρχὴν ἐκείνην ἣν ἐπιστεύθη, χωρὶς τινος ζημίας καὶ ἄσπιλον παραδιδοὺς τῷ Θεῷ, δῆλος γέγονε, μηδὲ βουλόμενος ἐν νῷ ποτὲ τὴν τῶν ὕστερον ἀποστασίαν. ἐσωφρόνει

δὲ

δὲ οὐκ αὐτὸς μόνος (οὐ γὰρ ἂν ἀντέχειν ἠδύνατο, πάντων τῶν ἄλλων νενοσηκότων) ἀλλὰ καὶ (πλὴν ὀλίγων τῶν ἤδη διεφθορότων) τοῖς ἄλλοις ὁμοδόξοις ἐχρῆτο καὶ ὁμογνώμοσι. καὶ φανερῶς οὕτως ἡ τῆς Ῥώμης Ἐκκλησία τότε, τῆς φανερᾶς καὶ κοινῆς γνώμης προΐστατο. ἀλλὰ χρόνοις ὕστερον οὐκ ὀλίγοις, τοῦ πλείονος μέρους κεκρατηκότος (οὗτοι δὲ ἦσαν οἱ τῷ τύπῳ τῶν Εὐρωπαίων Διδασκάλων προσέχειν ἰσχυριζόμενοι φαύλως, καὶ διὰ τοῦτο τολμῶντες καινοτομεῖν.) τοῦ γὰρ χρόνου προβαίνοντος, τὸ μὲν καινοτομοῦν, προσετίθετό τε καὶ ηὔξανε μέρος. οἱ δὲ σωφρονοῦντες καὶ τῆς ἀρχαίας δόξης ἐχόμενοι, ἐλάττους τε ἀριθμῷ, καὶ διὰ τοῦτο ἀσθενέστεροι καθ' ἡμέραν ἐγίνοντο. τούτου τοίνυν τοῦ μέρους ἰσχύσαντος, καὶ ὁ τότε Πάπας ἐνέδωκεν, εἰ καὶ τῆς ἀληθοῦς γνώμης πρότερον ἦν (ἴσως γὰρ καὶ τοιοῦτος τις ἦν) καὶ πάντες ὡς δὴ Συνόδου ψηφιζομένης, καὶ τῆς Ἐκκλησίας οὕτω νομοθετούσης, τὸν νεωτερισμὸν ἐκεῖνον ἐδέχοντο. ὥστε καὶ νῦν πολλοὶ Λατίνων, καίτοι συνειδότες ἡμῖν ἀληθῆ καὶ δίκαια λέγουσιν, ὅμως ἡττῶνται τῶν ἰδίων ποιμένων, καὶ σφίσι πείθονται. πρᾶγμα πράττοντες εὐλαβέστερον, ἢ τῶν ἡμετέρων ἐνίοις ἐπῆλθε ποιεῖν· οἳ μὴ μόνον δογμάτων, ἀλλὰ καὶ ἐθῶν καὶ θρησκευμάτων ὑπερορίων μεταβαλλόντες, κεκοινωνήκασι. τῶν συντρόφων τε καὶ οἰκείων ὡς δὴ φαύλων, δι' εὐκολίαν, ἵνα μὴ λέγω πονηρίαν γνώμης καταφρονήσαντες. ἀλλὰ ταῦτα μὲν, ἄλλης ἂν γένοιτο χρείας, ἐξετάζειν τε καὶ σκοπεῖν. Τοῦ δὲ τὴν προσθήκην, κατά τε τῶν Ἀνατολικῶν Ἐκκλησιῶν, καὶ τῶν ἐπὶ ταύταις ἐν τοῖς Λατίνοις συνηγορούντων, ἐπινοηθῆναι τότε τοῖς πράξασι, τεκμήριον ἐστὶν ἐναργές· ὅτι νῦν ἐρωτώμενοι παρ' ἡμῶν οἱ Λατῖνοι, τίνος ἐπιγούσης ἀνάγκης ἐβουλεύσαντο προστιθέναι; κατὰ τῶν Νεστοριανῶν φασὶ τοῦτο βουλεύσασθαι· ἦσαν δὲ τότε πάντες οἱ Ἱσπανοὶ Νεστοριανοί. Νεστοριανοὺς λέγοντες, τοὺς ὁμοίως Γραικοῖς, τὰ περὶ τοῦ πνεύματος οἰομένους· μᾶλλον τοῖς τὴν κοινὴν τῆς Ἐκκλησίας γνώμην διαφυλάττουσι, προσηγορίαν ἐπιτιθέντες, ἥκιστα πρέπουσαν. τί γὰρ πρὸς τὴν αἵρεσιν Νεστορίου, (καθ' ἧς οἱ Κυρίλλου λόγοι, καὶ αἱ συνοδικαὶ ψῆφοι, καὶ ὁ σύμπας ἐκεῖνος τῆς Ἐκκλησίας ἀγὼν) τὸ τὴν ὕπαρξιν μὴ ἔχειν ἐκ τοῦ υἱοῦ τὸ πνεῦμα τὸ

ἅγιον; Νεστοριανὴ γὰρ αἵρεσις ἦν, ἡ κατὰ Χριστοῦ βλασφημία. τὸ δὲ περὶ
τοῦ πνεύματος, καὶ Νεστορίου μὲν ἦν δόξα, οὐ μέντοιγε φαύλη· οὐ γὰρ ἰ-
δία αὐτοῦ, ἀλλὰ κοινὴ, καὶ τοῖς ὀρθοδόξοις πᾶσιν ἀρέσκουσα ἦν. ὥσπερ καὶ πολ-
λὰ ἄλλα τῶν ἀληθῶν, ὁμολογεῖ Νεστόριος ἐν τῷ οἰκείῳ Συμβόλῳ. ἀλλ'
οὐδὲν ἐκείνων δόξα τοῦ Νεστορίου λέγεται. ἐκεῖνα δὲ μόνον, ἃ πρὸς τὴν ἀ-
λήθειαν, καὶ τὴν κοινὴν τῶν εὐσεβούντων γνώμην ἐμάχετο. Ὅτι δὲ καὶ
μετὰ ταῦτα, καὶ μέχρι τοῦ νῦν, δόξαν ἡγοῦνται τοῦτο Νεστορίου πονη-
ρὰν καὶ διάστροφον, καὶ Θωμᾶς δείκνυσι, τὸ τοῦ Δαμασκηνοῦ ῥητὸν ἐξηγού-
μενος· ἐν ᾧ φησὶ τὸ πνεῦμα ἐκ τοῦ υἱοῦ οὐ λεγόμενον. τὸν γὰρ διδάσκα- Θωμᾶς περὶ Δαμασκ.
λον ἐκεῖνον φησὶ, τοῖς τοῦ Θεοδωρήτου συγγράμμασιν ἑπόμενον, ὄντος Νεστο-
ριανοῦ, καὶ αὐτὸν συναπαχθῆναι τῷ ψεύδει. καὶ ὅσοι τῶν ἡμετέρων Λα-
τίνοις καθάπαξ ἐνέδωκαν, οὕτως ἐν οἷς συγγεγράφασι, τοὺς ἑαυτῶν τιμῶσι
πατέρας· καὶ τὸν μὲν Δαμασκηνὸν, οὐ τολμῶσι λέγειν Νεστοριανὸν ποτὲ
γεγονέναι, καθάπερ ὁ Θωμᾶς ἐκεῖνον συκοφαντεῖ. ἀλλ' ἐξηγοῦνται τὰ ἐκεί-
νου μόνον σοφιστικῶς. τῷ δὲ Θεοδωρήτῳ, ταύτην ἀφιᾶσι τὴν μέμψιν. καὶ
τοὺς τῆς Τετάρτης, καὶ Πέμπτης, καὶ Ἕκτης Συνόδου, κατὰ τῶν κεφαλῶν ἐ-
κείνων ἀναθεματισμοὺς, ἡγοῦνται σφίσιν ἀρκεῖν πρὸς τὴν τῶν τοιούτων μύ-
θων ἀπόδειξιν. ὃ δὲ πλείστου θαύματος ἐστὶν ἄξιον, ὅτι τὴν μὲν ἀνατο-
λικὴν Ἐκκλησίαν, εὐθὺς ἀπὸ τῶν τοῦ Νεστορίου καιρῶν, Νεστοριανὴν ἡ-
γοῦνται Λατῖνοι, καὶ τὴν ἐν αὐτῇ κεκρατηκυῖαν δόξαν, οὕτως ἐχθρὰν
ἡγοῦνται καὶ πολεμίαν. τὰ αὐτὰ δὲ πιστεύειν ἡμῖν ἰσχυρίζονται· καὶ οὕτω
τοὺς ἁπλουστέρους ἐξαπατῶσι. περιβομβοῦσι δὲ τὰ αὐτὰ ἄνω καὶ κάτω, καὶ
οἱ τῆς Ἀνατολικῆς Ἐκκλησίας ἀποστάται, καὶ τῶν πατρίων ἐθῶν καὶ θρη-
σκευμάτων καὶ νόμων καταφρονηταί. δυσχεραίνοντες, ὅτι μὴ πάντας πρὸς
τὸν αὐτὸν ἕλκουσι κίνδυνον, ἀλλ' εἰσί τινὲς ἔτι δυνάμενοι σωφρονεῖν· τίνα
γὰρ κατὰ τὴν ἡμετέραν πίστιν πιστεύετε, (φαίη τις ἂν πρὸς αὐτοὺς) ἄνθρωποι
τοῦ Θεοῦ, ὅτι φαμὲν ἐν τῷ Συμβόλῳ τῆς πίστεως καθ' ἡμέραν, τὸ ἐκ τοῦ
πατρὸς ἐκπορευόμενον πνεῦμα; ἀλλὰ τοῦτο μὲν δῆλον ἐστὶ πᾶσιν, ὡς οὐ-
δὲ ὑμεῖς ἐξαρνεῖσθε πώποτε. οὐ μέντοιγε μέχρι τούτου στῆναι ὑμῖν ἔδο-
ξεν· ἀλλὰ καὶ ἐκ τοῦ υἱοῦ προϊέναι τοῦτο λέγετε, ὡς καὶ ἐξ αὐτοῦ τὴν

ὑπαρ-

ὕπαρξιν ἔχον, καὶ ὑφιστάμενον ἐξ αὐτοῦ. καὶ τὸν υἱὸν ἀρχὴν (ὡς καὶ ἡμεῖς φαίημεν αἰτίαν) τοῦ πνεύματος εἶναι ὁμολογεῖτε. καὶ πᾶσιν οὕτω πιστεύειν προτρέπεσθε. πολλοῦ δὲ δεῖ ταῦτα καὶ ἡμετέραν πίστιν εἶναι. τοὐναντίον γὰρ ἡμεῖς ἄρχηθεν πιστεύομεν. ἀρχὴν καὶ αἴτιον υἱοῦ καὶ πνεύματος, τὸν πατέρα καὶ μόνον εἶναι. καὶ τὸ πνεῦμα ἐκ τοῦ πατρὸς ἐκπορεύεσθαι, τουτέστιν ὑφίστασθαι. καὶ τὴν τῆς ὑποστάσεως αἰτίαν, ἐκεῖθεν ἔχειν καὶ μόνον. ὁμοούσιον δὲ εἶναι τῷ υἱῷ, καὶ δι' αὐτοῦ προϊέναι λέγεσθαι ἀϊδίως, διὰ τὴν τῆς οὐσίας ἑνότητα. καὶ χρονικῶς δι' αὐτὴν τῆς οὐσίας ἑνότητα, καὶ δι' αὐτοῦ προϊέναι. δι' αὐτοῦ γὰρ τοῖς ἀνθρώποις ἡ τοῦ πνεύματος δίδοται χάρις. οὐ δὲ δυνάμεθα πιστεύειν ἄλλως. οὕτω τῶν ἡγουμένων ἡμῶν πιστεύειν ἐπιταττόντων ἡμῖν. ἀνέπτυξαν γὰρ ἐκεῖνοι τὸ περὶ τοῦ πνεύματος ἄρθρον οὕτως, ἐν ταῖς διδασκαλίαις αὐτῶν. ὅταν οὖν ἐκ τοῦ πατρὸς ἐκπορευόμενον πνεῦμα ὁμολογῶμεν, τὰς τῶν διδασκάλων ἀναπτύξεις φέρομεν ἐπὶ νοῦν, καὶ ταύτην τὴν ἡμετέραν ὁμολογίαν, πρὸς τὴν ἀληθινὴν ἀπευθύνομεν ἔννοιαν. εἰδότες ὡς ἀδύνατον ἐστὶ τοσούτους ψεύσασθαι διδασκάλους, οὕτω διωρισμένως, οὕτω σοφῶς ἡμῖν, τὸ περὶ τοῦ πνεύματος ἀναπτύξαντας ἄρθρον. ἀλλ' ὡς ἔοικεν, ὑποτιθέντες δεῖν πιστεύειν ἡμᾶς, ὡς ἂν ὑμεῖς βούλοισθε, καὶ ὥσπερ ἃ περὶ ἡμῶν, μᾶλλον δὲ καθ' ἡμῶν, ἐλπίζετε περιλαμβάνοντες, πιστεύειν ἰσχυρίζεσθε συμφώνως ἡμῖν. ῥᾷον δ' ἂν ἦν, ἀρνεῖσθαι τὸν υἱὸν ἀρχὴν εἶναι τοῦ πνεύματος· οὕτω γὰρ πιστεύειν ὑμᾶς ὁμοίως ἡμῖν ἐγνωκότες, αὐτίκα ἂν θαρῥούντως ἡνούμεθα. νῦν δὲ κινδυνεύοντες διαστῆναι τῶν διδασκάλων ἐκ τῆς πρὸς ὑμᾶς ἑνώσεως (ἂν καὶ ἡμεῖς τὸν υἱὸν ἀρχὴν καὶ αἰτίαν εἶναι τοῦ πνεύματος συνομολογῶμεν) οὐ βουλόμεθα τηλικοῦτον ἑκόντες κίνδυνον ὑπιέναι. Σαφὲς τοίνυν ἐστὶν ἐκ τῶν εἰρημένων, ὅτι κατὰ Γραικῶν τὴν δόξαν ἐκείνην ἐν τῷ Συμβόλῳ προσετίθουν, καὶ τῶν Ἰαπανῶν οἱ Γραικοῖς συνεφρόνουν, ὡς αὐτοὶ λέγουσι. καὶ τούτους εἶναι φασὶ Νεστοριανούς. καὶ ἡμᾶς, ἕως ἂν τὴν δόξαν ταύτην κρατύνωμεν, Νεστοριανοὺς ἡγοῦνται, εἰ καὶ μὴ βούλωνται καλεῖν οὕτωσὶ φανερῶς, ἴσως οὐ βουλόμενοι λυπεῖν. οἴδασι γὰρ τῇ τοιαύτῃ καθ' ἡμῶν βλασφημίᾳ, τὸ σχίσμα μεῖζον ποιήσοντες.

ΚΕΦΑΛΑΙΟΝ ϛ.

Ὅτι καταψεύδονται καὶ Νεστορίου, καὶ Θεοδωρήτου, καὶ Κυρίλλου, καὶ ἡμῶν, ἐπειδὰν τὴν ἡμετέραν δόξαν Νεστοριανὴν εἶναι λέγωσι, καὶ τὸν Θεοδώρητον ὡσαύτως Νεστοριανόν.

Καταψεύδεται δὲ καὶ Νεστορίου, καὶ Θεοδωρήτου, καὶ Κυρίλλου, καὶ Δαμασκηνοῦ, καὶ συμπάσης τῆς Ἀνατολικῆς Ἐκκλησίας, καὶ οὐδὲν λέγει σαφὲς, εἴ τις τὰ τοιαῦτα λέγειν προαίροιτο. ὁ μὲν γὰρ Νεστόριος (πλὴν ὧν εἰς τὴν θείαν ἐξημάρτανεν οἰκονομίαν) τἄλλα μέτριος ἦν. καὶ οὐδεὶς αὐτῷ τῶν ἄλλων εἵνεκα ἐνεκάλει· ὥστε καὶ οὐδὲν ἂν ἐκώλυσεν αὐτὸν, ἀπολαύειν τοῦ θρόνου, εἰ τὸν Χριστὸν ἀληθῆ Θεὸν, τὸν αὐτὸν καὶ Ἄνθρωπον ἀληθῆ, μεταβαλλὼν πιστεύειν ἐβούλετο. καὶ ἡ Σύνοδος ἐκείνη, τὰ μυσαρὰ τοῦ Νεστορίου δόγματα κατακρίνουσα, καὶ ταῦτα καταριθμοῦσα, τὴν εἰς τὸ πνεῦμα σιωπᾷ βλασφημίαν, οὐκ ἂν σιωπήσασα, εἴπερ ᾔδει Νεστόριον βλασφημεῖν εἰς αὐτό. ὅσῳ τὴν εἰς τὸ πνεῦμα τὸ ἅγιον βλασφημίαν, καὶ τὸν ἡμέτερον δεσπότην ᾔδεισαν συγγνώμης ἁπάσης κρείττω, καὶ οὐδαμῶς ἀνεκτὴν ὁριζόμενον, καὶ πολλῷ πλέον τῆς εἰς αὐτὸν βλασφημίας· Θεοδώρητος δὲ οὐδαμοῦ τῷ Νεστορίῳ συνᾴδει, πλὴν ἐν τοῖς ἀνεγκλήτοις. Κυρίλλου δὲ μᾶλλον ὡς ἀφυῶς ἀντιλέγοντος καὶ περιπίπτοντος ἑαυτῷ, καὶ τὰ κοινὰ νόμιμα παρεξιόντος, ἐν τοῖς πρὸς Νεστόριον ἀγῶσι, καθήψατο. πρόφασιν τὰ κεφάλαια τῶν ἀναθεματισμῶν ἐνστησάμενος, καὶ ψελλισμούς τινας καὶ ἀπηχεῖς, ὕστερον ταῦτα φθόγγους ἀποκαλεῖ. ὅτι μὴ διηρθρωμένως καὶ σαφῶς τὴν ἀλήθειαν διωρίζοντο· εἴτε δὲ τοιαύτην τινὰ φαυλότητα τοῖς συγγράμμασιν ἐκείνοις ὁ Θεοδώρητος ὁμολογουμένως συνῄδει, εἴτε καὶ ἀνθρώπινόν τι παθὼν, τὴν τοῦ Κυρίλλου δόξαν ἐκώλυεν, οὐκ ἀνάγκη νῦν ἐξετάζειν. Κύριλλος δὲ, ἐν μὲν τοῖς ἄλλοις Θεοδωρήτῳ τὴν τοῦ Νεστορίου δυσσέβειαν περιτρέπει, μὴ γὰρ ἂν ἀπεχθῆ γενέσθαι

καὶ τὸν ἀπηχῆ φθόγγον εἰς ἠλείαν ἁρμονίαν μεταποιήσαντα:

Ἐκ τῆς Κυρίλλου πρὸς Οὐαλλεριανὸν ἐπίσκοπον ἐπιστολῆς.

Οἱ γάρ τοι κατὰ τὴν Ἑῴαν πᾶσαν θεοσεβέστατοι ἐπίσκοποι, ἅμα τῷ κυρίῳ μου τῷ θεοσεβεστάτῳ ἐπισκόπῳ τῆς Ἀντιοχέων ἐκκλησίας Ἰωάννῃ, δι' ἐγγράφου καὶ σαφοῦς ὁμολογίας φανεροὶ ἅπασι κατέστησαν. ὅτι τὰς μὲν Νεστορίου βεβήλους κενοφωνίας κατακρίνουσί τε καὶ ἀναθεματίζουσι μεθ' ἡμῶν. καὶ οὐδενὸς ἠξίωσαν αὐτὰς πώποτε λόγου. ἀλλὰ τοῖς εὐαγγελικοῖς τε καὶ ἀποστολικοῖς ἕπονται δόγμασι, καὶ τὴν τῶν πατέρων ὁμολογίαν, κατ' οὐδένα λυποῦσι τρόπον. (Καὶ πάλιν ἐκ τῆς αὐτῆς ἐπιστολῆς.) Ἂν τοίνυν καταψευδόμενοί τινες λέγωσιν ἕτερά τινα παρὰ ταῦτα φρονεῖν αὐτούς, μὴ πιστευέσθωσαν. ἀλλ' ὡς ἀπατεῶνες καὶ ψεῦσται κατὰ τὸν αὐτῶν πατέρα διάβολον ἀποπεμπέσθωσαν, ἵνα μὴ παρασπῶσι τοὺς θέλοντας ὀρθοτομεῖν:

Ἐκ τῆς Κελεστίνου τοῦ Ῥώμης ἐπιστολῆς πρὸς Νεστόριον. ἧς ἡ ἀρχή, ἐφ' ἡμέρας τινάς.

Ἀνεγνώκει δηλαδὴ ἡ ἁπλῆ ἐκείνη εὐλάβεια, καὶ εὐλαβὴς ἁπλότης, δεῖν μᾶλλον φοβεῖσθαι, ἢ ἰδίας συνέσεως βάθος ἐπιζητεῖν. καὶ ἀλλαχοῦ· μὴ δεῖν ἀνερευνᾶν τὰ βαθύτερα. καὶ πάλιν. εἴ τις ἄλλο κηρύξειε καὶ νομοθετήσειε παρ' ὃ ἐκηρύξαμεν, ἀνάθεμα ἔστω. καὶ πάλιν. φανερὰν ἀπόφασιν κατὰ σαυτοῦ ἐξήνεγκας, θέλων περὶ τοῦ Θεοῦ λόγου ἄλλως κηρύξαι, ἢ παρ' ἡ πάντων πίστις ἔχει. καὶ πάλιν. οὐκ ὀφείλουσι τῆς ἀρχαίας πίστεως τὴν καθαρότητα βλάσφημοι λόγοι διαταράξαι. τίς ποτε οὐκ ἄξιος τοῦ ἀναθεματισθῆναι ἐκρίθη, ἢ ἀφαιρῶν τι, ἢ προστιθεὶς τῇ πίστει. τὰ γὰρ μεστῶς καὶ φανερῶς παραδοθέντα ἡμῖν ὑπὸ τῶν ἀποστόλων, οὔτε προσθήκην οὔτε μείωσιν ἐπιδέχεται. ἀνέγνωμεν γὰρ ἐν ταῖς βίβλοις ἡμῶν, μήτε προσθεῖναι δεῖν, μήτ' ἀφαι-

„ρεῖν. μεγίστη γὰρ καὶ τὸν προστιθέντα καὶ τὸν ἀφαιροῦντα τιμωρία διώ-
„κει. καὶ μετ' ὀλίγα· φανερῶς τοίνυν ἴσθι ταύτην ἡμῶν εἶναι τὴν ἀπό-
„φασιν. ὡς ἐὰν μὴ περὶ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν ταῦτα κηρύξῃς ἅπερ καὶ
„ἡ Ῥωμαίων, καὶ ἡ Ἀλεξανδρέων, καὶ πᾶσα ἡ καθολικὴ ἐκκλησία κατέχει·
„ὡς καὶ ἡ ἁγία ἡ κατὰ τὴν μεγαλόπολιν ἐκκλησία ἕως τοῦ κάλλιστα κατέσ-
„χεν. εἶτα προστίθησιν. ἐπειδὴ πάντες εἰδέναι ὀφείλουσι τὸ πραττόμενον,
„ὁσάκις ἡ περὶ κοινοῦ πράγματος ἡ σκέψις:

Ἐκ τῆς τοῦ αὐτοῦ Κελεστίνου, πρὸς τὸν Κωνσταντινουπολίτην κλῆρον καὶ λαὸν ἐπιστολῆς. ἧς ἡ ἀρχή, πρὸς τούτοις μοι διαλεχθησομένῳ.

Ἐν γὰρ τούτῳ ἀγνοῶ, ποίαν ἐλπίδα εὑρήσει, ὃς περὶ τοῦ Θεοῦ ἡμῶν ἄλλως διαλαμβάνει, ἢ αὐτὸς περὶ ἑαυτοῦ, ἢ οἱ ἀπόστολοι περὶ αὐτοῦ παραδεδώκασι. κατελείφθη ὁ ἀσεβὴς διαλεκτικὸς παρὰ τοῦ θείου πνεύματος, ὁπότε καὶ αὐτὸς τοῦ ἁγίου πνεύματος ἐφρόνησεν ἐναντία:

Ὅτι ὃ φησὶν ὁ Νεστόριος ἐν τῷ οἰκείῳ συμβόλῳ περὶ τοῦ πνεύματος, οὐκ ἔστιν αἱρετικόν· καὶ ὅτι κἂν ἄλλης ἐξηγήσεως ἐκεῖνο τύχῃ, καὶ οὕτω κατὰ Λατίνων ἐστὶ καὶ ὑπὲρ ἡμῶν, ἐν ᾧ καὶ περὶ τοῦ διὰ, ὅτι ἐν τῇ ἐκπορεύσει τοῦ πνεύματος, οὐ σημαίνει αἰτίαν.

Ἐρχόμενοι τοίνυν τῆς τῶν προκειμένων ἀκολουθίας, λέγομεν, ὅτι Νεστόριος οὔτε καταδικασθείς, οὔτε ἐγκληθεὶς ὑπὸ τῆς συνόδου καὶ τοῦ Κυρίλλου διὰ τὸ περὶ τοῦ πνεύματος ἄρθρον, οὐδαμοῦ φαίνεται· καὶ τοῖς μὲν ἄλλοις πᾶσι δοκεῖ, ὅτι Νεστόριος εἶχε δόξαν περὶ τοῦ

πνεύματος,

πνεύματος, τὸ πνεῦμα τὸ ἅγιον μὴ ἔχειν τὴν ὕπαρξιν ἐξ υἱοῦ. καὶ τοῦτο δῆλον ἐν τῷ οἰκείῳ συμβόλῳ πεποίηκεν, εἰπών, Καὶ οὔτε υἱὸν νομίζοντες „ (τὸ πνεῦμα δηλονότι) οὔτε διὰ τοῦ υἱοῦ τὴν ὕπαρξιν εἰληφέναι. καὶ Λατῖνοι μὲν καθ' ἡμῶν τούτῳ χρῶνται, ὡς τοῦ τε συμβόλου καταδικασθέντος ἐκείνου, καὶ ἡμῶν Νεστορίῳ συμφερομένων. εἰ γε μὴ ἔχειν τὴν ὕπαρξιν ἐκ τοῦ υἱοῦ φρονοῦμεν τὸ πνεῦμα καθάπερ ἐκεῖνος. οἱ δὲ ἡμέτεροι καθηγεμόνες πάντες, ὅσοι περὶ τῶν τοιούτων Λατίνοις ἀπολελόγηνται, καὶ συγχωροῦσι δόξαν εἶναι τοῦτο τοῦ Νεστορίου. καὶ τοῦτο βούλεσθε Νεστόριον ἐν ἐκείνῳ τῷ μέρει τοῦ ἰδίου συμβόλου. καὶ ὑπὲρ ἑαυτῶν οὕτω λαμβάνουσιν ἀληθῶς. εἰ γὰρ Νεστόριος ἐδόξασεν οὕτω φησὶ περὶ τοῦ πνεύματος, καὶ οὐδεὶς ἐνεκάλεσε, καὶ ἡ ἱερὰ σύνοδος ἐκείνη, μυσαρὰ δόγματα τοῦ Νεστορίου τὰ περὶ τὴν οἰκονομίαν αὐτῷ βλασφημηθέντα μόνα καλεῖ ῥητῶς οὑτωσί, περὶ δὲ τῆς εἰς τὸ πνεῦμα θεολογίας οὐδὲν αὐτῷ μέμφεται. δῆλον ὅτι καὶ ὀρθὰ περὶ τοῦ πνεύματος ἐφρόνει Νεστόριος, καὶ ἡ σύνοδος τὴν αὐτὴν ἐκείνῳ περὶ τούτου δόξαν ἐκέκτητο. καὶ οὕτω Νεστορίου μὲν ἐστὶ δόξα τόγε τοιοῦτον, ἀλλ' οὐχ ᾗ διαβεβλημένος τε ἐστὶ καὶ αἱρετικός. ἀλλ' ἕν τι τῶν ἀληθινῶν αὐτοῦ δογμάτων καὶ τοῦτο ἐτύγχανεν. οὐ γὰρ πάντα ἡμάρτανε. καὶ δόξα μᾶλλον κοινὴ τῆς ἐκκλησίας ἁπάσης ἢ Νεστορίου. ὅθεν τοῖς ἡμετέροις ἡγεμόσιν ἀκολουθῶν, ὁμοίως τε ἐκείνοις τὸ περὶ τοῦ Νεστορίου λύω κεφάλαιον· καὶ ἀπολογίαν ἀληθεστάτην ταύτην εἶναί φημι. Ἀλλ' ἐπεὶ σκανδαλίζει Λατίνους τὸ καὶ τὸν Νεστόριον αὐτὸν πεφρονηκέναι περὶ τοῦ ἁγίου πνεύματος τἀληθῆ. ἐβούλοντο γὰρ ὡς ἔοικεν ἐκεῖνον ἐν ἅπασι ψεύδεσθαι, ῥᾴδιον ἐστὶ καὶ ἄλλως τὸν τοῦ Νεστορίου λόγον ἐκεῖνον νοεῖν, ὡς ἂν ὁ Νεστόριος ἀληθῆ μὲν καὶ οὕτω περὶ τοῦ πνεύματος φαίνοιτο συμπεραίνων (οὐ γὰρ ἡμᾶς αὐτῷ δίκαιον ἐγκαλεῖν, περὶ ὧν οὐδὲ ἡ σύνοδος ἐνεκάλεσε) χωρίζοιτο μέντοι τῆς προκειμένης ἡμῖν καὶ Λατίνοις ζητήσεως. γένοιτ' ἂν δῆλον, ὡς οὐκ ἐξ ἀνάγκης παρὰ Νεστορίου τὴν δόξαν ἔχομεν ταύτην, εἴ γε καὶ ὅ φησιν ἐκεῖνος περὶ τοῦ πνεύματος ἐν τῷ οἰκείῳ συμβόλῳ, δυνατὸν ἐστὶν εἰς ἑτέραν ἔννοιαν ἐκλαμβάνεσθαι τῆς ἐκζητουμένης κεχωρισμένην. καὶ ἔμοιγε

Νεστόρ.

ταύτῃ μᾶλλον ἂν ἔδοξε νῦν δεῖν ἐξηγεῖσθαι Νεστόριον. Ἰδίᾳ γάρ μοι σκοπουμένῳ τὸ σύμβολον ἐπέβαλλε, ὅτι Νεστόριος περὶ τῆς τοῦ πνεύματος ὑπάρξεως, τὴν αὐτὴν μὲν ὁμολογουμένως δόξαν εἶχεν, ἣν καὶ ἡ σύμπασα τῆς Ἀνατολῆς, μᾶλλον δὲ καὶ πάντων τῶν ὀρθοδόξων ἐκκλησία φανερῶς τότε ἐδόξαζε, καὶ ἡ τῆς Ῥώμης αὐτή. καὶ τοῦτο δῆλον ἐστὶν, οὐ μόνον ἐξ ὧν οὐδεὶς ἀντεῖπεν αὐτῷ, οὐδ' ἐνεκάλεσεν ἐν τούτῳ τῷ

Νεστόρ. „ μέρει. ἀλλὰ καὶ ἐξ ὧν ἐν τῷ ἰδίῳ συμβόλῳ λέγει. φησὶ γάρ. Καὶ
„ εἰς τὸ πνεῦμα τὸ ἅγιον, ἐκ τῆς τοῦ Θεοῦ τυγχάνον οὐσίας. οὐχ υἱὸν,
„ Θεὸν δὲ ὄντα τῇ οὐσίᾳ. ὡς ἐκείνης ὂν τῆς οὐσίας, ἧσπερ καὶ ὁ Θεὸς καὶ πατὴρ, ἐξ οὗπερ κατ' οὐσίαν ἐστί. μέχρι γὰρ τούτου, τῇ κοινῇ τῆς ἐκκλησίας δόξῃ συνίσταται. καὶ τῇ διανοίᾳ τοῦ ἐν Κωνσταντινουπόλει συμβόλου καλῶς παρακολουθεῖ. ἐκ τοῦ πατρὸς εἶναι λέγων αὐτό. οὐ γεννητῶς ὥσπερ ὁ υἱὸς, ἀλλ' ἕτερον μέν τινα τρόπον προϊὸν ἤπερ ὁ υἱός. ἐκείνης δὲ ὂν τῆς οὐσίας ἧσπερ ἐστὶν ὁ Θεὸς καὶ πατὴρ ἐξ οὗπερ κατ' οὐσίαν ἐστὶν, ὥσπερ καὶ ὁ υἱὸς τοῦ Θεοῦ τῆς αὐτῆς οὐσίας ἐστὶν οὗπερ ἐστὶ καὶ πιστεύεται υἱός. καὶ μέχρι τούτου τοῖς ἡμετέροις ἡγεμόσιν ἐγώ τε συνᾴδω, καὶ ὁ λόγος ἅπας ἔχει καλῶς. ἀρκούντως γὰρ ἐντεῦθεν καὶ Νεστόριος δείκνυται τῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ περὶ τοῦ πνεύματος συμφωνῶν, καὶ διὰ τοῦτο μηδὲν ἐγκαλούμενος. καὶ οἱ Λατῖνοι συκοφαντοῦντες ἐλέγχονται, ἐπειδὰν λέγωσι Νεστοριανοὺς ἡμᾶς ἕνεκά γε τοῦ πνεύματος. εἰ μὴ καὶ πᾶσαν τὴν σύνοδον ἐκείνην βούλοιντο λέγειν νεστοριανήν. μᾶλλον γὰρ αὐτοὺς, τὸν Νεστόριον ὀρθόδοξον ἔδει λέγειν καὶ ἐπαινεῖν, διὰ τὴν περὶ τοῦ πνεύματος δόξαν, ἢ ἡμᾶς Νεστοριανούς. ἐκεῖνος γὰρ ἐκ τῆς ἐκκλησίας. ἀλλ' οὐχ ἡμεῖς ἐξ ἐκείνου ταύτην ἐλάβομεν. ὃ δὲ προστίθησιν ὁ Νεστόρι-
„ ος, ὅτι καὶ οὔτε υἱὸν νομίζοντες, οὔτε διὰ τοῦ υἱοῦ τὴν ὕπαρξιν εἰληφέναι. ἐμοὶ δοκεῖ διὰ τοῦτο προστίθησιν, ἵνα δείξῃ τὸ πνεῦμα, μήτε τῷ τῆς γεννήσεως τρόπῳ προελθεῖν ἐκ τοῦ Θεοῦ, καθάπερ τὸν υἱὸν τοῦ Θεοῦ, μήτε τῷ τῆς δημιουργίας, καθάπερ τὰ κτίσματα. οὐχ ἵνα δείξῃ τὸ πνεῦμα ἐκ τοῦ πατρὸς ὑφιστάμενον μόνον, καὶ οὐκ ἐκ τοῦ υἱοῦ. τοῦτο γὰρ ἀρκούντως ἐν ἐκείνῳ τῷ προτέρῳ δείκνυται μέρει. ἐπειδὴ γὰρ τὸ πνεῦμα, οὔτε υἱὸν

εἶναι

ὑπαγορεύει πως· καὶ ὁμοίως ἐκ τῆς οὐσίας τοῦ Θεοῦ εἶναι, ἐξ ἧσπερ καὶ ὁ υἱὸς ἐστὶν ἰδιάζοντι λόγῳ παρὰ πᾶσαν τὴν κτίσιν, ἣν οὐ κατ' οὐσίαν, ἀλλ' αἰτίᾳ δημιουργίας ἐκ Θεοῦ πιστεύομεν εἶναι, ἐπάγει διακείνων σαφέστερον, ὅτι οὔτε υἱός ἐστὶ τὸ πνεῦμα, οὔτε διὰ τοῦ υἱοῦ τὴν ὕπαρξιν εἴληφε· τουτέστιν οὔτε υἱός ἐστὶν, οὔτε κτίσμα, ἕν τι δηλονότι τῶν ἐκ Θεοῦ διὰ υἱοῦ γεγονότων. πάντα γὰρ διὰ υἱοῦ γέγονεν. ἀλλὰ τοῦτο παρὰ πᾶσαν τὴν κτίσιν ἰδιάζοντι λόγῳ προῆλθεν ἐκ τοῦ πατρός. οὐκ ἄρα διὰ υἱοῦ τὴν ὕπαρξιν ἔχει· καὶ τοῦτο μοι δοκεῖ μᾶλλον ἀρίστη εἶναι ἀπόδειξις, τῷ μὴ σημαίνειν αἰτίαν τὴν διὰ πρόθεσιν, ἐν τῷ διὰ υἱοῦ τὸ πνεῦμα ἐκπορεύεσθαι λέγεσθαι· οὐδὲν γὰρ κωλύει καὶ ἐκ τῶν αἱρετικῶν τὴν τῆς ἀληθείας συμμαχίαν ἐν ἄλλῳ πορίζεσθαι πράγματι. ὥσπερ καὶ ἐξ ἀκανθῶν, ῥόδα συλλέγειν. ἐν γὰρ τῷ λέγεσθαι πάντα διὰ τοῦ υἱοῦ γεγονέναι, ἡ πρόθεσις αὕτη, αἰτίαν σημαίνουσα, τὸν υἱὸν δείκνυσι τῆς κτίσεως αἴτιον καὶ δημιουργὸν εἶναι. ἐπειδὴ δὲ τὸ πνεῦμα τὸ ἅγιον, οὐκ ἔχει τὴν ὕπαρξιν διὰ υἱοῦ, τουτέστιν οὐ γέγονεν ἐκ Θεοῦ διὰ υἱοῦ μετὰ πάντων, ἀλλ' ἰδιάζοντι λόγῳ παρὰ τὴν κτίσιν ἐκ τῆς οὐσίας ἐστὶ τοῦ Θεοῦ καὶ πατρὸς, ἐξ ἧς ἐστὶ καὶ ὁ υἱὸς γεννητῶς, ἐν τῷ διὰ υἱοῦ λέγεσθαι τὸ πνεῦμα τὸ ἅγιον, ἡ πρόθεσις αὕτη οὐ σημαίνει αἰτίαν, οὐδὲ αἰτίαν τῷ ἑαυτῆς ἐπιτίθησι πτωτικῷ. καὶ καθάπερ Λατῖνοι φασὶν ὡς ἐπειδὴ ἐν τῷ διὰ υἱοῦ τὰ πάντα λέγεσθαι γεγενῆσθαι, αἰτίαν ἡ πρόθεσις αὕτη σημαίνει. καὶ μίαν αἰτίαν εἶναι πιστεύομεν τῆς κτίσεως τὸν πατέρα καὶ τὸν υἱὸν, διὰ τοῦτο καὶ ἐν τῷ διὰ υἱοῦ ἐκπορεύεσθαι λέγεσθαι τὸ πνεῦμα, αἰτίαν σημαίνει, οὕτω καὶ ἡμεῖς ἐροῦμεν δικαιότερόν τε καὶ οἰκειότερον, ὡς ἐπειδὴ ἐν τῷ διὰ υἱοῦ τὰ πάντα γεγονέναι λέγεσθαι, ἡ διὰ πρόθεσις αἰτίαν σημαίνει, καὶ ὁ υἱὸς οὕτως ἐστὶν ἀπαραλλάκτως δημιουργὸς τῆς κτίσεως ὥσπερ καὶ ὁ πατήρ. ἡ δὲ τῶν προθέσεων διαφορὰ, τὴν τῶν προσώπων ἐμφαίνει διάκρισιν καὶ τὴν τάξιν, ἐν τῷ διὰ υἱοῦ τὸ πνεῦμα λέγεσθαι προϊέναι, ἡ διὰ πρόθεσις οὐκ αἰτίαν σημαίνει. ἀλλὰ μετὰ τῆς διακρίσεως τῶν προσώπων, καὶ τὴν κατ' οὐσίαν αὐτῶν συνάφειαν δείκνυσιν. ὅπερ γὰρ ἡ διὰ πρόθεσις ἔνδον τῶν θείων σημαίνει κατὰ τὴν ἀπό-

βλέψει τὴν θείαν προσώπων ἐν ἑαυτοῖς, ἐπειδὴ ἂν ἐκ τοῦ Θεοῦ δι' υἱοῦ
τὰ πάντα γενέσθαι λέγηται. ἡ γὰρ αἰτία πρὸς τὰ ἔξω μόνον ἐστί. ση-
μαίνει δὲ τὴν ἐν τῇ προσωπικῇ διακρίσει καὶ τάξει κατ' οὐσίαν ἑνό-
τητα. τοῦτο σημαίνει μόνον, καὶ οὐδὲν πλέον, ἐν τῷ ἐκ πατρὸς δι' υἱοῦ τὸ
πνεῦμα λέγεσθαι προϊέναι. ἐπειδὴ αὕτη ἡ ἐνέργεια πρὸς τὰ ἔνδον
Θεοδώρι. ,, ἐστί. καὶ διὰ τοῦτο Θεοδώρειτος περὶ Κυρίλλου φησίν, Ὡς εἴπερ ἴδιον
,, λέγει τοῦ υἱοῦ τὸ πνεῦμα, ὡς ἐξ υἱοῦ ἢ δι' υἱοῦ τὴν ὕπαρξιν ἔχον, ὡς
,, βλάσφημον τοῦτο καὶ δυσσεβὲς ἀποῤῥίψομεν. ἐκ μὲν γὰρ τοῦ υἱοῦ οὐ
δύναται εἶναι. διότι αὐτὴ ἡ ἀλήθεια τοῦτο φησὶν ἐκ τοῦ πατρὸς ἐκπο-
ρεύεσθαι. καὶ ὁ ἀπόστολος, ἐκ τοῦ Θεοῦ, τουτέστιν ἐκ τοῦ πατρὸς εἶναι
τοῦτο λέγει διωρισμένως. διὰ δὲ τοῦ υἱοῦ οὐ δύναται τὴν ὕπαρξιν
ἔχειν. διότι οὕτω γ' ἂν καὶ κτίσμα κινδυνεύσειεν ὑποπτευθῆναι
τὸ πνεῦμα. καὶ ἕν τι τῶν δι' υἱοῦ γεγονότων. ἐκεῖνα γὰρ μόνα ἐξ
υἱοῦ τε καὶ δι' υἱοῦ τὴν ὕπαρξιν ἔχουσιν, εἰ καὶ μὴ κατ' οὐ-
σίαν, ἀλλ' αἰτίᾳ δημιουργίας. τὸ δὲ πνεῦμα, ἐκ τοῦ πατρὸς ἐστὶν ἐκπο-
ρευτῶς, ἐξ οὗ καὶ ὁ υἱὸς γεννητῶς. καὶ τοῦτ' ἐπίστευον οὕτως οὔτε Θεοδώρει-
τος οὔτε Νεστόριος αὐτόχρημα τὴν Ἀθανασίου σύλληψιν, ἐν ἑαυτοῖς συλ-
λαμβάνοντες. ὃς ἐν κϛ. κεφαλαίῳ, τῷ περὶ τοῦ ὁμοίως εἶναι τὸν πα-
τέρα καὶ τὸν υἱὸν καὶ τὸ πνεῦμα τὸ ἅγιον, οὕτω φησί, Τί ἐστὶ Θεός. ἡ
Ἀθανάσ. ,, πάντων ἀρχὴ, κατὰ τὸν Ἀπόστολον λέγοντα. εἷς Θεὸς ὁ πατὴρ ἐξ οὗ τὰ
,, πάντα. καὶ γὰρ ὁ λόγος ἐξ αὐτοῦ γεννητῶς, καὶ τὸ πνεῦμα ἐξ αὐτοῦ ἐκ-
,, πορευτῶς. εἶτα πᾶσα ἡ κτίσις διὰ τοῦ λόγου ἐν πνεύματι συνέστη δη-
μιουργικῶς. τὸ πνεῦμα φησὶν ἐκ τοῦ πατρὸς ἐκπορευτῶς. καὶ ὁ υἱὸς ἐκ
τοῦ πατρὸς γεννητῶς. καὶ οὕτως ἀρχὴν δείκνυσι καὶ ἀμφοῖν τὸν πατέρα,
διαιρεῖ μόνον τῷ γεννητῶς καὶ ἐκπορευτῶς, καὶ χωρίζων τὰς προόδους ἐκείνας
,, καθάπαξ τῆς προόδου τῆς κτίσεως, ἐπάγει. Εἶτα πᾶσα ἡ κτίσις διὰ
,, τοῦ λόγου ἐν πνεύματι συνέστη δημιουργικῶς. καὶ οὕτως ἀρχὴν δείκ-
νυσι τὸν πατέρα τῆς κτίσεως, ἀλλὰ δι' υἱοῦ ἐν πνεύματι. ὡς εἶναι οὐδὲν
ἧττον ἐντεῦθεν, μίαν ἀρχὴν τῆς κτίσεως τὸν πατέρα καὶ τὸν υἱὸν καὶ τὸ
πνεῦμα τὸ ἅγιον. καὶ οὕτω δείκνυσι τὸ ἀποστολικὸν ἐκεῖνο ῥητὸν ἐξηγού-

μενος,

μένος, τὸν θεὸν καὶ πατέρα πάντων εἶναι ἀρχήν, ἐπεὶ καὶ τοῦ υἱοῦ ἐστὶν ἀρχὴ ἐξ αὐτοῦ γεννωμένου. καὶ τοῦ πνεύματος ἐξ αὐτοῦ ἐκπορευομένου. εἶτα τῆς κτίσεως ἐστὶν ἀρχή. ἀλλὰ ταύτης ἐν πνεύματι δι᾽ υἱοῦ. ὡς εἶναι τὸν πατέρα καὶ τὸν υἱὸν καὶ τὸ πνεῦμα μίαν ταύτης ἀρχήν. καὶ διὰ τοῦ χρονικοῦ ἐπιρρήματος, τὴν οὐσιώδη διαφορὰν τῆς τε προόδου τῆς κτίσεως, καὶ τῶν θείων ἐκείνων προόδων παρέστησεν. ὡς δὲ καὶ τῶν προϊόντων καθ᾽ ἑτέραν τουτωνὶ τῶν προόδων. αὕτη μὲν γὰρ ἡ πρόοδος, ὑστέρα ἐστὶ καὶ ἔγχρονος. ἐκεῖναι δὲ ἀΐδιοί τε καὶ ἅμα ἄμφω εἰσίν. Ἀθανασίῳ τοίνυν ἑπόμενος καὶ Θεοδώρητος, καὶ Νεστόριος, καὶ εἴ τις ἄλλος ταύτην ἔχει τὴν δόξαν, ἐκ τοῦ πατρὸς τὴν ὕπαρξιν ἔχειν τὸ πνεῦμα λέγουσιν ὥσπερ καὶ ὁ υἱός. πλὴν ὅτι τοῦτο ἐκπορευτῶς. ἐκ τοῦ πατρὸς δὲ δι᾽ υἱοῦ τὴν κτίσιν ὑφεστάναι δημιουργικῶς, καὶ διὰ τοῦτο οὐ βούλονται τὸ πνεῦμα δι᾽ υἱοῦ τὴν ὕπαρξιν ἔχειν ὡς ἀπ᾽ αἰτίας. ἵνα μὴ καὶ κτίσμα νοηθῇ τοῦτο καὶ ποίημα. ἐπίσης γὰρ ἐστὶν ἀσεβὲς, εἴτε ἐκ τοῦ υἱοῦ τοῦτο μόνου λέγοι τίς ὑφεστάναι δημιουργικῶς, καθάπερ ὁ Μακεδόνιος ἐφλυάρει, εἴτε ἐκ πατρὸς δι᾽ υἱοῦ, καθάπερ οἱ λοιποὶ πάντες πνευματομάχοι, ὅσοι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ τοῦτο κτίσμα κατὰ τῆς ἑαυτῶν κεφαλῆς ἐδυσφήμησαν. καὶ οὐκ ἠρνεῖτο μὲν Θεοδώρητος δι᾽ υἱοῦ τὸ πνεῦμα ἐκχεῖσθαι ἐκ τοῦ πατρός. οὐδ᾽ ἀϊδίως ἐκ τοῦ πατρὸς προϊέναι δι᾽ υἱοῦ ἠρνήσατο ἄν. ἀναιρουμένης μέντοι γε τῆς αἰτίας ἐκ τῆς προθέσεως, δι᾽ ἣν ἡ τῆς δημιουργικῆς αἰτίας ἔμφασις λανθάνουσα συνεισέρχεται, τοῦτ᾽ ἂν ἐδέξατο, καὶ κατ᾽ ἄλλας τινὰς εὐσεβεῖς ἐκδοχάς, ἃς ἡμεῖς ὕστερον, ἐκ τῶν ἱερῶν διδασκάλων εἰληφότες ἐκθήσομεν. οἶμαι δὲ οὐδὲ Νεστόριος τούτων ἂν ἔξαρνος ἦν, ὅς γε καὶ τῆς αὐτῆς οὐσίας εἶναι τῷ υἱῷ τὸ πνεῦμα ἐφρόνει. ἐπείπερ ἑκάτερον τούτων ἐκ τοῦ Θεοῦ καὶ πατρὸς προελθεῖν κατ᾽ οὐσίαν ἐπίστευε. τὸ μέντοι γε τὸν υἱὸν εἶναι τοῦ πνεύματος αἴτιον, ἢ μόνον, ἢ μετὰ τοῦ πατρὸς, πρὸς τὰς τῶν πνευματομάχων καὶ Μακεδονιανῶν ἀποφέρεσθαι φλυαρίας ἐνόμιζον. ἐπεὶ προδήλως ὁ υἱὸς μετὰ τοῦ πατρὸς, εἷς εἰσὶ τῆς κτίσεως αἴτιος. ὡσαύτως δὲ καὶ τὸ πνεῦμα κατὰ τοὺς ὀρθοδόξους ἡμᾶς. καὶ μᾶλλον ἐνόμιζον τὴν κατ᾽

οὐσίαν ἑνότητα τοῦ πνεύματος δηλωθῆναι, πρὸς τὸν πατέρα καὶ τὸν υἱὸν ἐν τῷ πιστεύεσθαι τοῦτο ἐκ τοῦ πατρὸς ἐκπορεύεσθαι, ἐξ οὗ καὶ ὁ υἱὸς γεννητῶς τὴν ὕπαρξιν ἔχει, ἢ ἐν τῷ πιστεύεσθαι τοῦτο διʼ υἱοῦ τὴν ὕπαρξιν ἔχειν. τὸ μὲν γὰρ ἐκ τοῦ πατρὸς μόνου, ὁμολογουμένως θείῳ τινὶ προσώπῳ προσήκει, τοὐλάχιστον τῷ υἱῷ. τὸ δὲ ἐκ πατρὸς διʼ υἱοῦ, καὶ τῇ κτίσει προσήκει, εἰ καὶ μὴ ταύτῃ μόνῃ κατὰ τοὺς λέγοντας: Οὕτως ἐγὼ τὸ τοῦ Νεστορίου σύμβολον ἐξηγοῦμαι, ἔνθα φησὶ πνεῦμα μὴ διὰ τοῦ υἱοῦ τὴν ὕπαρξιν εἰληφέναι. καὶ οὐ λέγω τοῦτο, διότι οἴομαι τὸν Νεστόριον πεπιστευκέναι τὸ πνεῦμα διʼ υἱοῦ ὑφίστασθαι ἀϊδίως. εἰ γὰρ καὶ ἐτύγχανε λέγων καὶ ὁμολογῶν ὁ Νεστόριος τὸ πνεῦμα διʼ υἱοῦ τὴν ὕπαρξιν ἔχειν, οὐδὲν ἂν ὠφελοῖντο Λατῖνοι, εἴπερ ἅπαν τὸ τοῦ Νεστορίου σύμβολον ἐκβάλλουσι νῦν. καὶ διὰ τοῦτο φασὶ καὶ τὴν περὶ τοῦ πνεύματος αὐτοῦ δόξαν αἱρετικὴν εἶναι, καθάπερ καὶ τὰ περὶ τῆς οἰκονομίας. ὡσαύτως δὲ καὶ εἰ λέγοντος τοῦ Νεστορίου διʼ υἱοῦ τὴν ὕπαρξιν ἔχειν τὸ πνεῦμα, ἡ σύνοδος οὐκ ἀντέλεγεν, οὐκ ἂν ἐποιοῦντο τοῦτο μέγα καθʼ ἡμῶν οἱ Λατῖνοι δικαίως. ἐπεὶ καὶ ἡμῶν νῦν ὁσημέραι βοώντων, ὅτι Νεστόριος εἶπεν οὐκ ἔχειν διὰ τοῦ υἱοῦ τὴν ὕπαρξιν, καὶ ἡ σύνοδος οὐκ ἀντεῖπε, καὶ διὰ τοῦτο μάτην ἡμᾶς Νεστοριανοὺς ἀποκαλοῦσι Λατῖνοι, ὅμως κωφεύουσι, καὶ οὐδὲν μέγα τοῦτο νομίζουσιν εἶναι. οἷς γὰρ λόγοις αὐτοὶ τὸ οὐκ ἐκ τοῦ υἱοῦ τὴν ὕπαρξιν ἔχειν τὸ πνεῦμα μισοῦσιν ὡς Νεστορίου ὄν, τούτοις ἂν καὶ τὸ διʼ υἱοῦ τὴν ὕπαρξιν ἔχειν ἐμίσουν. καὶ ὥσπερ πρὸς τοῦτο ἡ σιωπὴ τῆς συνόδου οὐδὲν διαφέρειν δοκεῖ, οὕτω καὶ πρὸς ἐκεῖνο δικαίως ἂν ἔδοξεν αὐτοῖς μηδὲν διαφέρειν: Οὐχ ὅτι τοίνυν Νεστόριος ἐπίστευε διʼ υἱοῦ τὸ πνεῦμα τὴν ὕπαρξιν ἔχειν, διὰ τοῦτο τὴν ἐξήγησιν ταύτην ἔγωγε ἐπαινῶ, ἀλλὰ μᾶλλον πρὸς βεβαίωσιν τοῦ τὸν Νεστόριον καὶ τὴν ἐκκλησίαν τότε σύμπασαν πιστεύειν ἐκ τοῦ πατρὸς εἶναι καὶ ὑφεστάναι τὸ πνεῦμα. τὸν δὲ υἱὸν μὴ εἶναι τοῦ πνεύματος αἴτιον, οὕτως ἐξηγοῦμαι τὸ μέρος ἐκεῖνο. τὸ μὲν γὰρ μὴ ἔχειν ἐκ τοῦ υἱοῦ τὴν ὕπαρξιν τὸ πνεῦμα τὸ ἅγιον, καὶ ἐκ τῶν προτέρων τοῦ Νεστορίου ῥημάτων ἐναργῶς φαίνεται. τὸ δὲ μήτε υἱὸν εἶναι, μήτε διὰ τοῦ υἱοῦ τὴν ὕπαρξιν ἔχειν,

πρὸς παραδιϊστᾶσιν ἐπιτῆδαι φημί, τοῦ μήτε γεννητῶς ἐκ τοῦ πατρὸς προελθεῖν, μήτε δημιουργικῶς ὥσπερ τὰ κτίσματα ἐκ τοῦ Θεοῦ διὰ υἱοῦ γεγένηνται. καὶ δύο μᾶλλον ἀνθ' ἑνὸς συνάγω. ὅτι τε ἐκ τοῦ πατρὸς ἐστὶ τὸ πνεῦμα καὶ οὐκ ἐκ τοῦ υἱοῦ, καὶ ὅτι τὸ διὰ υἱοῦ τὸ πνεῦμα τὴν ὕπαρξιν ἔχειν, ὥστε τὸν υἱὸν αἴτιον εἶναι τοῦ πνεύματος, εἰς τὴν τῶν ὅλων φύσιν τὸ πνεῦμα κατάγει. ὧν ἐστιν ἀρχὴ ὁ υἱὸς κατὰ τὸν μέγαν Γρηγόριον. ὡς ἐκ πατρὸς διὰ αὐτοῦ γεγεννημένων ἐν πνεύματι. εἰ δὲ τῷ μὴ δοκεῖ ταύτην τὴν ἐξήγησιν δέχεσθαι, μὴ δεχέσθω, ἀλλ' ἡ πάντων ἐξήγησις κρατείτω. πρὸς γὰρ τὸν προκείμενον ἡμῖν σκοπόν, οὐδὲν ἄμφω διενηνόχατον. λέγω τοίνυν ἐπανιών, ὅτι Νεστόριος μέν, οὔτε καταδικασθείς, οὔτε γοῦν ἐγκληθεὶς διὰ τὸ περὶ τοῦ πνεύματος ἄρθρον οὐδαμοῦ φαίνεται. ὡς δὲ οὔτε ἡμάρτανεν, οὔθ' ἡμεῖς ἐκείνῳ συνεξαμαρτάνομεν. ἀλλὰ τοὐναντίον μᾶλλον ὁ Κύριλλος ὑποπτεύθη φρονεῖν, ὅτι τὸ πνεῦμα τὴν ὕπαρξιν ἐκ τοῦ υἱοῦ ἔχει. καὶ μέμφεται μὲν ὁ Θεοδώρετος αὐτῷ τούτου γε ἕνεκα. ἀπολογούμενος δὲ Κύριλλος, ἔοικεν ἀρνουμένῳ τοῦτο φρονεῖν. καὶ τὴν Θεοδωρείτου ἐπήρειαν καὶ συκοφαντίαν χαλεπῶς φέροντι. καὶ Κύριλλος ἡμῖν ἀδέκαστος τοῦ τοιούτου δικαστὴς κάθηται, κἂν τοῖς πρὸς Νεστόριον ἀγῶσι, κἂν ταῖς ἀπολογίαις ταῖς πρὸς Θεοδώρειτον, τὴν αὐτὴν καὶ μίαν γνώμην διαφυλάττων. καὶ μήτε Νεστορίῳ μεμφόμενος, ὅτι τὴν ὕπαρξιν μὴ εἰληφέναι ἐκ τοῦ υἱοῦ τὸ πνεῦμα συγγέγραφε, μήτε πρὸς Θεοδώριτον ἀπαντῶν, ὡς ἄν τις φιλοτιμούμενος ἐφ' οἷς ἐγκαλεῖται. ἀλλὰ μᾶλλον ὡς ἄν τις τὴν ὑποψίαν, ὡς ἐπὶ φαύλοις τισὶ γενομένην διακρουόμενος:

Ἐκ τίνος αἰτίας ὑπωπτεύθη Κύριλλος κακοδοξεῖν, ὡς οἱ νῦν Λατῖνοι κακοδοξοῦσι.

Παρέσχε δὲ τὰς ὑποψίας ὁ Κύριλλος ἐκείνας ἐντεῦθεν. ἐπειδὴ γὰρ ὁ ἐξώλης Νεστόριος, ὡς ἀλλοτρίᾳ δυνάμει τῇ τοῦ πνεύματος χρώμενον τὸν ἡμέτερον Θεὸν καὶ δεσπότην ἐφλυάρει θαυμα-

τουργεῖν, ὥσπερ ἂν εἰ περὶ ψιλοῦ τινος ἀνθρώπου ταῦτα ἔλεγε, καὶ τὸν Χριστὸν οὐ Θεὸν σάρκα προσειληφότα, ἀλλ' ἄνθρωπον ὑπὸ τῆς θείας ἐνεργούμενον χάριτος ἐβλασφήμει, ὁ ἱερὸς Κύριλλος τέλειον Θεὸν εἶναι τὸν αὐτὸν, καὶ τέλειον ἄνθρωπον τοῖς τῆς ἀληθείας λόγοις ἀπέδειξε. καὶ πάντα τὰ τῇ θείᾳ φύσει προσόντα, καὶ τῷ ἑνὶ προσεῖναι Χριστῷ, ὡς οὐ κατὰ μέθεξιν τινὰ θεότητος ὄντι Θεῷ· ἀλλ' ὡς αὐτῷ Θεῷ ὄντι. καὶ προσωπικῶς ἐν ἑαυτῷ τὴν ἀνθρωπίνην φύσιν συνάψαντι. οὐδὲν ἧττον καὶ οὕτω τῶν ἑκατέρας τῆς φύσεως ἰδιοτήτων, ἀτρέπτων τε καὶ ἀσυγχύτων φυλαττομένων. ὅθεν καὶ τὰ τῆς ἀνθρωπότητος ἔργα, καὶ πάθη, ἀμερίστως τε καὶ ἁπλῶς περὶ τοῦ Χριστοῦ λέγεσθαι. καὶ τὰ θεοπρεπῆ πάντα καὶ θεῖα καθάπαξ αὐτῷ προσεῖναι διὰ τὴν ἄκραν ἕνωσιν. καὶ καθάπαξ περὶ αὐτοῦ λέγεσθαι, ὥστε καὶ Θεὸν εἶναι τὸν πικτόμενον καὶ σταυρούμενον, εἰ καὶ μὴ κατὰ τὴν θεότητα. καὶ πάλιν ἄνθρωπον εἶναι τὸν θαυματουργοῦντα καὶ τὰ ἐξαίσια πράττοντα, ἀλλ' οὐ κατά γε τὴν ἀνθρωπότητα. τὸν αὐτὸν μέντοι γε Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, καὶ σταυροῦσθαι, καὶ θνήσκειν, καὶ ἀνίστασθαι, καὶ ἀναλαμβάνεσθαι δι' ἑαυτοῦ Θεοῦ τε ὄντος καὶ ἀνθρώπου. καὶ τὸν αὐτὸν ἀδιαιρέτως ἐνεργεῖν ἕκαστα τύπων, ὡς ἀδιαιρέτως τε καὶ ἑνώσει προσωπικῇ τῶν φύσεων ἐν αὐτῷ ἡνωμένων, εἰ καὶ τὰ μὲν τῶν ἔργων ταύτῃ τῇ φύσει, τὰ δὲ ἐκείνῃ τυγχάνει κατάλληλα. οὕτω γοῦν ἔλεγε τὸν Χριστὸν Θεὸν ὄντα τέλειον, ὡς ἰδίῳ τῷ πνεύματι καὶ φύσει συνόντι τὰ θαύματα πράττειν. ἀλλ' οὐκ ἔξωθεν ἐμπνέοντι καὶ τὴν τοῦ θαυματουργεῖν δωρουμένῳ δύναμιν. ἃ γὰρ τῷ υἱῷ τοῦ Θεοῦ προσήκει, ταῦτα καὶ τῷ Χριστῷ προσήκειν ἐδίδασκεν ὡς αὐτῷ ὄντι τῷ υἱῷ τοῦ Θεοῦ. ἴδιον δὲ εἶναι τοῦ υἱοῦ τοῦ Θεοῦ, τὸ τοῦ Θεοῦ πνεῦμα, καὶ τῆς ἱερᾶς γραφῆς διδασκούσης, καὶ τῆς Ἐκκλησίας κοινῇ κηρυττούσης, καὶ τῶν πρὸ αὐτοῦ διδασκάλων φρονούντων ἤκουε καὶ λεγόντων. μᾶλλον δὲ καὶ τὴν σύμπασαν τοῦ λόγου προχώρησιν, ἐκ τῶν τῆς πρώτης συνόδου θεσμῶν ἐλάμβανεν. ἐκείνη γὰρ πρὸς τὸν διαπο-
Σύνοδ. α. » ροῦντα φιλόσοφον ἔλεγε, Δέχου μίαν θεότητα τοῦ πατρὸς τοῦ γεννήσαν-
» τος τὸν υἱὸν ἀνεκφράστως. καὶ τοῦ υἱοῦ τοῦ γεγεννημένου ἐξ αὐτοῦ. καὶ

τοῦ

του ἁγίου πνεύματος τοῦ ἐκπορευομένου ἐξ αὐτοῦ τοῦ πατρὸς, ἰδίου δὲ ὄντος τοῦ υἱοῦ, καθὰ φησὶν ὁ θεῖος ἀπόστολος, Εἴ τις πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ. ἐνταῦθα γὰρ ἴδιόν τε τοῦ υἱοῦ τὸ πνεῦμα καλεῖται, καὶ δέον εἰς μαρτυρίαν τὸ ἀποστολικὸν ἐκεῖνο ἐπαγαγεῖν, ἐν ᾧ τὸ πνεῦμα τοῦ υἱοῦ λέγεται, Ἀπέστειλε γὰρ φησὶ τὸ πνεῦμα τοῦ υἱοῦ αὐτοῦ, ἀντ' αὐτοῦ τὸ ῥητὸν οἱ θεῖοι πατέρες ἐκεῖνοι παρέλαβον, ἐν ᾧ τὸ πνεῦμα τοῦ Χριστοῦ λέγεται. ὡς ἴσον μὲν ὂν εἰπεῖν πνεῦμα Χριστοῦ καὶ πνεῦμα υἱοῦ, τῷ τὸν Χριστὸν εἶναι τὸν υἱὸν τοῦ Θεοῦ· ταὐτὸν δ' αὖθις δυνάμενον υἱοῦ τε πνεῦμα καὶ ἴδιον υἱοῦ τὸ πνεῦμα εἰπεῖν. καὶ ὁ τῆς συνόδου πρόμαχος ἐκείνης ἱερὸς Ἀθανάσιος, ἐν τῷ εἰς τὸ πνεῦμα τὸ ἅγιον λόγῳ, Εἰ ἐφρόνουν ὀρθῶς φησὶ περὶ τοῦ υἱοῦ, ἐφρόνουν ἂν ὑγιῶς καὶ περὶ τοῦ πνεύματος, ὃ παρὰ τοῦ πατρὸς ἐκπορεύεται, καὶ τοῦ υἱοῦ ἴδιον ὂν, παρ' αὐτοῦ δίδοται τοῖς μαθηταῖς, καὶ πᾶσι τοῖς πιστεύουσιν εἰς αὐτόν. οὐ μόνον δὲ ἴδιον τοῦ υἱοῦ τὸ πνεῦμα, διὰ ταῦτα θαῤῥούντως ἐκάλει Κύριλλος. ἀλλὰ καὶ ἐξ αὐτοῦ τοῦτ' εἶναι καὶ προϊέναι ἔλεγεν. ἤκουε γὰρ τῆς πρώτης συνόδου καὶ τοῦτο φασκούσης. Κἀκεῖνο γὰρ φησὶ νοητέον ὦ φίλε λοιπὸν τῆς ἀληθείας φιλόσοφε. εὕρηται τὸ πνεῦμα ἐκπορευόμενον μὲν ἐκ τοῦ πατρὸς, ἴδιον δὲ τοῦ υἱοῦ, καὶ ἐξ αὐτοῦ ἀναβλύζον ἡμῖν. εὕρηται δὲ ἀναβλύζον ἐκ τοῦ υἱοῦ, ὁπόταν ὁ Κύριος λέγῃ, Ἐάν τις διψᾷ ἐρχέσθω πρός με καὶ πινέτω. Καὶ ὡς ἐὰν πίῃ ἐκ τοῦ ὕδατος οὗ ἐγὼ δώσω αὐτῷ. τοῦτο δὲ ἔλεγε περὶ τοῦ πνεύματος, οὗ ἔμελλον λαμβάνειν οἱ πιστεύοντες εἰς αὐτόν. ἤρκει μὲν οὖν τὸ τῶν πατέρων ἐκείνων ἀξίωμα πεῖσαι τὸν Κύριλλον τοῖς ἐκείνων ἴχνεσιν ἕπεσθαι. ἀλλ' ἤδει καὶ τὴν δευτέραν σύνοδον οὕτω φανερῶς κανονίζουσαν, μὴ ἀθετεῖσθαι τὴν πίστιν τῶν πατέρων, τῶν τιη. τῶν ἐν Νικαίᾳ συνελθόντων πατέρων. ἀλλὰ μένειν κυρίαν. πῶς ἂν οὖν ἔμελλε δυοῖν οἰκουμενικῶν συνόδων καταφρονεῖν; ἢ πῶς ἀνέχεσθαι Νεστορίου, οὕτως ἀπεναντίας ἐρχομένου ταῖς συνόδοις ἐκείναις. καίτοι πρὸς ἐξαπάτην τῶν ἁπλουστέρων ἐκεῖνος ἔλεγε, τὴν τῆς πρώτης συνόδου πίστιν διαφυλάττειν; καλῶς ἐφύλαττεν ὁ μήτε τῷ Χριστῷ διδοὺς τὰ τῷ υἱῷ τοῦ Θεοῦ πρέποντα, μήτε ἴδιον τοῦ Χριστοῦ τὸ πνεῦμα πι-

Ἀθανάσ.

Συνόδ. α.

στεύων, ἀλλ' ἔξωθεν ἐμπνέον αὐτὸν, καὶ τὴν τοῦ θαυματουργεῖν παρεχόμενον δόξαν; οὕτως οὐδὲν οἴκοθεν ὁ Κύριλλος ἔλεγεν, ἀλλὰ τῆς πρώτης συνόδου μαθητὴς ἦν γνήσιος, τὸν νοῦν ἐκείνης καὶ τὰς λέξεις διαφυλάττων. καὶ μὴν καὶ τῆς δευτέρας ἀκόλουθος ἦν, ἣ κύρια τὰ τῆς πρώτης μένειν ἐθέσπισε. διὸ καὶ ἡ τρίτη σύνοδος οὐ μᾶλλον Κυρίλλῳ προσεῖχεν, ἢ ταῖς ἱεραῖς συνόδοις ἐκείναις. καὶ τὰς ψήφους ἐκείνων ὧν ὑπερμάχει Κύριλλος καλῶς ποιοῦσα ὑπέκρινεν. ἡ μὲν δὴ πρόθεσις τῆς ἀσεβείας ἦν Νεστορίῳ (οὐδὲν γὰρ χεῖρον τὰ αὐτὰ ἐπαναλαβεῖν πρὸς μείζω σαφήνειαν) ἄλλον εἶναι τὸν υἱὸν τοῦ Θεοῦ, καὶ ἄλλον εἶναι τὸν ἐκ τῆς παρθένου τεχθέντα. καὶ διὰ τοῦτο τὸν Κύριον ἡμῶν, ὡς ἀλλοτρίᾳ τῇ δυνάμει χρῆσθαι τοῦ πνεύματος. καὶ ᾔδει μὲν ἐκ τοῦ Χριστοῦ τὸ πνεῦμα, καὶ πρόϊον καὶ φυσώμενον καὶ πεμπόμενον, ἀλλ' ὑπουργόν τινα τοῦ πνεύματος εἶναι τοῦτον ἐνόμιζε, καὶ λαβόντα τὴν τοῦ πνεύματος χάριν, ὥς τινα ἄνθρωπον ἐν τῷ τῆς ἁγιωσύνης ἀφιγμένον ἐσχάτῳ, καὶ ταύτῃ τελειωθέντα, οὕτω διὰ ταύτης πράττειν τὰ θαύματα. οὐκ ἀρνούμενος μὲν τὸν υἱὸν τοῦ Θεοῦ, συμφυὲς ἔχειν τὸ πνεῦμα τὸ ἅγιον ἀϊδίως. ἐπεὶ μέντοιγε τὸν Χριστὸν οὐκ ἐπίστευεν αὐτὸν εἶναι τὸν υἱὸν τοῦ Θεοῦ, ἀλλ' ἄνθρωπόν τινα τοῦ υἱοῦ τοῦ Θεοῦ μετασχόντα, καὶ τὸ πνεῦμα κατά τινα μετοχὴν τῷ Χριστῷ προσεῖναι πιστεύων. ὁ δὲ Κύριλλος ἕνα καὶ τὸν αὐτὸν Ἰησοῦν Χριστὸν, καὶ Θεὸν ἔλεγε τέλειον, καὶ ἄνθρωπον τέλειον εἶναι, καὶ τὸ πνεῦμα οὕτως εἶναι Χριστοῦ, ὥσπερ ἐστὶ τοῦ υἱοῦ τοῦ Θεοῦ, διὰ τὸ τὸν Χριστὸν αὐτὸν εἶναι τὸν υἱὸν τοῦ Θεοῦ. ἐν τῷ ἰδίῳ προσώπῳ τὴν ἀνθρωπίνην ἀσυγχύτως ὑποστήσαντα φύσιν. ὅθεν τοῦ Νεστορίου τὸν Χριστὸν χωρίζοντος τοῦ υἱοῦ τοῦ Θεοῦ, αὐτὸς οὕτως ἥνωσεν, ὡς μηκέτι λοιπὸν πῶς ἐστὶ τὸ πνεῦμα Χριστοῦ, ἀλλὰ πῶς ὁ υἱὸς τοῦ Θεοῦ τὸ πνεῦμα ἔχει, καὶ δίδωσι, καὶ προΐησι, καὶ σκοπεῖν αὐτὸν καὶ ζητεῖν. καὶ τὴν τῆς ἀληθείας δόξαν ἐκτίθεσθαι. καὶ τὸν μὲν λόγον εἶναι περὶ τῆς οἰκονομίας αὐτῷ, ὡς ταύτης βλασφημουμένης τε καὶ κινδυνευούσης, καὶ τῶν ἔργων ὧν ὁ δεσπότης ἡμῶν ἐποίει τῇ δυνάμει τοῦ πνεύματος. δόξαι δὲ τοῖς βουληθεῖσιν ἐπηρεάζειν αὐτῷ, καὶ τότε καὶ νῦν, ὅτι περὶ τῆς ἀϊδίου τοῦ πνεύματος

ὑπάρ-

ὑπάρξεως λέγει, τὰ περὶ Χριστοῦ, τουτέστι τοῦ υἱοῦ τοῦ Θεοῦ, ὅπως τε εἶχε
τὸ πνεῦμα, καὶ ὅπως ἐνεφύσα, καὶ ὡς ἔπραττε δι' αὐτοῦ τὰ παράδοξα,
πρὸς τὴν ἀΐδιον ἐκείνην ὕπαρξιν τοῦ πνεύματος ἕλκουσιν. περὶ ἧς ὁ
Κύριλλος, οὐκ εἶχε τότε προὔργου σκοπεῖν. ἔξεστι γοῦν παντὶ τῷ βου-
λομένῳ, κρίνειν ὀρθῶς, αὐτὰ προχειριζομένῳ τὰ τοῦ διδασκάλου συγ-
γράμματα συνορᾷν, ὅτι καὶ περὶ τῆς θείας οἰκονομίας ἦν ὁ λόγος αὐτῷ,
καὶ ὑπὲρ ταύτης ἐπολέμει τῷ θεοστυγεῖ Νεστορίῳ, καὶ περὶ τοῦ Χριστοῦ καὶ
τοῦ υἱοῦ τοῦ Θεοῦ, τὸν αὐτὸν ἐποιεῖτο λόγον δικαίως, καὶ τῶν λέξεων τῆς
πρώτης συνόδου καθάπαξ εἴχετο, καὶ τὴν κοινὴν ὁμολογίαν καὶ δόξαν οὐ-
δαμοῦ παρεξῄει. ἐν γὰρ τῇ πρὸς τὸν βασιλέα Θεοδόσιον ἐπιστολῇ,
οὕτω φησί. Καὶ μὴν ἄνδρα λέγων τὸν ὅσον οὐδέπω παρεσόμενόν τε καὶ ὀφ- ,, Κυρίλ.
θησόμενον, αὐτὸν ἔφη βαπτίσειν ἐν πυρὶ καὶ ἁγίῳ πνεύματι. οὐ τὸ ἀλλότριον ,,
τοῖς βαπτιζομένοις ἐνιέντα πνεῦμα δουλοπρεπῶς καὶ ὑπουργικῶς, ἀλλ' ,,
ὡς Θεὸν κατὰ φύσιν μετ' ἐξουσίας τῆς ἀνωτάτω, τὸ ἐξ αὐτοῦ καὶ ἴδιον αὐτοῦ ,,
δι' οὗ καὶ ὁ θεῖος ἡμῖν ἐνσημαίνεται χαρακτήρ. καὶ πάλιν. Ἀπολύων γὰρ ,,
ἁμαρτίας τὸν αὐτῷ προσκείμενον ἄνθρωπον, τῷ ἰδίῳ λοιπὸν καταχρίει ,,
πνεύματι. ὅπερ ἐνίησι μὲν αὐτὸς ὡς ἐκ Θεοῦ πατρὸς λόγος. καὶ ἐξ ἰδίας ,,
ἡμῖν ἀναπηγάζει φύσεως. κοινὸν δὲ ὥσπερ τι χρῆμα τιθεὶς τῇ μετὰ ,,
σαρκὸς οἰκονομίᾳ διὰ τὴν ἕνωσιν, καὶ ὡς ἄνθρωπος ἐνέπνει σωματικῶς. ,,
ἐνεφύσησε γὰρ τοῖς ἁγίοις ἀποστόλοις, εἰπών, λάβετε πνεῦμα ἅγιον. καὶ ,,
οὐκ ἐκ μέτρου δίδωσι κατὰ τὴν Ἰωάννου φωνὴν τὸ πνεῦμα. ἀλλ' αὐτὸς ,,
ἐνίησιν ἐξ ἑαυτοῦ, καθάπερ ἀμέλει καὶ ὁ πατήρ. καὶ πάλιν. Ὅτε τοίνυν ,,
τὸ πνεῦμα τὸ ἅγιον ἐν ἡμῖν γενόμενον συμμόρφους ἡμᾶς ἀποδεικνύει ,,
Θεοῦ, πρόεισι δὲ ἐκ πατρὸς καὶ υἱοῦ, εὔδηλον ὅτι τῆς θείας οὐσίας ἐστὶν ,,
οὐσιωδῶς ἐν αὐτῇ καὶ ἐξ αὐτῆς προϊόν. καὶ πάλιν ἑτέρωθι. Ἔστι Χριστὸς ,,
ἡ ἀλήθεια, καὶ προχεῖται παρ' αὐτοῦ τὸ πνεῦμα, καθάπερ ἀμέλει καὶ τοῦ ,,
πατρός. καὶ πάλιν. Ἐνίησι γὰρ τοῖς βαπτιζομένοις ὁ Κύριος ἡμῶν Ἰη- ,,
σοῦς Χριστὸς ὡς ἴδιον πνεῦμα τὸ τοῦ πατρός. καὶ αὖθις. Εἰ δὲ δέχεται καὶ ,,
δίδωσιν ὁ αὐτός, πρόδηλον ὅτι κατά γε τοὺς τῆς μετὰ σαρκὸς οἰκονομίας ,,
λόγους, καὶ καθὸ φύσει καὶ ἀληθῶς ἐστὶ Θεός. δέχεται μὲν ἀνθρωπίνως. οὐ χ ,,

,, ἑαυτῷ προξενεῖν αὐτό. δίδωσι δὲ θεϊκῶς ἐξ ἰδίας αὐτοῦ φύσεως τοῖς ἀξί-
,, οις τοῦ λαβεῖν ἐνιείς. καὶ αὖθις. Ἄθρει δέ μοι λοιπὸν τὸν Κύριον ἡμῶν
,, Ἰησοῦν Χριστὸν, ἀνθρωπίνως μὲν τὸ πνεῦμα δεχόμενον, πληροῦντα δὲ θεϊ-
,, κῶς τὴν ἐπαγγελίαν τοῦ πατρὸς, διὰ τοῦ τοῖς πιστεύουσιν ἐνιέναι τὸ πνεῦ-
μα: Καὶ ταῦτα καὶ τὰ τοιαῦτα λέγων ὁ Κύριλλος, ὑπερμαχεῖ μὲν περιδήλως τῆς ἐνανθρωπήσεως τοῦ Χριστοῦ, καθ' ἧς ἐλήρει Νεστόριος. καὶ τὸν Χριστὸν, ἀληθινόν τε καὶ φυσικὸν ἡμῖν χορηγὸν τοῦ πνεύματος δείκνυσιν, ὡς οὐκ ἔξωθεν αὐτὸ τότε λαμβάνοντα καὶ διδόντα. ἀλλ' οἴκοθεν καὶ ἐκ τῆς ἀϊδίου φύσεως αὐτοῦ καὶ ὑπάρξεως τοῦτ' ἐπαγόμενον συμφυῶς. διὰ τὸ τὸν Χριστὸν, αὐτὸν εἶναι τὸν υἱὸν τοῦ Θεοῦ, ᾧ τὸ πνεῦμα συνέστη ἀϊδίως καὶ φυσικῶς. ἀλλ' ὑποψίαν παρέσχε τοῖς περὶ Θεοδώρητον, μή ποτε καὶ ἀϊδίως φρονῇ τὸ πνεῦμα ἐκ τοῦ υἱοῦ τὴν ὕπαρξιν ἔχειν. τουτέστιν ὑφίστασθαι. οὐκ ἐξ ὧν ἴδιον τοῦ υἱοῦ τὸ πνεῦμα καλεῖ καὶ ἐκ τῆς αὐτοῦ πηγαζόμενον φύσεως. οὔπω γὰρ ἂν ἔδει καὶ τὴν πρώτην σύνοδον ὑποπτεύειν αὐταῖς λέξεσι ταῦτα κηρύξασαν. καὶ βασκαίνειν ἂν δόξαι μόνον ὡς ἀληθῶς καὶ φθονερῶς ἐνοχλεῖν. ἀλλὰ τὰ τῆς ὁμοιώσεως ἐπιρρήματα, τὴν ὑπόνοιαν ἔτικτε ταύτην. καὶ ἀκούοντες αὐτοῦ λέγοντος, προχεῖσθαι παρ' αὐτοῦ τὸ πνεῦμα καθάπερ ἐκ τοῦ πατρὸς, καὶ ἴδιον αὐτοῦ εἶναι καθάπερ καὶ τοῦ πατρὸς, ἐταράττοντο. ἐδόκει γὰρ μηδεμίαν λοιπὸν ὑπολείπειν διαφοράν. ἀλλὰ πρὸς πᾶσαν ἀποβλέψιν, τὴν αὐτὴν ἀναφορὰν τοῦ πνεύματος, πρός τε τὸν υἱὸν καὶ πρὸς τὸν πατέρα ποιεῖσθαι:

Ὅτι κακῶς ὑπώπτευσε Θεοδώρητος Κύριλλον. σαφὴς γὰρ ἦν ἡ τοῦ Κυρίλλου διάνοια ἐκ τῶν ὑποτεταγμένων ῥήσεων αὐτοῦ.

Καίτοι σαφὴς ἦν ἡ τοῦ Κυρίλλου διάνοια, οὐ μόνον ἐξ αὐτῆς τῆς ὅλης τῶν λόγων προθέσεως. ἀλλὰ δὴ καὶ τῶν λέξεων ἃς ἔφην οὐ προσετίθη, δηλῶν ὁ ποίαν τινὰ βούλεται σημαίνειν τὴν ὁμοιότητα. ὅτι

κατὰ τὴν φύσιν οὐ τὴν αἰτίαν τῆς ὑπάρξεως δηλονότι. καὶ πῶς ἴδιον τοῦ
Χριστοῦ τὸ πνεῦμα καλεῖ· ὅτι ὡς συμφυὲς αὐτῷ, καὶ ὡς οὐκ ὀθνεῖον
οὐδὲ ἀλλότριον. ποῦ μὲν γὰρ φησίν, Ὅτι τῶν τοῦ πατρὸς φυσικῶν ἀγα- ,, Κύριλ.
θῶν ὑπάρχων ὁ υἱὸς κοινωνός, ἔχει τὸ πνεῦμα κατὰ τὸν αὐτὸν τρόπον, καθ' ,,
ὃν ἂν νοοῖτο καὶ ὁ πατήρ· οὐκ ἐπακτὸν οὐδὲ ἔξωθεν. ποῦ δὲ φησίν· ,,
Ἔπεμψε δὲ ἡμῖν ἐξ οὐρανοῦ τὸν παράκλητον· δι' οὗ καὶ ἐν ᾧ μεθ' ἡμῶν ,,
ἐστί. καὶ ἐν ἡμῖν αὐλίζεται. οὐκ ὀθνεῖον ἡμῖν ἐγχέων. ἀλλὰ τὸ τῆς ,,
οὐσίας αὐτοῦ καὶ τῆς τοῦ πατρὸς ἴδιον πνεῦμα. καὶ πάλιν· Πῶς ἂν εἴη ,,
λοιπὸν ἑτεροφυὲς πρὸς τὸν Θεόν, τὸ μήτε διῳκισμένον οὐσιωδῶς αὐτοῦ, μή- ,,
τε μὴν ἀλλότριον, ἀλλ' ἴδιον αὐτοῦ; καὶ πάλιν· Ὅτε τοίνυν εἷς ἐστι Κύ- ,,
ριος Ἰησοῦς Χριστὸς κατὰ τὴν τοῦ Παύλου φωνήν, Κύριον δὲ τὸ πνεῦμα ,,
καλεῖ, οὐδεμίαν ἄρα φύσεως οἶδε διαφορὰν τῆς τοῦ υἱοῦ καὶ τοῦ πνεύ- ,,
ματος, ἀλλ' ὡς ἐν αὐτῷ καὶ ἐξ αὐτοῦ φυσικῶς ὑπάρχον, τῷ τῆς κυριότη- ,,
τος ὀνόματι καλεῖ. καὶ πάλιν. Οὔκουν ἔξωθεν, οὐδὲ εἰσποίητον αὐτῷ ,,
δίδοσθαι φαμὲν τοῦ πνεύματος τὴν ἐνέργειαν. καθὰ καὶ ἡμῖν αὐτοῖς, ,,
ἤγουν τοῖς ἁγίοις ἀποστόλοις. οἴκοθεν οὖν ἄρα καὶ παρ' αὐτοῦ τὸ πνεῦ- ,,
μα αὐτοῦ. καὶ τούτου σαφὴς ἀπόδειξις ἂν εἴη, τὸ καὶ ἑτέροις δύνασθαι ,,
χορηγεῖν αὐτό. καὶ πάλιν. Ὁ δὲ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐξ ἰδίου ,,
πληρώματος προΐεις τὸ πνεῦμα καθὼς καὶ αὐτὸς ὁ πατήρ, οὐχ ὡς ,,
ἐκ μέτρου δίδωσιν αὐτὸ τοῖς ἀξίοις ἑλεῖν. οὐδὲν ἂν τοίνυν χαλεπὸν ἐκ
τουτωνὶ τῶν ῥητῶν, τὴν τοῦ Κυρίλλου γνώμην μαντεύσασθαι. σαφῶς
γὰρ ἐνταῦθα φαίνεται, περὶ τῆς οἰκονομίας, καὶ τῶν δι' αὐτῆς ἔρ- ,,
γων, καὶ τῆς τοῦ Χριστοῦ θεότητος, καὶ τῶν τοῦ πνεύματος χαρισμά- ,,
των, καὶ τῆς αὐτῶν δόσεως, καὶ τῆς φυσικῆς οἰκειότητος τοῦ πνεύ-
ματος πρὸς τὸν υἱὸν τὸν λόγον ποιούμενος, ὡς καὶ αὐτὸς φησὶν ἐν τῇ
πρὸς Εὐόπτιον ἐπιστολῇ, πρὸς τὴν Θεοδωρίτου δυσχεραίνων ἐπήρειαν (ὡς ,, Ὁ αὐτὸς.
αὐτὸς φησί) καὶ συκοφαντίαν· ἐπάγει γὰρ ἐκεῖ. Καίτοι δυσχερὲς ἢ ἄνκαν- ,,
τες, οὐδὲν παντελῶς ὡς ἔγωγε οἶμαι ἐν τοῖς παρ' ἡμῶν εἰρημένοις ἐστίν. ,,
οὔτε μὴν δυσέφικτον ἔχει τὴν προσβολήν:

Τὰ

Τὰ ῥητὰ τοῦ Κυρίλλου. δι' ὧν ὕστερον διὰ τὰς ἐκ Θεοδωρήτου μέμψεις καὶ ἐνοχλήσεις καὶ σαφεστέραν τὴν ἑαυτοῦ δόξαν ἐποίησεν. καὶ ὅτι ταῦτα πάντα, κατὰ Λατίνων εἰσί. καὶ τῆς νῦν θεολογίας ἐκείνων ἀλλότρια.

Ἀλλ' ὅμως ἐπειδήπερ οὕτως ἐκείνοις ἐπῆλθεν ὅπως ποτὲ ἐνοχλεῖν αὐτῷ, καὶ σαφῆ καὶ διωρισμένην καὶ καθαρὰν ὑποψίας ἁπάσης ἀπύντουν θεολογίαν, ψελλισμούς τινὰς καὶ ἀπηχεῖς φθόγγους τὰ πρότερα ἐκεῖνα κρίνοντες εἶναι, τό τε δὴ τῷ διαιρετικῷ χρησάμενος τρόπῳ, διαστίζει καὶ διαιρεῖ πάνυ σαφῶς οὕτως, ὥστε μηδεμίαν ὑποψίας πρόφασιν, ἢ συκοφαντίας ὑπολελεῖφθαι λοιπὸν οὐδενὶ τῶν οὐ μετεχόντων. ἐν μὲν γὰρ τῇ ἐξηγήσει τοῦ συμβόλου φησί.

Κύριλ. » Πιστεύειν γὰρ ἔφασαν
» εἰς τὸ πνεῦμα, καθάπερ εἰς τὸν πατέρα καὶ τὸν υἱόν. ὁμοούσιον γὰρ ἐστὶν
» ἐν αὐτοῖς. καὶ προχεῖται μὲν ἤγουν ἐκπορεύεται, καθάπερ ἀπὸ πηγῆς
» τοῦ Θεοῦ καὶ πατρός. χορηγεῖται δὲ τῇ κτίσει διὰ τοῦ υἱοῦ. ἐν δὲ
» τῇ πρὸς Ἰωάννην τὸν Ἀντιοχείας ἐπιστολῇ. Καὶ οὐδένα τρόπον σα-
» λεύεσθαι παρά τινων ἀνεχόμεθα (φησὶ) τὴν ὁρισθεῖσαν πίστιν, ἤτοι τὸ τῆς
» πίστεως σύμβολον παρὰ τῶν ἁγίων ἡμῶν πατέρων τῶν ἐν Νικαίᾳ συ-
» νελθόντων κατὰ καιρούς. οὔτε μὴν ἐπιτρέπομεν ἑαυτοῖς ἢ ἑτέροις, ἢ λέξιν
» ἀμεῖψαι τὴν ἐγκειμένην ἐκεῖσε, ἢ μίαν γοῦν παραβῆναι συλλαβήν.
» μεμνημένοι τοῦ λέγοντος, Μὴ μέταιρε ὅρια αἰώνια ἃ ἔθεντο οἱ πατέρες
» σου. οὐ γὰρ ἦσαν αὐτοὶ οἱ λαλοῦντες, ἀλλὰ τὸ πνεῦμα τοῦ Θεοῦ καὶ
» πατρός. ὅπερ ἐκπορεύεται μὲν ἐξ αὐτοῦ, ἔστι δὲ οὐκ ἀλλότριον τοῦ υἱοῦ
» κατὰ τὸν τῆς οὐσίας λόγον. καὶ ἐν τῇ πρὸς Θεοδώρητον ἀπολογίᾳ. Ἐκ-
» πορεύεται μὲν γὰρ ἐκ τοῦ Θεοῦ καὶ πατρὸς τὸ πνεῦμα τὸ ἅγιον κατὰ τὴν
» τοῦ Σωτῆρος φωνήν. ἀλλ' οὐκ ἀλλότριον ἐστὶ τοῦ υἱοῦ. πάντα γὰρ
» ἔχει μετὰ τοῦ πατρός. καὶ πάλιν. Ὥσπερ ὁ δάκτυλος ἀπήρτηται τῆς
» χειρός, οὐκ ἀλλότριος ὢν αὐτῆς, ἀλλ' ἐν αὐτῇ φυσικῶς, οὕτω καὶ τὸ

πνεῦμα τὸ ἅγιον, τῷ τῆς ὁμοουσιότητος λόγῳ συνῆπται πρὸς ἕνωσιν τῷ υἱῷ, κἂν ἐκ τοῦ Θεοῦ καὶ πατρὸς ἐκπορεύηται. καὶ ἐν. ε. τῶν πρὸς Ἑρμείαν. Μιᾶς γοῦν φύσεως ἓν καὶ τὸ πνεῦμα. καὶ προχεῖται μὲν, οἱονπερ ἀπὸ πηγῆς τοῦ πατρὸς, ἔστι γε μὴν οὐκ ἀλλότριον τοῦ υἱοῦ. καὶ πάλιν, Σιωίης ὅπως ὡς ἴδιον ἐπαγγέλλεται καταπέμψειν ἡμῖν τὸ ἐκ τοῦ πατρὸς, καὶ πνεῦμα μὲν ἀληθείας ἀποκαλεῖ, προχεῖσθαι γε μὴν ἐξ αὐτοῦ διωρίσατο τοῦ πατρός. καὶ πάλιν. Ἐκεῖνο δὲ μᾶλλον κατασημαίνοντες, ὅτι τῆς τοῦ Θεοῦ καὶ πατρὸς οὐσίας, καὶ τοῦ κατὰ φύσιν ἐξ αὐτοῦ τε καὶ ἐν αὐτῷ πεφηνότος λόγου πνεῦμα ὑπάρχον, πᾶν ὅπερ ἐστὶ τῆς θεότητος ἴδιον, κατὰ φύσιν ἐπάγεται. πηγὴν μὲν, ὥσπερ ἔχον αὐτήν. προχεόμενον δὲ, ὥσπερ ἐκ πατρὸς διὰ υἱοῦ καὶ ἁγιάζον τὴν κτίσιν. καὶ ἐν. ζ. λόγῳ τῶν πρὸς Ἑρμείαν περὶ τοῦ πνεύματος. Συγκατασημαίνεται γὰρ ἑκατέρῳ τὸ πνεῦμα, καὶ οὐχ ὡς μέρος ὂν αὐτοῦ καθάπερ καὶ ἐπ᾽ ἀνθρώπων νοούμενον. ὑφέστηκε γὰρ ἰδικῶς. καὶ προΐησι μὲν ἐξ ἰδίας αὐτὸ φύσεως ὁ πατήρ. χορηγεῖ δὲ τοῖς ἀξίοις καὶ αὐτὸς ὁ υἱός. καὶ ἐν τοῖς θησαυροῖς ἐν τῷ περὶ τοῦ πνεύματος κεφαλαίῳ. Φορέσει δὲ μᾶλλον φυσικῶς τὸ τῆς θείας οὐσίας ἀξίωμα, ἐξ αὐτῆς τε ὑπάρχον, καὶ παρ᾽ αὐτῆς τοῖς ἀξίοις δι᾽ υἱοῦ χορηγούμενον. καὶ αὖθις. Θεὸς ἄρα τὸ πνεῦμα ἐστὶ, τὸ ὡς ἐν τάξει Θεοῦ κατοικοῦν ἐν ἡμῖν. καὶ ἵν᾽ οὕτως εἴπω, τῆς ἀνωτάτω πασῶν ἐξέρπον οὐσίας, ἐν ἰδίᾳ τε ὂν ὑπάρξει, καὶ ἐκ πατρὸς νοούμενον, δι᾽ υἱοῦ δὲ τῇ κτίσει χορηγούμενον. καὶ ἐν τῷ προσφωνητικῷ ταῖς βασιλίσι. Πιστεύομεν δὲ ὁμοίως καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον. οὐκ ἀλλότριον αὐτὸ τῆς θείας φύσεως καταλογιζόμενοι. καὶ γάρ ἐστιν ἐκ πατρὸς φυσικῶς προχεόμενον δι᾽ υἱοῦ τῇ κτίσει. νοεῖται γὰρ οὕτω μία τε καὶ ὁμοούσιος καὶ ἐν ταυτότητι δόξης ἡ ἁγία καὶ προσκυνουμένη Τριάς. καὶ τίς ἂν καταλέγοι τὰ τοῦ διδασκάλου ῥητὰ, ἐν οἷς τὴν αὐτὴν τοῖς ἐκτεθειμένοις σώζει διάνοιαν, καὶ οὐδαμοῦ διαφωνῶν ἑαυτῷ καὶ τἀναντία ἐκτιθέμενος φαίνεται. οἶμαι δὲ πρὸς τὴν ἐνεστῶσαν χρείαν καὶ τὰ παρηγμένα νῦν ἐξαρκεῖν. Ποῦ τοίνυν ὁ Κύριλλος φησι, τὸ πνεῦμα τὴν ὕπαρξιν ἔχειν

ἐκ τοῦ υἱοῦ, ἢ ἐκ τοῦ πατρὸς ἅμα καὶ τοῦ υἱοῦ; ἢ τὸ πνεῦμα ἐκπορεύεσθαι ἐκ πατρὸς καὶ υἱοῦ; ἢ τὸν υἱὸν ἀρχὴν εἶναι τοῦ πνεύματος; ἢ τῆς τοῦ πνεύματος ὑπάρξεως αἴτιον; ἢ ἁπλῶς τοῦ πνεύματος αἴτιον; ἵνα ταῦτα μὲν Κυρίλλου δόξα καὶ συμπάσης τῆς Ἀνατολικῆς ἐκκλησίας εἶναι πιστεύηται; τὰ δὲ ἐναντία τούτοις, Θεοδωρήτου δόξαι καὶ Νεστορίου διεστραμμέναι, ὡς οἱ καινοὶ φασὶ σοφισταί. τίς δ᾽ ἄν ποτε διεῖλε σαφέστερον, ἢ ὡς ὁ διδάσκαλος οὗτος διαιρεῖ; καὶ τὰ μὲν εἰς τὴν αἰτίαν ἀνήκοντα, τῷ πατρὶ δίδωσι. τὰ δὲ εἰς τὴν ὁμοουσιότητα καὶ τὴν τοῦ πνεύματος χορηγίαν, καὶ τῷ υἱῷ. ὥσπερ ἡμῖν τοῦ παρόντος ζητήματος ἀπὸ Θεοῦ πεμφθεὶς δικαστής. καὶ τὸν ἀποστολικὸν καὶ εὐαγγελικὸν ἀναπτύσσων νοῦν ἄριστα. ἐπειδὰν πνεῦμα τῆς ἀληθείας καὶ υἱοῦ καὶ Χριστοῦ πνεῦμα τὸ πανάγιον λέγηται πνεῦμα:

Ὅτι εἰ μὴ οὕτως ἐφρόνει Κύριλλος ὡς δέδεικται φρονῶν, αἱρετικὸς ἂν ἦν. ὥστε οἱ τὴν ἐναντίαν δόξαν αὐτῷ περιτιθέντες, αἵρεσιν αὐτῷ περιάπτουσι καὶ συκοφαντοῦσιν αὐτόν:

Ἔω δὲ λέγειν, ὡς εἰ τὴν ὕπαρξιν ἐκ τοῦ υἱοῦ τὸ πνεῦμα ἔλεγεν ὁ Κύριλλος ἔχειν, χαλεπῶς ἂν ἐξέφευγε τὰς Ἰωάννου καὶ Θεοδωρήτου μέμψεις. οἵπερ Ἀπολιναριστὴν καὶ Μακεδονιανὸν καὶ Ἀρειανὸν αὐτὸν ἀπεκάλουν ἐν τῷ τῆς μάχης καιρῷ. καὶ διὰ ταῦτα καθαιρεῖν ἐπεχείρουν. μᾶλλον δὲ καὶ καθεῖλον τὸν ἀκαθαίρετον. Ἀπολιναριστὴν μὲν λέγοντες, ὅτι τῆς τοῦ Χριστοῦ θεότητος κινδυνευούσης ὑπερμαχῶν, ἔδοξεν αὐτοῖς μὴ πιστεύειν ἐκεῖνον τέλειον ἄνθρωπον. Ἀρειανὸν δέ, ὅτι τε ἐδόκει τὸν υἱὸν τοῦ Θεοῦ κτίσμα ποιεῖν, ἐπεὶ τὸν αὐτὸν ἔλεγε Χριστὸν καὶ υἱὸν τοῦ Θεοῦ. ᾤοντο γὰρ αὐτόν, ἑνότητι φύσεως οὐχ ὑποστάσεως, τὴν τοῦ ἀκτίστου πρὸς τὸ κτιστὸν, ἐν τῷ Χριστῷ δογματίζειν συνάφειαν. καὶ ὅτι πλείους ἐδόκει τιθέναι τὰς ἀρχὰς ἐν τοῖς θείοις, εἰ τὸ πνεῦμα λέγει καὶ ἐκ τοῦ υἱοῦ ἐκπορεύεσθαι, τουτέστιν ὑφίστασθαι. Μακεδονιανὸν δὲ καὶ Εὐνομιανόν,

ὅτιπερ

ὅπερ ἁπλῶς αὐτὸ τοῦ υἱοῦ ἴδιον ἔλεγεν εἶναι. μήπω καθαρῶς ὡς ἐκείνοις ἤρεσκε διαστίζων. καὶ χωρίζειν ἐδόκει τῆς πατρικῆς αἰτίας αὐτό. καὶ τρίτον αὐτὸ ποιεῖν ἀξιώματί τε καὶ φύσει, ὡς μόνον αἰτιατόν, καὶ οὐδαμῶς θεότητος αἴτιον. τοῦ υἱοῦ βελτίωνος ὄντος, ὅτι τούτῳ καὶ ἄμφω πρόσεστιν. ἀλλ' οὔτε ταῦτα εἰπών, καὶ τἀναντία τούτοις ἐκθέμενος φανερῶς οὔπωσι, ἀπηλλάγη τε δικαίως τῶν αἰτιῶν, καὶ πάσῃ τῇ ἐκκλησίᾳ περισπούδαστος ὤφθη· οὐ τότε μόνον εὐθύς, ἀλλὰ καὶ χρόνοις πολλοῖς ὕστερον. ἐμέλησε γὰρ καὶ ταῖς ὑστέραις συνόδοις τῆς εὐκλείας αὐτοῦ. καὶ τὴν ἐκ τῶν κεφαλαίων ἐκείνων προστριβομένην μέμψιν αὐτῷ, μηχαναῖς ἁπάσαις ἠκύρωσαν. καὶ αὐτοὶ δὲ πολλοῖς αὐτὸν ἔστεψαν τοῖς ἐπαίνοις, οἱ πρότερον ὡς τοῖς αἱρετικοῖς ἐκείνοις συμφέρεσθαι δόξαντι καὶ ὑποπτευθέντι, δι' ὄχλου πάνυ γεγενημένοι. καὶ τοσοῦτον ἀπέσχε Κύριλλος Εὐνομίῳ καὶ τοῖς αἱρετικοῖς ἐκείνοις ἐξ ὧν συνεγράψατο σύμφρων ἀποδειχθῆναι, ὅσον τοῖς περὶ Θεοδώριτον συνάδειν ἐσπούδασε. καὶ ἅπερ ἐκείνοις ἐδόκει φευκτά, καὶ τούτου χάριν αὐτῷ ταῦτα φέροντες ἀνετίθουν, ταῦτα καὶ αὐτὸς ἐδείκνυε φεύγων· εἴπερ οὖν Κύριλλος οὐκ ἔστι Νεστοριανός, οὐδὲ Θεοδώριτος ἐστίν. ἐπεὶ διὰ τὸ Θεοδωρίτῳ συνάδειν, ἔφυγε Κύριλλος τὸ δοκεῖν Εὐνομιανός. καὶ εἴπερ Θεοδώριτος οὐκ ἔστιν Εὐνομιανός, ὅς τὰ τοιαῦτα περὶ Κυρίλλου μᾶλλον ὑπώπτευεν, οὐδὲ Κύριλλος ἐστὶν Εὐνομιανός, ἅπερ ἂν βούλοιτο Θεοδώριτος, ταῦτα λέγων περὶ τοῦ πνεύματος. ὥστε καὶ νῦν οἱ μὲν Θεοδωρίτῳ, σύμφωνον περὶ τοῦ πνεύματος ἔχοντες πίστιν, οὔτε εἰσὶ Νεστοριανοί, καὶ Κυρίλλῳ καὶ τῇ ἐκκλησίᾳ πάσῃ συνάδουσιν. οἱ δὲ μήτε Θεοδωρίτῳ συνάδοντες, καὶ Κυρίλλῳ δόξαν ἣν οὐκ εἶχε περὶ τῶν θείων περιτιθέντες, καὶ ἣν καθαρῶς ἐσπούδασεν ἀποσείσασθαι, τῶν κατὰ Κυρίλλου συκοφαντιῶν κληρονομοῦσιν αὐτοί, καὶ τὰς Εὐνομίου καὶ Ἀρείου μέμψεις ὑπέρχονται. συκοφαντοῦσι δὲ καὶ Κύριλλον ὁμοίως Θεοδωρίτῳ· ἣν ἡμεῖς μὲν ἐστὶν ὅτε καὶ συκοφαντίαν γενέσθαι ἢ ἐπήρειαν εἴποιμεν ἄν. ἐπεὶ καὶ ταῖς συνόδοις καὶ τοῖς πράγμασι τοῦτο δοκεῖ. οἱ δὲ Λατῖνοι καὶ αἱρετικὸν βλασφημοῦντες, οὐκ αἰδοῦνται τὴν δίκην. πῶς γὰρ αἱρετικὸς ἂν ἦν Θεοδώριτος ἐν ἐκείνοις, ὧν τἀναντία τῷ Κυρίλλῳ προστριβό-

μένος, βασκαίνειν ἔδοξε καὶ συκοφαντεῖν; Κύριλλον δηλονότι, οἱ μὲν πρὶν διωρισμένως ἐκφῆναι τὴν ἑαυτοῦ γνώμην συκοφαντήσαντες, ἴσως οὐ σφόδρα ἠδίκουν. οἱ δὲ νῦν ἐξότου πάσης καθαρεύειν ἔδοξεν ὑποψίας, τῆς ἐκείνου καταψευδόμενοι σοφίας τε καὶ ὀρθότητος, πάνυ τοί γε εἰς αὐτοὺς ἧκον βλάπτουσι. βλάπτουσι δὲ οὐδένα παρόντι, πλὴν ἑαυτῶν:

Ἔλεγχος τῆς τοιαύτης συκοφαντίας σαφὴς ἐκ τῆς τοῦ Μαξίμου ἐπιστολῆς πρὸς Μαρῖνον. ἐν ᾧ καὶ περὶ τῆς γνησιότητος αὐτῆς. καὶ ἐπανάληψις τῶν προαποδεδειγμένων ὡς ἐν ἐπιλόγῳ.

Ἀλλ' οὐχ ὅ γε Μάξιμος ἐκεῖνον συκοφαντεῖ. ἀλλὰ καὶ Κύριλλον καὶ τοὺς Ῥωμαίων πατέρας ἐπειδὰν ἐκ τοῦ υἱοῦ προϊέναι τὸ πνεῦμα λέγοντες φαίνωνται, ὡς δι' υἱοῦ τοῦτο προϊέναι λέγοντες ἐκλαμβάνειν. καὶ τοῦθ' ἵνα τὸ συναφὲς τῆς οὐσίας καὶ ἀπαράλλακτον παραστήσωσιν, οὐχ ὡς τοῦ υἱοῦ αἰτίου ὄντος τοῦ πνεύματος. ἃ γὰρ ἀπολογουμένων τῶν τότε Ῥωμαίων Μάξιμος ἀποδέχεται, δῆλος ἐστὶ καὶ αὐτὸς

Μάξιμ.
» ὡσαύτως φρονῶν. φησὶ γὰρ ἐκεῖνος ἐν τῇ πρὸς Μαρῖνον ἐπιστολῇ. Τῶν
» τοῦ νῦν ἁγιωτάτου Πάπα συνοδικῶν, οὐκ ἐν τοσούτοις ὁπόσοις γεγράφατε
» κεφαλαίοις, οἱ τῆς βασιλίδος τῶν πόλεων ἐπελάβοντο. δυσὶ δὲ μόνοις.
» ὧν τὸ μὲν ὑπάρχει περὶ θεολογίας. ὅτι τε φησὶν εἰπεῖν ἐκπορεύεσθαι κἀκ
» τοῦ υἱοῦ τὸ πνεῦμα τὸ ἅγιον. τὸ δὲ ἄλλο περὶ τῆς θείας σαρκώσεως.
» ὅτιπερ γέγραφε μὴ δίχα τὸν Κύριον εἶναι τῆς προπατορικῆς ἁμαρτίας
» ὡς ἄνθρωπον. καὶ τῷ μὲν πρώτῳ συμφώνους παρήγαγον χρήσεις τῶν Ῥω-
» μαίων πατέρων. ἔτι γε μὴν καὶ Κυρίλλου Ἀλεξανδρείας, ἐκ τῆς πονη-
» θείσης αὐτῷ εἰς τὸν εὐαγγελιστὴν ἅγιον Ἰωάννην ἱερᾶς πραγματείας. ἐξ ὧν
» οὐκ αἰτίαν τὸν υἱὸν τοῦ πνεύματος ποιοῦντας σφᾶς αὐτοὺς ἀπέδειξαν. μίαν
» γὰρ ἴσασιν υἱοῦ καὶ πνεύματος τὸν πατέρα αἰτίαν, τοῦ μὲν κατὰ τὴν γέννησιν, τοῦ

δὲ

δὲ κατὰ τὴν ἐκπόρευσιν. ἀλλ᾽ ἵνα τὸ δι᾽ αὐτοῦ προϊέναι διαλάσσωσι, καὶ ταύτῃ τὸ συναφὲς τῆς οὐσίας καὶ ἀπαράλλακτον παραστήσωσι. καὶ τὰ ἑξῆς. Δεδιέναι δὲ οὐ χρὴ περὶ τῆς ἐπιστολῆς ταύτης, μήποτε οὐ γνησία ᾖ. ἐπειδὴ τοῦ πεπλάσθαι δοκεῖν οὐδεμίαν ἐμφαίνει πρόφασιν. πρῶτον μὲν γὰρ οὔτε τοῖς ἡμετέροις μόνοις συνηγορεῖ, οὔτε Λατίνοις μόνοις. ὥστε εἰ καὶ ὑπ᾽ ἀμφοτέρων συμπέπλασται, ἀλλὰ τοῦτ᾽ ἀδύνατον, ἢ ὑπ᾽ οὐδετέρων χωρεῖς. ὅτι δὲ καὶ ἀμφοτέροις συνηγορεῖ, δῆλον ἐστίν, ἐκ τοῦ καὶ ἀμφοτέρους ταύτῃ κεχρῆσθαι κατὰ τῶν ἑτέρων· καὶ ὑπ᾽ ἐνίων αὖθις ἑκατέρωθεν διαβάλλεσθαι. ἑκάστων ὡς αὐτοῖς ποτε συνήνεγκε κατὰ τὴν τῶν λόγων αὐτῶν πρόθεσιν, καὶ τὴν περὶ ταύτης ψῆφον φερόντων. ἔπειτα καὶ ταῖς κοιναῖς ὑποθέσεσι συνᾴδει τῆς πίστεως. καὶ τῷ τύπῳ τῆς τῶν ἀσιανῶν διδασκάλων θεολογίας παντάπασι συμφωνεῖ, καὶ τοῖς ἄλλοις αὐτοῦ Μαξίμου συγγράμμασιν. οὐδαμοῦ γὰρ ἐκεῖνος ἀρχὴν ἢ αἴτιον εἶναι τοῦ πνεύματος τὸν υἱόν, ἢ ἐκ τοῦ υἱοῦ τὴν ὕπαρξιν ἔχειν τὸ πνεῦμα, ἢ τὸ εἶναι λαμβάνειν, ἢ τί τοιοῦτον φαίνεται λέγων. ὅτι δὲ κἀν τοῖς καιροῖς τῆς ἕκτης συνόδου, οἷς δήπου καὶ Μάξιμος ὁ θεῖος συνῆν, αἱ κατὰ τῶν Λατίνων τοῖς ἡμετέροις ἀνερριπίσθησαν μέμψεις, τίς ἀγνοεῖ; πῶς δὲ καὶ ἄλλως οἷοί τε ἦν τότε Λατίνους ἀπολύεσθαι τὰ ἐγκλήματα, εἰ μὴ καταφεύγοντας μὲν εἰς τοὺς Ῥωμαίους πατέρας καὶ τὸν ἡμέτερον Κύριλλον, ἰσχυριζομένους δὲ τὰς ἐκείνων χρήσεις νοεῖν, ὡς ἂν οἱ ἡμέτεροι βούλοιντο; ταὐτὸν δ᾽ εἰπεῖν, ὡς οἱ τῆς θεολογίας βούλονται νόμοι. ἄλλως τε καὶ τὸ διαβάλλειν τὰς ἀλλήλων ἀρχάς, ῥᾴδιον μέν ἐστιν, τὰ δ᾽ ἀλλ᾽ ἡ τῆς ἀληθείας οὕτω ζήτησίς τε καὶ εὕρεσις παύσεται. οὐδεὶς γὰρ ἔσται πρὸς ἀλλήλους λόγος λοιπὸν τὰς ἀλλήλων ἀναιρούσιν ἀρχάς. οὐκοῦν οὐδὲ τὴν Μαξίμου χρὴ διαβάλλειν ἐπιστολήν. εἴγε βούλονται καὶ τὰ τῶν εὐρωπαίων πατέρων ῥητά, τὴν τῆς θείας διδάσκειν ὑπόνοιαν. καὶ τοσούτῳ μᾶλλον αὐτὴν πρέπον ἂν εἴη προσίεσθαι, ὅσῳ καὶ τὴν γνησιότητα τῶν ῥητῶν ἐκείνων αὐτὴ μαρτυρεῖ. ἐπαγομένη καὶ τὴν ἐκ τῶν ἄλλων πραγμάτων συνηγορίαν, ἧς αὐτοὶ μετρίως ἡψάμεθα. ὥστ᾽ εἰ μὴ διὰ τὴν ἐπιστολὴν ταύτην, οὐδὲν ἂν ἐκώλυε τὰς χρήσεις ἐκείνας ἐκ-

βάλλειν, ὡς ὑπὸ τῶν τὴν προσθήκην τολμησάντων συμπεπλασμένας· ὅσπερ πολλοὶ τῶν ἡμετέρων ἐποίησαν, ἵνα τὴν ῥητὴν αὐτὴν καταγνῶσι, καὶ τὴν ἀπὸ τῆς ἐπιστολῆς ἐρχομένην ἡμῖν βοήθειαν ἀτιμάσαντες. ἐπεὶ πολλαχόθεν ἄλλοθεν ἠδύναντο βοηθεῖν τῇ δόξῃ τῆς ἀληθείας. εἰ δέ τινα πρὸς Μαρῖνον ἐπιστολὴν Μάξιμον ἐπιγεγραμμένην, αὐτός που διαγράφει Μάξιμος, καὶ συκοφαντίαν τινῶν σκαιωρίαν εἶναι φησὶν· ἀλλ᾽ οὐκ ἔστιν αὕτη περὶ ἧς ἡμῖν ὁ λόγος ἐστί. τῶν γὰρ τῆς ψευδοῦς ἐκείνης ἐπιστολῆς τεκμηρίων, ἃ τίθησιν ἐκεῖ Μάξιμος, οὐδὲν ἐστὶν ἐν ταύτῃ γνωρίσαι, ὥστε πολλῶν ἄλλων ἐπιστολῶν πρὸς Μαρῖνον ἀληθῶς συγγεγραμμένων Μαξίμῳ, ἃς αὐτὸς ὡς οἰκείας ἐπιγινώσκειν φησίν, ἐξ ἐκείνων καὶ ταύτην ὑπάρχειν εἰκός ἐστιν. εἴγε μίαν μὲν ἐκεῖνος φαίνεται διαγράφων. αὕτη δὲ ἐκείνης φανερῶς διενήνοχε· φαίνεται τοίνυν ἐκ τούτων ἁπάντων, ὅ,τε Κύριλλος Θεοδωρείτῳ τὴν αὐτὴν περὶ τοῦ πνεύματος ἔχων πίστιν, καὶ Θεοδώριτος τοῦ κοινοῦ τῆς ἐκκλησίας ἀντιποιούμενος δόγματος. καὶ οἱ μετὰ τὸν Κύριλλον πατέρες, ὕπο καὶ Κυρίλλου συνιέντες, καὶ ἣν παρελάμβανον δόξαν τῆς ἐκκλησίας, μέχρις ἡμῶν παραπέμψαντες. ἅμα δὲ καὶ ὅτι λῆρος ἐστὶν ἀτεχνῶς, εἴ τις λέγοι δόξαν εἶναι τοῦ Νεστορίου ψευδῆ, τὸ μὴ ἔχειν τὴν ὕπαρξιν τὸ πνεῦμα ἐκ τοῦ υἱοῦ. ἢ τινὰς ἀκολουθῆσαι τῶν διδασκάλων ἀπατηθέντας, σαφὲς ἐκ τῶν εἰρημένων ἐστὶν, εἰ καὶ πάνυ σαφέστερον εἶναι δύναται, τῷ γε ταῖς τρίτης συνόδου πράξεσιν, ἀπ᾽ ἀρχῆς ἄχρι τέλους καλῶς ἐπιστήσαντι:

Τμῆμα

Τουντεῦθεν ἄρχεται τὸ β. τμῆμα, εἰ καὶ ἀλλαχοῦ ἐστὶ γεγραμμένον.

Τμῆμα δεύτερον. περὶ τοῦ μακαρίου Αὐγουστίνου, καὶ καθόλου περὶ τοῦ πῶς δεῖ χρῆσθαι ἑκάστῳ τῶν διδασκάλων ἡμᾶς, καὶ τῶν ἀντιπαραστᾶσιν. ἐν ᾧ καὶ περὶ τῶν κτιστῶν εἰκόνων καθολικὴ θεωρία. Συνέχεια τῶν προηγουμένων πρὸς τὰ ἑπόμενα, καὶ προκατάστασις τῶν τῆς ἀντιπαραστάσεως λόγων. Περὶ Αὐγουστίνου ὃν οἱ Λατῖνοι πρὸς ἀπολογίαν προβάλλονται.

Οἱ μὲν οὖν τὸ σύμβολον τῇ ἐκ τοῦ υἱοῦ προσθήκῃ μεταποιήσαντες, ἕνεκά τε τῶν εἰρημένων ἐπὶ νοῦν τοῦτ' ἐβάλοντο τὴν ἀρχήν, καὶ τὸ σχίσμα εἰς ἔργον ἐξήνεγκαν. ἡμῶν γὰρ σωφρονούντων, καὶ μήτε τὴν πρόσθεσιν ἐπαινούντων, μήτε τὸ προστεθειμένον εἰδότων πόθεν ἐστί, μήτε μόνον τὸν Πάπα δύνασθαι λύειν οἰκουμενικῶν συνόδων δεσμοὺς κρινόντων καλῶς, ἀνεχομένων δ' ὅμως τοῦ τολμήματος, ἐλπίδι τοῦ μεταβαλλομένους τοὺς αἰτίους τοῦ σχίσματος, τῆς εἰρήνης δικαίως ἐπιμελήσεσθαι, καὶ διὰ τοῦτο μηδὲν φορτικὸν εἰς αὐτοὺς πεπραχότων, ἐκεῖνοι δεικνύντες, ὡς πάντα πρὸς ἔριν καὶ φιλονεικίαν πράττουσι, πατριάρχας τε κεχειροτονήκασι νόθους, ἄλλων τοὺς θρόνους ἐχόντων. καὶ περιβαλόντες ἑαυτοῖς τὸ τῆς καθολικῆς ἐκκλησίας ἀξίωμα, ἐντεῦθεν ἤρξαντο πλείω καινοτομεῖν, καὶ πᾶν ἔθος τῆς ἐκκλησίας, καὶ ἅπαν μυστήριον, ὡς ἀπὸ μείζονος ἢ πρόσθεν ἐξουσίας μεταποιήσαντες, τελευταῖον ἐν τοῖς πλείστοις ἡμῶν ἀπηλλοτριώθησαν. ἡμεῖς δὲ τῆς πατρικῆς παραδόσεως, οὐδὲν ἱερώτερον, οὐδὲν σοφώτερον εἶναι δύνασθαι πεπεισμένοι,

καὶ ταύτης ἐχόμενοι τὸν τῆς πίστεως τουτονὶ δρόμον, ἐλπίζομεν ὑφ' ἡγεμόσι πιστοῖς δραμεῖσθαι καλῶς· καὶ πρὸς τούτῳ τῶν τῆς εἰρήνης μισθῶν ἐπιτεύξεσθαι. ὡς οὐκ ἐξ ὧν αὐτοὶ πράττομεν, ἀλλ' ἐξ ὧν ἄλλοι προπετῶς εἵλοντο λυομένης, ἀκόντων ἡμῶν καὶ λίαν ὀδυνωμένων. ἀλλὰ περὶ ὧν μὲν ἐν τοῖς θρησκεύμασιν ἐνεωτέρισαν, ἐλάττων τε ἡμῖν ὁ λόγος ἐστὶ, καὶ ἅμα οὐ τῆς παρούσης χρείας ἡ περὶ τούτων ἐξέτασις. περὶ γὰρ τῆς ἐν τῷ συμβόλῳ προσθήκης ἡμῖν προὔτεθη σκοπῆσαι. ἐπεὶ τοίνυν καινοτομοῦντας ἐχρῆν τινι καὶ προκαλύμματι χρῆσθαι, ὅπερ ἐστὶν ἔθος πᾶσι τοῖς ὁτιοῦν ἁμαρτάνουσι τοῖς παρὰ σφίσι διδασκάλοις εἰς τοῦτ' ἐχρήσαντο. καὶ τούτους ἀντ' ἀσπίδος προὐβάλοντο. ὡς δὴ τῆς προσθήκης ἐκείνης αὐτῇ λέξει τοῖς ἐκείνων ἐγκειμένης συγγράμμασι. καὶ νῦν τὴν αὐτὴν ἀπολογίαν τοῦ ἐγκλήματος φέρουσιν ἡμῖν, οἱ τῆς προσθήκης ὑπερμαχοῦντες. καὶ πολλὰς τῶν εὐρωπαίων διδασκάλων ῥήσεις προτείνουσιν, ἐκ τοῦ υἱοῦ τὸ πνεῦμα προϊέναι διδασκούσας, φανερῶς οὔσας, ἐπ' Αὐγουστῖνον πλέον τῶν ἄλλων θαῤῥοῦσι. καὶ εἰκότως· αὐτὸς γὰρ πλέον τῶν ἄλλων δοκεῖ τῇ δόξῃ ταύτῃ συναγωνίζεσθαι. διὰ τοῦτο καὶ ἡμεῖς ἀπ' αὐτοῦ ποιησάμενοι τὴν ἀρχὴν, περὶ πάντων ὁμοῦ τῶν διδασκάλων ἐκείνων, καὶ ὧν ἐκεῖνοι περὶ τοῦ πνεύματος ἐδόξασαν, δείξομεν τἀληθῆ. πρῶτον δὴ χρησόμεθα τοῖς διδασκάλοις, ὥσπερ αὐτοῖς οἱ Λατῖνοι κέχρηνται. ἀποδιϊστῶσι γὰρ αὐτοὺς τῶν ἀπὸ τῆς Ἀσίας πατέρων, καὶ καινοτέρας τινὸς δόξης εὑρετὰς αὐτοὺς λέγουσι γεγονέναι. καὶ τὰς ῥήσεις ἐκείνας, οὐ κατὰ τὸν ἐν τῇ ἐκκλησίᾳ κρατήσαντα τύπον. οὐ κατὰ τὴν ἀνεπτυγμένην καὶ διωρισμένην καὶ σαφῆ τῶν ἀσιανῶν διδασκάλων θεολογίαν. ἀλλὰ κατὰ τὸ δοκοῦν σφίσιν αὐτοῖς ἐξηγοῦνται. ὃν δὴ τρόπον ἀδύνατον ἂν ἦν ἀληθεύειν ἐκείνους. καὶ οἴονται σοφώτεροι γεγονέναι τῶν ἐπὶ Μαξίμου Ῥωμαίων, καὶ τῶν πρὸ αὐτῶν, ἄχρι τῶν διδασκάλων ἐκείνων. καὶ τῶν μετ' αὐτοὺς, μέχρι τῆς ἐν τῷ συμβόλῳ καινοτομίας. οἳ πάντες καὶ λόγοις καὶ οἷς ἔπραττον, οὕτω τὰς ῥήσεις ἐξηγοῦντο ἐκείνας, ὡς ἡμεῖς αὐτὰς ἐξηγούμεθα. Κειμένου τοίνυν τοῦ τὸν Αὐγουστῖνον οὕτω τὸ πνεῦμα προϊέναι λέ-

γεῖν ἐκ τοῦ υἱοῦ, ὡς τοῦ ὑφ' ἀρχῆς ὄντος καὶ αἰτίας τοῦ πνεύματος καθάπερ καὶ ὁ πατὴρ, καὶ ὡς τοῦ πνεύματος τὴν οἰκείαν ὑπόστασιν ἐκ τοῦ υἱοῦ καθάπερ ἐκ τοῦ πατρὸς ἕλκοντος, ὅπως ἡμῖν ὁ περὶ Αὐγουστίνου λόγος προχωρήσῃ δικαίως· καὶ ὡς ἂν πᾶσιν ἀρέσκειν μέλλοι τοῖς τῆς ἀληθείας ἐξεταστάις, καὶ δὴ σκοπητέον:

Περὶ τῶν Αὐγουστίνου κινητικῶν πρὸς τὴν δόξαν ταύτην, πόσα δοκοῦσιν εἶναι, καὶ τίνα.

Αὐγουστῖνον δὲ τὰ πρὸς τὴν δόξαν ταύτην κεκινηκότα (εἴπερ ταύτης ἦν ἄρα τῆς δόξης) τέσσαρα καθάπαξ γεγονέναι δοκεῖ. Ἓν μὲν καὶ πρῶτον, ὁ Ἀμβροσίου καὶ Ἱλαρίου ζῆλος. ὧν ὁ μὲν ἀρχαῖος διδάσκαλος ἦν, καὶ τοῖς χρόνοις συνῆν τῆς πρώτης συνόδου. α. Ἀμβρόσιος δὲ, διδάσκαλος αὐτῷ τῆς ἀληθινῆς πίστεως γέγονε. κατηχήσας τὸν λόγον τῆς ἀληθείας, ἔκ τινος θείας μοίρας, ὡς ἡ κατ' αὐτὸν ἱστορία δηλοῖ. Ἕλλην δὲ πρότερον ἦν. οἱ δὲ φασὶ, Μανιχαῖος. καὶ πολλὰ κατὰ τῆς ἀληθοῦς ἐστράτευε πίστεως. σοφίας καὶ διαλεκτικῆς οὕτως εἰς ἄκρον ἐληλακὼς, ὡς μηδένα τὴν ἐκείνου παῤῥησίαν ὑφίστασθαι, ἀλλὰ πάντας ὑποχωρεῖν. καὶ τοῦτο δεδιότας ἀπεύχεσθαι τὴν συντυχίαν αὐτοῦ. φασὶ γὰρ ἐν ταῖς πρὸς τὸ θεῖον λιταῖς, καὶ τοῦτο τοῖς χριστιανοῖς τότε προστίθεσθαι. Ῥῦσαι ἡμᾶς Κύριε τῆς Αὐγουστίνου διαλεκτικῆς. εἰ δὲ ἀληθέστερον λέγουσιν οἱ Μανιχαῖον αὐτὸν εἶναι πρότερον ἐξηγούμενοι, οὐ τὴν ἐν τῷ διαλέγεσθαι δεινότητα τοῦ ἀνδρὸς φεύγοντες εὔχοντο ταῦτα, ἀλλὰ τὴν αἵρεσιν ἀπευχόμενοι· διαλεκτικοὺς γὰρ ἅπαντες τοὺς Μανιχαίους ἐκάλουν. καὶ τὴν ἐκείνων αἵρεσιν, διαλεκτικήν. ἀπὸ Μάνεντος τοῦ τῆς αἱρέσεως ἡγεμόνος. οὗ τοὔνομα τὸν διαλεκτικὸν, ἢ τὸ σκεῦος τῇ τῶν Βαβυλωνίων γλώσσῃ δηλοῖ. εὕρισκεν οὖν Ἱλάριον Αὐγουστῖνος ἐν τῷ περὶ Τριάδος αὐτοῦ βιβλίῳ, κἀν τῷ εἰς τὴν Πεντηκοστὴν λόγῳ, τοιοῦτόν τι λέγοντα, καὶ Ἀμβρόσιον. τουτέστιν ὅτι τὸ πνεῦ-

μα πρόεισιν ἐκ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ. Ἱερωνύμου δὲ χαλεπῶς ἄν τις εὕροι τι τοιοῦτον, καίτοι πλεῖστα συγγεγραφότος. τῆς γὰρ τῶν ἀσιανῶν ἀκριβείας εἴχετο μᾶλλον, κανόνι ταύτης Γρηγορίῳ κεχρημένος τῷ πάνυ. ᾧ καὶ φοιτῆσαι, καὶ τῆς ἑλληνικῆς παιδείας ἐκεῖθεν ἀρρύσασθαι πλεῖστα λέγεται. ἀλλ' Ἱλάριος μὲν καὶ Ἀμβρόσιος ἁπλῶς οὕτω φάσκοντες, ἐκ πατρὸς καὶ υἱοῦ τὸ ἅγιον προϊέναι πνεῦμα οὐκ ἐπαγωνίζονται. οὐδὲ δυσχεραίνουσιν ἐοίκασιν εἴ τις ἄλλως θέλει πιστεύειν. οὐδὲ περὶ τοῦ δόγματος ἰσχυρίζονται. Αὐγουστῖνος δὲ, καὶ πολλαῖς μεθόδοις βοηθεῖν πειρᾶται τῷ δόγματι, ἅτε πολλῶν ἀντιλεγόντων αὐτῷ τότε καθάπερ ἔφθην εἰπὼν καὶ δι' ἃς εἶπον αἰτίας. ὡς μὲν οὖν Ἀμβροσίου καὶ Ἱλαρίου τοῦτο πρότερον εἰπόντων, Αὐγουστῖνον οὐκ ἄν τις ἁπλῶς ἡγεμόνα τούτου καλέσειεν, ἀλλ' ὅτι τοῦθ' οὕτως ἔχειν διϊσχυρίζεται, καὶ πολλὰς ἀποδείξεις φέρει πρὸς τοῦτο, καὶ πᾶσιν αὐτοῦ τοῖς λόγοις προσπλέκει, καθάπερ τις φορτικὸς ἐραστὴς αὐτοῦ γεγονώς. τῆς δὲ Αὐγουστίνου δόξης κεκρατηκυίας, πάντες λοιπὸν ἀρχὴν αὐτὴν τῶν τοιούτων λόγων τε καὶ δογμάτων ποιοῦνται. καθάπερ δὴ καὶ τῶν ἄλλων πάντων σχεδὸν, εἰκότως αὐτοί τε Λατῖνοι τὸν Αὐγουστῖνον ἡμῖν ἐπισείουσι, καὶ ἡμῖν πρὸς Λατίνους ἀγωνιζομένοις, ἀνάγκη πᾶσα μηχανᾶσθαί τι πρὸς τὴν ἀξίαν τοῦ διδασκάλου. εἴη γὰρ ἂν αὐτῷ τε ἐπαχθὲς, καὶ τοῖς ἐπ' ἐκείνῳ σαλεύουσι, σιωπῇ τοὔνομα παριέναι. καὶ ἔδοξεν ἂν μᾶλλον εὐλαβείας ἢ καταφρονήσεως εἶναι τὸ πρᾶγμα. Λέοντος δὲ πέρι καὶ Γρηγορίου καὶ Δαμάσου τῶν Ῥώμης πατριαρχῶν, τὸν αὐτὸν Αὐγουστίνῳ καὶ μείζω λόγον ποιούμενοι, ἁγιωσύνῃ μὲν οὐδὲν ἐλαττουμένων ἐκείνου, βαθμῷ δὲ καὶ σχήματι καὶ τοῖς ὑπὲρ τῆς ἐκκλησίας ἀγῶσι καὶ προεχόντων, πρός γε τὴν παροῦσαν χρείαν οὐ πάνυ φροντίζομεν, μήποτε ἡμῖν ἐπιφύωσιν αὐτοὶ, μετὰ τὸν ἱερὸν Αὐγουστῖνον, ὥσπερ ἀναπαλαίσοντες. κοῦφον γάρ ἐστι τὸ χρῆμα ἐκείνων, καὶ οὐ πολλῶν ἡμῖν δεήσει πρὸς ἐκείνους τε καὶ ὑπὲρ ἐκείνων τῶν λόγων. οὐχ ὅτι πανταχοῦ τοὺς ὑστέρους τῶν διδασκάλων ὁρῶμεν, ταῖς τῶν προειληφότων γνώμαις συνεπομένους, καὶ ὧν ἡ δόξα κεκράτηκεν, ὥσπερ τοῖς ἀπὸ τῆς Ἀσίας ὁ ἱερὸς Ἀθανάσιος, καὶ Γρηγόριος ὁ μέγας, ἀντὶ κα-

νόνος

ἴδιος εἰσὶ καὶ γνώμονος πανταχοῦ. τοῦτο δὲ καὶ τοῖς διδασκάλοις ἐκείνοις συμβῆναι, πρός γε τὸν Αὐγουστῖνον εἰκός ἐστι. καθάπερ αὐτὸς Ἀμβροσίῳ καὶ Ἱλαρίῳ προσέχειν δοκεῖ. καὶ πλέον ἀμβροσίῳ, ὃς αὐτῷ πρὸς τὴν ὁδὸν τῆς ἀληθινῆς ἡγήσατο πίστεως. ἀλλ᾽ ὅτι ῥᾳδίως αὐτοὺς, τοῖς ἀνατολικοῖς διδασκάλοις καὶ ταῖς κοιναῖς ἐκείναις συνόδοις συστήσομεν, καὶ ταῖς τῆς πίστεως ὑποθέσεσιν. ὥσπερ Ἀμβρόσιον καὶ Ἱλάριον. τὰ αὐτὰ γὰρ πάντες σχεδὸν λέγουσιν, Αὐγουστίνῳ τὴν πολλῶν ὑπὲρ τῆς δόξης ταύτης ἀποστάντες ἀγώνων. οὐδὲ διασμιλεύσαντες οὕτω τὴν ἐκ τοῦ υἱοῦ τοῦ πνεύματος πρόοδον καθάπερ ἐκεῖνος. καί τοι καὶ αὐτὸν Αὐγουστῖνον τοῖς ἡμετέροις διδασκάλοις καὶ τῇ κοινῇ συνάψομεν πίστει καλῶς, ἂν μόνον μὴ φθονῶσι Λατῖνοι. ἀλλὰ νῦν ὡς ἰδίαν διαφυλάττοντος δόξαν, οὕτω τὸ εἰκὸς ἅπαν σκοπεῖν πειρώμεθα. καὶ ἵλεως ἡμῖν Αὐγουστῖνος γένοιτο, τῆς ἀντιπαραστάσεως ταύτης τῶν λόγων, ὡς πρὸς βίαν τε γινομένης, καὶ τῇ ἐν στάσει πάλιν θεραπευθησομένης καλῶς. εἰ μὴ γὰρ οἱ Λατῖνοι σφόδρα ἐφιλονείκουν, ταῖς τοῦ διδασκάλου λέξεσιν ἐρειδόμενοι, καθάπερ ἁπλῶς οὕτω καὶ ἀρχαίως μετὰ Μαξίμου τὸν Αὐγουστῖνον πρὸς τὴν ἡμετέραν δόξαν ἐπισπᾶσθαι δυνάμενοι, ἀνεπαχθέστερον ἂν τοῖς λόγοις ἐχρώμεθα, καὶ οὐκ ἂν ἐδέησε συγχωροῦντας ἅπερ οὐκ ἔξεστιν. οὐδ᾽ ἀληθές ἐστιν, ἄλλό τι σκοπεῖν. ἐπεὶ μέντοι γε καὶ οἱ τῆς ἀντιπαραστάσεως λόγοι τἀληθὲς ἔχουσι μεθ᾽ ἑαυτῶν, ὡς ἐν ἀντιπαραστάσει γοῦν, λυσιτελήσουσι δὲ ἄλλως ἐν τῇ περὶ τῶν διδασκάλων κρίσει τοῖς βουλομένοις προσέχειν, οὐδὲ τούτοις παρέργως ἂν φαίη τις λέγεσθαι. ἓν μὲν δὴ τοῦτο καὶ πρῶτον τῶν Αὐγουστίνου κινητικῶν δοκεῖ γεγονέναι, ἡ τῶν πρὸ αὐτοῦ διδασκάλων παρακολούθησις. εὕρισκε γὰρ ἐκείνους ἐκ πατρὸς καὶ υἱοῦ τὸ πνεῦμα λέγοντας προϊέναι. Δεύτερον β. τῶν κανονικῶν ἐκεῖνα γραφῶν τὰ μέρη, ἃ τοῦ υἱοῦ πνεῦμα καὶ τοῦ Χριστοῦ λέγουσιν εἶναι τὸ ἅγιον πνεῦμα. καὶ δύναμιν ἐξερχομένην ἐξ αὐτοῦ καὶ ἰωμένην πάντας. καὶ πεμπόμενον ἐξ αὐτοῦ καὶ ἐμφυσώμενον, καὶ πάντα δὴ τὰ τοιαῦτα. τούτων γὰρ τῶν ἀξιωμάτων ἁπάντων πρὸς τὴν Ἀμβροσίου καὶ Ἱλαρίου λέξιν ἢ γνώμην ἀκούων, ἐκ τούτων τὴν δόξαν ταύτην

συνῆγε:

γ. σιωπῆ γε: Τρίτον εἰκὸν τις ἐκ τῶν ἡμετέρων προσειλημμένη, πολὺ τὴν πρὸς τὴν δυνατὴν ἡμῖν κατάληψιν τῶν θείων ἰσχύουσα. αὕτη δὲ ἐστὶν ἡ τοῦ νοῦ καὶ τῆς ψυχικῆς αὐτοῦ γονιμότητος ἔν τε νοήσει καὶ θελήσει φανερουμένης, ἐξ ὧν ἅμα τε νοητὸς ἀνίσχει νοῦς, λόγος ὢν αὐτοῦ καὶ σύλληψις νοερά, καὶ ὁ ἔρως. ταῦτα δὲ ἐκ τῶν ἀριστοτελικῶν ἀνεβλάστησε θέσεων:

δ. Τέταρτον, ἡ τῶν πλατωνικῶν θέσις ἐκείνη. ἣ φασι τὴν θείαν φύσιν ἐν τῷ μονίμῳ τῆς ἀγαθότητος ἱδρυμένην, θεὸν εἶναι πρώτιστον καὶ πατέρα πάντων· ὃν δὴ καλοῦσι τἀγαθόν. μέγιστον δὲ πάντων μετ᾽ αὐτὸν εἶναι τὸν νοῦν ἐκ τἀγαθοῦ ἀϊδίως γεγεννημένον. αἴτιον δὲ πάντων τῶν ἄλλων καὶ ἡγεμόνα. καὶ τοῦτον δεύτερον αἴτιον ὀνομάζουσιν. ὃν πολλαχοῦ καὶ ἰδέαν ἀποκαλοῦσι καὶ λόγον. ἐξ αὐτοῦ δὲ τοῦ νοῦ, τὴν ψυχὴν φασὶ τοῦ παντὸς παρελθεῖν, δι᾽ ἧς ζωτικῶς κινεῖται πάντα τὰ ζῶντα, καὶ τὰ ζωῆς ὁπωσοῦν μετέχοντα. καὶ τἀγαθὸν μὲν ἀγέννητον εἶναι καὶ ἀνενδεές. τὸν δὲ νοῦν, ἐκ τἀγαθοῦ γεγεννῆσθαι μόνον, καὶ αὐτοῦ μόνου δεῖσθαι. τὴν δὲ ψυχὴν ἐκ τοῦ νοῦ παρῆχθαι, τῇ πρὸς τἀγαθὸν ἐπιστροφῇ. ποθεῖ γάρ φασι πᾶν τὸ γεννῆσαν. καὶ τοῦτο ἀγαπᾷ. καὶ τοιαῦτα τινὰ οὐ μόνον Πλάτων, ἀλλὰ καὶ Νουμήνιος καὶ Πλωτῖνος λέγουσι τῆς αὐτῆς ὄντες πάντες αἱρέσεως:

Ἐξέτασις τῶν τεσσάρων

φησὶν αὐτὸν τῷ ταύτην ἐλέγχοντι, εἰ καὶ φαύλως ἐτύγχανεν ἐξελέγχων, εἰ μὴ ταύτῃ κακούργως ἐβούλετο συνεργάζεσθαι. ἐν δὲ τοῖς περὶ τοῦ πνεύματος λόγοις, συκοφαντεῖσθαι φησὶν ὑπ' αὐτοῦ. μᾶλλον δὲ κἂν τοῖς ἄλλοις τοῦτ' αὐτὸ πάσχειν, καὶ οὐ βάλλει καιρίαν, βαλὼν ἂν πάνυ δικαίως, εἰ βλασφημεῖν αὐτὸν εἰς τὸ πνεῦμα ἐνόμιζεν. τί γὰρ ἂν εἶχε μεῖζον, ἢ δικαιότερον, πρὸς ἄμυναν, ὧν ἔπασχεν ὑπὸ Θεοδωρήτου κακῶν; ποῦ δ' ἂν ἐγκαιρότερον τὸν ὑπὲρ τῆς ἀληθείας ἔδειξε ζῆλον, ἢ τοῦ τὴν ἀλήθειαν διδάσκοντος πνεύματος, προδήλως βλασφημουμένου; οὐ μόνον δὲ πρότερον, ἀλλὰ καὶ μετὰ τὰς γενομένας σφίσι διαλλαγάς, τὰ αὐτὰ διοριζόμενον Θεοδώρητον ὑπώπτει φανερῶς. μᾶλλον δὲ καὶ Κυρίλλῳ ταῦτα ἀνατιθέντα, καὶ ἐπὶ τούτοις τὰς διαλλαγὰς γενέσθαι ἰσχυριζόμενον, οὐχ αἱρετικόν, οὐ τὰ τοῦ Νεστορίου φρονοῦντα καλεῖ. οὐ λείψανα γοῦν τινα τῆς Νεστοριανῆς περισώζοντα λύμης. ἀλλὰ τοὐναντίον ἅπαν. μήτε εἶναί φησι, μήτε γενέσθαι πώποτε Θεοδώρητον, καὶ τοὺς περὶ Ἰωάννην, σύμφρονας Νεστορίῳ, ἐξ ὧν ὡμολογήκασιν, ἱκανὴν τούτου πίστιν παρεσχημένους αὐτῷ. ὡμολόγουν δὲ ἀεὶ τὴν ὕπαρξιν οὐκ ἔχειν ἐκ τοῦ υἱοῦ τὸ πνεῦμα τὸ ἅγιον. ἀλλ' ἐκπορεύεσθαι μὲν ἐκ τοῦ πατρός, τοῦ υἱοῦ δὲ εἶναι, ὡς ὁμοφυὲς ἐκείνῳ καὶ ὁμοούσιον. ὅτι δὲ οὐ μάτην ὁ Θεοδώρητος τῷ Κυρίλλῳ χαρίζεται, τὴν (ὡς μὲν αὐτὸς ἂν φαίη Θεοδώρητος) διόρθωσιν καὶ μεταβολὴν ἐπὶ τὰ βελτίω. ὡς δὲ Κύριλλος λέγει, διηνεκῆ καὶ σύντροφον αὐτῷ τῆς ἀληθείας ὁμολογίαν, ἐκ τῶν τοῦ Κυρίλλου συγγραμμάτων, σαφές ἐστιν. ἔξεστι γὰρ ὁρᾶν μετὰ τὰς διαλλαγὰς ἐκείνας, μᾶλλον δὲ μετὰ τὰς μέμψεις Θεοδωρήτου, τὸν Κύριλλον ἔν τε τῇ πρὸς τὸν Ἀντιοχείας ἐπιστολῇ, κἀν ἐν τῇ τοῦ Συμβόλου ἑρμηνείᾳ, καὶ πᾶσι συγγράμμασι, διωρισμένως τὴν τοῦ πνεύματος αἰτίαν, εἰς τὸν θεὸν καὶ πατέρα ἀναφέροντα. τὰ δὲ εἰς τὴν ταυτότητα τῆς οὐσίας ἀνήκοντα, καὶ τὴν τοῦ πνεύματος χορηγίαν, καὶ τῷ υἱῷ θαῤῥούντως διδόντα· πλὴν ὅτι μὴ καθάπερ ἀπολογούμενος τὰ τοιαῦτα λέγει. οὐδὲ γὰρ βούλεται δοκεῖν, ὅτι διὰ τὰς Θεοδωρήτου μέμψεις ἐπιστατικώτερος γέγονεν. ὃν ἐν τῷ καιρῷ τῶν πολέμων, πολλὰ πρὸς ἀπαιδευσίαν ἀπέσκωψεν. ἴσα ἂν τ' ἴσων ἀποδιδοὺς, καὶ τὸν ὑπὲρ τῆς ἀλη-

θείας ζῆλον, κατὰ τῶν ὁποσοῦν ἀνθισταμένων τῷ ταύτης ὑπερασπιστῇ, δικαίως ἐκχέων. τοὐναντίον μὲν οὖν καθάπερ περὶ Θεοδωρήτου μαρτυρεῖ, τὸ μηδέποτε τῆς Νεστορίου γνώμης, μᾶλλον δὲ ἀγνωμοσύνης, γενέσθαι, τοῦτο ἐκείνων ὁμολογούντων. οὕτω καὶ αὐτὸς κρείττων εἶναι τῶν ὑποψιῶν καθάπαξ ἐκείνων, καὶ τὴν ὀρθὴν γνώμην οὐχ ὕστερον καταμαθεῖν, ἀλλὰ διὰ παντὸς ἐσχηκέναι, πᾶσι δείκνυσι τρόποις. Ταῦτα δὲ πάντα οὕτως ἔχειν, αἱ τῆς Τρίτης Συνόδου πράξεις δεικνύουσιν· ἃς δεῖ πάσας ἐπελθεῖν, τοὺς μέλλοντας περὶ τούτων κρίνειν ὀρθῶς. ἐν δὲ ταῖς πράξεσιν ἐκείναις, καὶ αἱ Κυρίλλου, καὶ Κελεστίνου, καὶ Ἰωάννου, καὶ πάντων, ἐπιστολαὶ περιέχονται· καὶ τὰ πρὸ τῆς Συνόδου, καὶ μετὰ τὴν Σύνοδον ἐκείνην γεγενημένα καὶ γεγραμμένα· οὕτω τῶν θείων πατέρων κρινάντων συνοίσειν, πάντα ταῦτα συγκαταριθμεῖσθαι ταῖς πράξεσιν. ἐξ ὧν ἀπολαβόντες μέρη τινὰ τῶν τοῦ Θεοδωρήτου, καὶ Κυρίλλου λόγων, καὶ τῶν ἄλλων, ὧν ἀρτίως ἐμνήσθημεν, ἐκθησόμεθα νῦν. τοῖς μὲν γὰρ τὰ κατὰ τὴν Τρίτην Σύνοδον εἰδόσι καλῶς, ἀρκεῖ καὶ τὰ εἰρημένα πρὸς ὑπόμνησιν τῶν λόγων ἐκείνων· οἷς δὲ οὔπω συμβέβηκεν ἐπιστῆσαι ταῖς πράξεσι τῆς Συνόδου ταύτης καλῶς, οὐκ ἀρκέσει τὰ κατ᾽ ἐπιδρομὴν εἰρημένα περὶ αὐτῶν. καὶ δόξειεν ἂν τὸ σύγγραμμα τόδε, μὴ πάσης στοχαζόμενον ἕξεως, ἐλλειπὲς εἶναι, καὶ τοῦ δέοντος ἐν τοῖς ἀναγκαίοις στενώτερον.

ΚΕΦΑΛΑΙΟΝ ζ.

Ἐκβολαὶ ἀπὸ τῶν πράξεων τῆς Τρίτης Συνόδου, βεβαιοῦσαι τὰ προειρημένα κατ᾽ ἐπιδρομήν.

Τῆς ἱερᾶς τοίνυν ἐκείνης συνεδρευούσης Συνόδου, Χαρίσιός τις πρεσβύτερος, οἰκονόμος τῆς Φιλαδελφέων Ἐκκλησίας, προσελθὼν ἀνήνεγκε περὶ τοῦ παραπεπλασμένου Συμβόλου. ὅπερ Ἀναστάσιος καὶ Φώτιος οἱ Νεστοριανοὶ (διὰ Ἀντωνίου καὶ Ἰακώβου, τοῖς ἐπιφέρουσι, ἐκ τῶν

τέσσαρες

τέσσαρες καὶ δεκατιτῶν) ἐξέθεντο, καὶ ὑπογράψαι παρέπεισαν. Ἦ-
σαν δὲ τέσσαρες καὶ δεκατῖται, οἱ τῇ, ιδ, τῆς Σελήνης, τὸ πάσχα ἑορ- Σημ.
τάζοντες, Ἰουδαίοις ὁμοίως. καὶ πράξεσι τισὶ τῶν ἀποστόλων πεπλασ-
μέναις, καὶ ἄλλοις νόθοις βιβλίοις χρώμενοι, ἃ ἐκάλουν ἀπόκρυφα. εἶ-
τα δίδωσι λιβέλλους ὁ Χαρίσιος, καὶ τὴν ὁμολογίαν αὐτοῦ τίθησιν ὀρθῶς
ἔχουσαν, καὶ εὐθὺς τὸ παραπλασθὲν Σύμβολον κεῖται τὸ τοῦ Νεστορίου. Νεστορ. Σύμβ
» Τοὺς ἢ νῦν πρῶτον παιδευομένους τὴν Ἐκκλησιαστικῶν δογμάτων τὴν ἀκρίβειαν, ἢ ἔκ τινος αἱρετικῆς πλάνης μεθίστασθαι βουλομένους ἐπὶ τὴν ἀλήθειαν, διδάσκεσθαι προσήκει καὶ ὁμολογεῖν. Ὅτι πιστεύομεν εἰς ἕνα Θεὸν πατέρα ἀΐδιον, οὐχ ὕστερον ἀρξάμενον τοῦ εἶναι, ἀλλ' ἄνωθεν ὄντα ἀΐδιον Θεόν. οὔτε μὴν ὕστερον γεγονότα πατέρα, ἐπειδὴ περ ἀεὶ Θεός τε ἦν, καὶ πατήρ. Πιστεύομεν καὶ εἰς ἕνα Θεὸν υἱὸν μονογενῆ, καὶ ἐκ τῆς οὐσίας ὄντα τῆς πρώτης, ὄντως υἱὸν, καὶ τῆς αὐτῆς οὐσίας ὄντα, ὅπερ ἐστὶ καὶ πιστεύεται υἱός. Καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον, ἐκ τῆς τοῦ Θεοῦ τυγχάνον οὐσίας, οὐχ υἱὸν, Θεὸν δὲ ὄντα τῇ οὐσίᾳ, ὡς ἐκείνης ὂν τῆς οὐσίας, ἧσπερ καὶ ὁ Θεὸς καὶ πατὴρ, ἐξ οὗπερ κατ' οὐσίαν ἐστὶν, ἰδιάζοντι λόγῳ παρὰ πᾶσαν τὴν κτίσιν· ἣν οὐ κατ' οὐσίαν, ἀλλ' αἰτίᾳ δημιουργίας, ἐκ Θεοῦ νομίζομεν εἶναι, καὶ οὔτε υἱὸν νομίζοντες εἶναι, οὔτε διὰ τοῦ υἱοῦ τὴν ὕπαρξιν εἰληφέναι. ὁμολογοῦμεν δὲ πατέρα τέλειον προσώπῳ, καὶ υἱὸν, ὁμοίως, καὶ πνεῦμα ἅγιον: μὴ τρεῖς τινὰς οὐσίας διαφόρους νομίζειν, ἀλλὰ μίαν τῇ ταυτότητι τῆς Θεότητος γνωριζομένην. Χρὴ δὲ καὶ περὶ τῆς οἰκονομίας (ἣν ὑπὲρ τῆς ἡμετέρας σωτηρίας, ἐν τῇ κατὰ τὸν δεσπότην Χριστὸν οἰκονομίᾳ, ὁ δεσπότης ἐξετέλεσαι Θεὸς) εἰδέναι· ὅτι ὁ δεσπότης Θεὸς λόγος, ἄνθρωπον εἰληφέναι τέλειον, ἐκ σπέρματος ὄντα Ἀβραὰμ κατὰ τὴν διαγόρευσιν τῶν θείων γραφῶν· καὶ ὅσα ἄλλα περὶ τὴν οἰκονομίαν, καὶ ἐν ταύτῃ τῇ ἐκθέσει διατελεῖ βλασφημῶν. ἄλλον μὲν λέγων τὸν ἐκ τοῦ Θεοῦ πρὸ τῶν αἰώνων Θεὸν λόγον. ἕτερον δὲ Ἰησοῦν τὸν ἀπὸ Ναζαρὲτ, ἄνθρωπον ψιλὸν οἰόμενος τὸν ἐκ τῆς παρθένου γεννηθέντα Θεὸν ἡμῶν. Τούτων τοίνυν ἀναγνωσθέντων, ὥρισεν ἡ ἁγία Σύνοδος, ἑτέραν πίστιν μηδενὶ ἐξεῖναι προσφέρειν, ἤγουν συγγράφειν, ἢ συντιθέναι, Συνόδ. γ.

παρὰ τὴν ὁρισθεῖσαν τῶν ἁγίων πατέρων τῶν ἐν τῇ Νικαέων συναχθέντων σὺν ἁγίῳ πνεύματι. τοὺς δὲ τολμῶντας συντιθέναι πίστιν ἑτέραν, ἤγουν προσκομίζειν, ἢ προσφέρειν, τοῖς ἐθέλουσιν ἐπιστρέφειν εἰς ἐπίγνωσιν τῆς ἀληθείας ἐξ ἑλληνισμοῦ, ἢ ἐξ ἰουδαϊσμοῦ, ἢ ἐξ αἱρέσεως οἱασδηποτοῦν. τούτους, εἰ μὲν εἶεν ἐπίσκοποι, ἢ κληρικοί, ἀλλοτρίους εἶναι τοὺς ἐπισκόπους τῆς ἐπισκοπῆς, καὶ τοὺς κληρικοὺς τοῦ κλήρου· εἰ δὲ λαϊκοὶ εἶεν, ἀναθεματίζεσθαι. περὶ δὲ τῆς προτεθείσης ἐκθέσεως, τοιάδε ἡ ἁγία Σύνοδος εἶπεν. εἰ φωραθεῖεν τινὲς εἴτε ἐπίσκοποι, εἴτε κληρικοί, εἴτε λαϊκοί, ἢ φρονοῦντες, ἢ διδάσκοντες τὰ ἐν τῇ προτεθείσῃ ἐκθέσει παρὰ Χαρισίου πρεσβυτέρου, περὶ τῆς ἐνανθρωπήσεως τοῦ μονογενοῦς υἱοῦ τοῦ Θεοῦ. ἤγουν τὰ μιαρὰ καὶ διεστραμμένα Νεστορίου δόγματα, ἃ καὶ ὑποτέτακται, ὑποκείσθωσαν τῇ ἀποφάσει ταύτης τῆς ἁγίας καὶ οἰκουμενικῆς Συνόδου. ὥστε δηλονότι, τὸν μὲν ἐπίσκοπον, ἀλλοτριοῦσθαι τῆς ἐπισκοπῆς, καὶ τὰ ἑξῆς. ὁμοίως τοῖς προειρημένοις ἐπιτιμίοις.

Ἐκ τῆς Κυρίλλου, πρὸς Νεστόριον ἐπιστολῆς.

Τούτοις ἅπασι τὴν σὴν εὐλάβειαν συναινέσαι χρή, καὶ συνθέσθαι δίχα λόγου παντός. ἃ δέ ἐστιν ἀναγκαῖον ἀναθεματίσαι τὴν σὴν εὐλάβειαν, ὑποτέτακται τῇδε ἡμῶν τῇ ἐπιστολῇ. ταῦτα δὲ .ιβ. εἰσὶ κεφάλαια. ὧν οὐδὲν ἐστὶ περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου πνεύματος, ἀλλὰ πάντα περὶ τὴν τοῦ Σωτῆρος οἰκονομίαν.

Ἀπὸ .νγ. Κεφαλαίου τῶν πράξεων τῆς Τρίτης Συνόδου. οὗ ἀρχή, Χαρίσιός τις ὀνόματι πρεσβύτερος.

Ὑπὲρ δὲ σαφηνείας ἀκριβοῦς τῶν εἰρημένων, ἐντέτακται ὁ ἐπιδοθεὶς λιβέλος· παρὰ τοῦ μνημονευθέντος πρεσβυτέρου Χαρισίου. καὶ ἡ τῆς ἀσεβοῦς ἐκείνης πίστεως ἔκθεσις, ἡ περὶ τῆς ἐνανθρωπήσεως τοῦ μονογενοῦς υἱοῦ τοῦ Θεοῦ, μεθ' ὑπογραφῆς τῶν ἠπατημένων.

Ἐκ τῆς διαμαρτυρίας τῆς προστεθείσης δημοσίᾳ κατὰ Νεστορίου. ἧς ἡ ἀρχή, ὁρκίζω τὸν λαμβάνοντα τό δε τὸ χαρτίον. Ὅτι ὁμόφρων ἐστὶν ὁ Νεστόριος τοῦ ἀναθεματισθέντος Παύλου τοῦ Σαμοσατέως, ἀπὸ τῶν ὀρθοδόξων πατέρων ἐπισκόπων. Ἔστι δὲ τὰ προειρημένα οὕτως.

Παῦλος εἶπε· Μαρία τὸν λόγον οὐκ ἔτεκε. Νεστόριος συμφώνως εἶπεν· οὐκ ἔτεκεν ὦ βέλτιστε Μαρία τὴν θεότητα. Παῦλ. Οὐδὲ γὰρ ἦν πρὸ αἰώνων. Νεστ. Μητέρα χρονικὴν τῇ δημιουργῷ τῶν χρόνων ἐφεστῶσι θεότητι. Παῦλ. Μαρία τὸν λόγον ὑπεδέξατο, καὶ οὐκ ἔστι πρεσβυτέρα τοῦ λόγου. Νεστ. Πῶς οὖν Μαρία τὸν ἑαυτῆς ἀρχαιότερον ἔτεκε; Παῦλ. Μαρία ἔτεκεν ἄνθρωπον ἡμῖν ἴσον. Νεστ. Ἄνθρωπος ὁ τεχθεὶς ἐκ παρθένου. Παῦλ. Κρείττονα δὲ κατὰ πάντα, ἐπειδὴ ἐκ πνεύματος ἁγίου, καὶ ἐξ ἐπαγγελιῶν, καὶ ἐκ τῶν γεγραμμένων, ἡ ἐπ' αὐτῷ χάρις. Νεστ. Τεθέαμαι φησὶ τὸ πνεῦμα καταβαῖνον ὡσεὶ περιστερὰν, καὶ μένον ἐπ' αὐτόν. τὸ τὴν ἀνάληψιν αὐτῷ χαρισάμενον· ἐντειλάμενος φησὶ τοῖς ἀποστόλοις, οὓς ἐξελέξατο, διὰ πνεύματος ἁγίου ἀνελήφθη. τοῦτο δὴ τὸ τηλικαύτην Χριστῷ χαρισάμενον δόξαν· καὶ μετ' ὀλίγα· Ἰδοὺ δέδεικται σαφῶς λέγων ὁ παραβάτης, οὐκ ἐτέχθη ἀπὸ Μαρίας ὁ γεννηθεὶς ἐκ τοῦ πατρὸς, ἰδοὺ συναινεῖ τῷ αἱρετικῷ Παύλῳ. ἐν δὲ τῷ τέλει φησίν. Εἴ τις οὖν τολμήσοιε λέγειν, ἄλλον εἶναι τὸν υἱὸν τὸν πρὸ τῶν αἰώνων μονογενῆ τὸν ἐκ τοῦ πατρὸς γεννηθέντα, καὶ ἄλλον τὸν ἐκ Μαρίας παρθένου τεχθέντα, καὶ οὐ τὸν αὐτὸν ἕνα Κύριον Ἰησοῦν Χριστὸν, ἔστω ἀνάθεμα.

Ἐκ τῆς Κυρίλλου ἐπιστολῆς, πρὸς Οὐαλεριανὸν ἐπίσκοπον.

Δῆλον πᾶσι κατέστησαν, ὅτι τὰς βεβήλους Νεστορίου κενοφωνίας, καταχέουσι καὶ ἀναθεματίζουσι μεθ' ἡμῶν· ὡμολόγησαν γὰρ, ὅτι καὶ θεοτόκος ἐστὶν ἡ ἁγία παρθένος, καὶ τὰ ἑξῆς. ἐν οἷς οὐ πρόσκειται, ὅτι καὶ εἰς τὸ

πνεῦμα τὸ ἅγιον ἐβλασφήμησεν ὁ Νεστόριος, ἢ οἱ περὶ Θεοδώρητον.

Ἐκ τῶν ιβ ἀναθεματισμῶν Κυρίλλου κατὰ Νεστορίου ὁ ἔννατος.

» Εἴ τις φησὶ τὸν ἕνα Κύριον Ἰησοῦν Χριστὸν δοξάζεσθαι παρὰ τοῦ πνεύ-
» ματος, ὡς ἀλλοτρίᾳ δυνάμει τῇ δι᾽ αὐτοῦ χρώμενον, καὶ παρ᾽ αὐτοῦ λα-
» βόντα τὸ ἐνεργεῖν δύνασθαι κατὰ πνευμάτων ἀκαθάρτων, καὶ τὸ πληροῦν
» εἰς ἀνθρώπους τὰς θεοσημείας, καὶ οὐχὶ δὴ μᾶλλον ἴδιον αὐτοῦ τὸ πνεῦμα
» φησὶ, δι᾽ οὗ καὶ ἐνήργησε τὰς θεοσημείας, ἀνάθεμα ἔστω.

Ἐκ τῆς Θεοδωρήτου ἀνατροπῆς. ἧς ἡ ἀρχὴ, ἐν ταῦθα σαφῶς οὐ τοὺς νῦν δυσσεβοῦντας.

» Ἴδιον δὲ τὸ πνεῦμα τοῦ υἱοῦ, εἰ μὲν ὡς ὁμοφυὲς καὶ ἐκ πατρὸς ἐκπορευό-
» μενον ἔφη, συνομολογήσομεν, καὶ ὡς εὐσεβῆ δεξόμεθα τὴν φωνήν. εἰ δὲ
Σημ. » ὡς ἐξ υἱοῦ, ἢ δι᾽ υἱοῦ τὴν ὕπαρξιν ἔχον, ὡς βλάσφημον τοῦτο καὶ δυσσεβὲς
Ἰωάν. ιε. » ἀπορρίψομεν. πιστεύομεν γὰρ τῷ Κυρίῳ λέγοντι, τὸ πνεῦμα ὁ ἐκ τοῦ
α. Κορινθ. » πατρὸς ἐκπορεύεται, καὶ τῷ θείῳ Παύλῳ ὁμοίως φάσκοντι, ἡμεῖς δὲ οὐ
κεφ. β. » τὸ πνεῦμα τοῦ κόσμου ἐλάβομεν, ἀλλὰ τὸ πνεῦμα τὸ ἐκ τοῦ πατρός.

Ἐκ τῆς Κυρίλλου πρὸς Εὐόπτιον ἐπιστολῆς.

» Δέδεγμαι δὲ εἰς πληροφορίαν τῆς ἐνώσεως διαθέσεως τῇ σῇ θεοσε-
» βείᾳ, τὸν διαπεμφθέντα τόμον· ὃν συντεθῆναι λέγεται κατὰ τῶν ἀναθεμα-
» τισμῶν, Θεοδώρητος ὁ Κύρου. καλεῖσθαι γὰρ οὕτω φασὶ τὸ πολυχρό-
» νιον· ἐντυχὼν δὲ τοῖς ἐγκειμένοις, ἀνέθηκα τῷ Θεῷ τὰς χαριστηρίους ᾠ-
Ψαλ. ριθ. » δάς. οὐ διαλελέλοιπα δὲ κἀκεῖνο λέγων, Κύριε ῥῦσαι τὴν ψυχήν μου
» ἀπὸ χειλέων ἀδίκων, καὶ ἀπὸ γλώσσης δολίας. εὑρίσκω γὰρ ἐμαυτὸν
» συκοφαντούμενον πανταχοῦ, καὶ ἐφ᾽ ἑκάστῳ τῶν κεφαλαίων ὑπομένοντα
» οὕτως.

Ἐκ τῆς Κυρίλλου ἀπολογίας πρὸς ταύτην τὴν μέμψιν.

» Φθάσας ἔφην, ὅτι τοῖς Νεστορίου βατταρισμοῖς, ἤτοι δυσφημίαις, καὶ

τοῖς ἄγαν ἀπημελῶς εἰρημένοις, ἢ τὴν κεφαλαίαν μάχεται δύναμις. »
ἐκείνου γὰρ λέγοντος περὶ τοῦ ἁγίου πνεύματος, τοῦτο δὴ τὸ τηλικαύτην »
τῷ Χριστῷ χαρισάμενον δόξαν, τὸ δαίμοσιν αὐτὸν φοβερὸν ἐργασάμενον, »
τὸ τὴν ἀνάληψιν αὐτῷ τὴν εἰς οὐρανοὺς χαρισάμενον· καὶ ὥσπερεί τινος »
τὴν καθ᾽ ἡμᾶς ἀνθρώπου κοινοῦ, τὰ τοιάδε περιλυαρηκότος, γέγονεν ἀ- »
ναγκαῖος ὁ ἀναθεματισμός. οὐ κατά γε τὴν λεγόντων δεδοξάσθαι παρὰ »
τοῦ ἁγίου πνεύματος τὸν Ἰησοῦν. Καὶ μετ᾽ ὀλίγα. Ἀλλ᾽ οὐχ οὕτω φαμὲν »
αὐτὸν καθάπερ ἀμέλει καὶ τῶν ἁγίων ἕκαστον, ὡς ἀλλοτρίᾳ δυνάμει κε- »
χρῆσθαι, τῇ διὰ τοῦ ἁγίου πνεύματος· ἴδιον γὰρ καὶ ἔστιν αὐτοῦ τὸ πνεῦ- »
μα, καθάπερ ἀμέλει καὶ τοῦ πατρός. καὶ τοῦτο ἡμῖν εὖ μάλα σαφηνεῖ γε- »
γραφὼς ὁ θεσπέσιος Παῦλος. Οἱ δὲ ἐν σαρκὶ ὄντες, Θεῷ ἀρέσαι οὐ δύ- » Ῥωμ. η.
νανται· ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν σαρκί, ἀλλ᾽ ἐν πνεύματι, εἴπερ πνεῦμα »
Θεοῦ οἰκεῖ ἐν ὑμῖν. εἰ δέ τις πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐ- »
τοῦ· ἐκπορεύεται μὲν γὰρ ἐκ τοῦ Θεοῦ καὶ πατρὸς τὸ πνεῦμα τὸ ἅγιον, κατὰ »
τὴν τοῦ Σωτῆρος φωνήν, ἀλλ᾽ οὐκ ἀλλότριον ἐστὶ τοῦ υἱοῦ. πάντα γὰρ »
ἔχει μετὰ τοῦ πατρός· καὶ τοῦτο αὐτὸς ἐδίδαξεν εἰπὼν περὶ τοῦ ἁγίου »
πνεύματος· πάντα ὅσα ἔχει ὁ πατήρ, ἐμά ἐστι· διὰ τοῦτο εἶπον ὑμῖν, ὅτι » Ἰωάν. ιϛ.
ἐκ τοῦ ἐμοῦ λείψεται καὶ ἀναγγελεῖ ὑμῖν. »

Ἐκ τῆς Κυρίλλου πρὸς Ἰωάννην τὸν Ἀντιοχείας ἐπιστολῆς.

Κατ᾽ οὐδένα δὲ τρόπον σαλεύεσθαι παρά τινων ἀνεχόμεθα τὴν ὁρι- »
σθεῖσαν πίστιν, ἤτοι τὸ τῆς πίστεως σύμβολον, τὸ παρὰ τῶν ἁγίων ἡμῶν » Σημείωσ.
πατέρων τῶν ἐν Νικαίᾳ συνελθόντων κατὰ καιρούς. οὔτε μὴν ἐπιτρέπομεν, »
ἑαυτοῖς, ἢ ἑτέροις, ἢ λέξιν ἠμεῖψαι τῶν ἐγκειμένων ἐκεῖσε, ἢ μίαν γοῦν »
παραβιῶσαι συλλαβήν, μεμνημένοι τοῦ λέγοντος, μὴ μέταιρε ὄρη αἰώνια, ἃ » Παροιμ. κβ.
ἔθεντο οἱ πατέρες σου. οὐ γὰρ ἦσαν αὐτοὶ οἱ λαλοῦντες, ἀλλὰ τὸ πνεῦμα »
τοῦ Θεοῦ καὶ πατρός. ὃ ἐκπορεύεται μὲν ἐξ αὐτοῦ, ἔστι δὲ οὐκ ἀλλότριον »
τοῦ υἱοῦ κατὰ τὸν τῆς οὐσίας λόγον. »

Ἐκ τῶν ὑπομνημάτων τῆς Κυρίλλου καθαιρέσεως ὑπὸ Ἰωάννου.

» Ἀκοινωνήτους τοὺς περὶ Κύριλλον πεποιήκαμεν, ἕως ἂν εἰς αἴσθησιν
» τῶν οἰκείων ἐλθόντες τραυμάτων, καὶ μεταμεληθῶσι γνησίως, καὶ τὰ αἱρε-
» τικὰ Κυρίλλου κεφάλαια, τὰ τῇ Ἀπολιναρίου, καὶ Ἀρείου, καὶ Εὐνομίου,
» δυσσεβείᾳ συμβαίνοντα ἀναθεματίσαντες, τὴν τῶν ἁγίων πατέρων τῶν ἐν
» Νικαίᾳ συναθροισθέντων, ἀνακτήσωνται πίστιν.

Ἐκ τῆς Θεοδωρήτου ἐπιστολῆς, ἧς ἡ ἀρχή.

» Λίαν ἤλγησα τοῖς ἀναθεματισμοῖς ἐντυχὼν οὓς ἀπέστειλας, ἀνατρέ-
» ψαι τούτους ἐγγράφως ἡμῖν κελεύσας, καὶ τὴν αἱρετικὴν αὐτῶν ἔννοιαν, γυμ-
» νὴν ἅπασι καταστῆσαι.

Ἐκ τῆς Θεοδωρήτου, πρὸς τὸν Ἀντιοχείας ἐπιστολῆς.

» Μετὰ τὰς διαλλαγάς, ὁ πάντα σοφῶς πρυτανεύων Θεός, καὶ τῆς ἡ-
» μετέρας προμυθούμενος ὁμονοίας, καὶ τῆς τῶν λαῶν ἡδόμενος σωτηρίας,
» συναθροισθῆναι ἡμᾶς κατὰ ταυτὸν παρεσκεύασε, καὶ συμφώνους ἀλλήλοις
» τὰς πάντων ἔδειξε γνώμας. ἐν κοινῷ γὰρ ἀναγνόντες τὰ αἰγύπτια
» γράμματα, καὶ ἐξετάσαντες αὐτῶν ἀκριβῶς τὴν διάνοιαν, εὕρομεν σύμ-
» φωνα τοῖς εἰρημένοις, τὰ ἐκεῖθεν ἐπεσταλμένα. εἶτα μετὰ βραχέα φησί.
» Τὰ δὲ νῦν ἀπεσταλμένα τῇ εὐαγγελικῇ εὐγενείᾳ καλλωπίζεται. Θεὸς
» γὰρ τέλειος καὶ ἄνθρωπος τέλειος, ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐν αὐ-
» τοῖς ἀναγορεύεται. καὶ καταλέξας ἕκαστα ἐπάγει, καὶ περὶ τῶν νυνὶ
Σημ. » προκειμένων, λέγων. καὶ τὸ πνεῦμα δὲ τὸ ἅγιον, οὐκ ἐξ υἱοῦ τὴν ὕ-
» παρξιν ἔχον, ἀλλ᾽ ἐκ τοῦ πατρὸς ἐκπορευόμενον. Ταύτην τὴν ὀρθότητα
» ἐν τοῖς γράμμασι θεασάμενοι, ὑμνήσομεν τὸν τὰς ψελλιζούσας γλώσ-
» σας ἰατρεύσαντα, καὶ τὸν ἀπηχῆ φθόγγον εἰς ἡδεῖαν ἁρμονίαν μεταποι-
» ήσαντα.

Τμῆμα

Τμῆμα δεύτερον. ἐν ᾧ ἐξέτασις τῶν τεσσάρων κινητικῶν Αὐγουστίνου. καὶ πρῶτον τοῦ δευτέρου. καὶ δείκνυται ὅτι ἐν τῇ ἐξηγήσει τῶν ῥητῶν ἐκείνων τῆς γραφῆς, οὐ δεῖ Αὐγουστίνῳ πείθεσθαι, εἰ διαφωνοίη καθάπαξ τοῖς ἡμετέροις διδασκάλοις.

ΚΕΦΑΛΑΙΟΝ η΄.

Τὸ μὲν δὴ πρῶτον Αὐγουστίνου κινητικόν, ὕστερον ἐξετάσομεν. ἐπειδὰν Ἱλάριον καὶ Ἀμβρόσιον προχειρισάμενοι σὺν ἐκείνοις δέ, καὶ τοὺς μετὰ τὸν Αὐγουστῖνον πατέρας, μηδὲν δυναμένους προσίστασθαι τῇ κοινῇ πίστει, καὶ τοῖς Ἀσιανοῖς πατράσι δεικνύωμεν, δι' ὧν λέγουσι, συνισταμένους μὲν οὖν καθάπερ εἰκὸς ἦν. οὕτω καὶ Αὐγουστῖνος δήπου συνέσται, καὶ τῆς αὐτῆς ἀπολαύσεται παρ' ἡμῶν εὐλαβείας. οὐ γὰρ δὴ ἔχοντες αὐτῷ ποτὲ τὴν αἰτίαν ἐπιγράψομεν τῆς Λατίνων καινοτομίας. οὐ δὲ ἀφήσομεν τι περὶ ἄνδρα ἄξιον, καὶ σοφόν, ὑπὲρ ἄρρητον ἀμείνων. Ἐπεὶ δὲ καὶ ὑπὸ τῶν τῆς γραφῆς ἐκινήθη ῥητῶν, ἃ πρὸς τὴν τοιαύτην γνώμην ἐξ ἀνάγκης φέρειν ἐνόμισεν, αὐτῷ συνηγόρῳ χρησάμενοι, ἐκεῖνον μὲν ἔξω θήσομεν αἰτίας οὕτω κεκινημένον· ἡμῖν δὲ οὐ πάνυ συμφέρειν ἐκείνῳ πείθεσθαι δείξομεν. Αὐτὸς γὰρ πρὸς Ἱερώνυμον γράφων, οὕτω φησί. » μόναις ταῖς κανονικαῖς λεγομέναις τῶν » γραφῶν βίβλοις, ταύτην ἀποδιδόναι μεμάθηκα τὴν τιμήν, ὥστε μηδένα » πλανηθῆναι τῶν ἐκείνας συγγραψαμένων βεβαίως πιστεύειν· τοὺς δ' ἄλ- » λους οὕτως ἀναγινώσκω, ὥστε κἂν ὁποσῃοῦν ἁγιοσύνῃ, ἢ διδασκαλίᾳ » διήνεγκαν, μὴ διὰ τοῦτο ἀληθὲς νομίζειν, ὅτι οὕτως ἐκεῖνοι ἔγραψαν, ἢ » ἐνόμισαν. Ἀλλὰ μὴν καὶ περὶ τῶν ἰδίων συγγραμμάτων ἐξ αἰτιώμενος

Αὐγουστ.

ἑαυτὸν πανταχοῦ, τὴν μὲν περὶ αὐτῶν ψῆφον, τοῖς ἐντυγχάνειν μέλλουσιν ἐπιτρέπει· καὶ συμβουλεύει μὲν ἑπομένειν, οἷς αὐτὸς ἀξιοῖ, καὶ ταῦτα πράττειν, ἂν τῷ κανόνι τῆς ἀληθείας ἐφαρμόττοντα φαίνηται. ἂν δὲ δοκῶσι διαφωνεῖν, μήτε προσίεσθαι ταῦτα, καὶ συγγνώμην ἔχειν αὐτῷ, ὡς οὐ βουληθέντι τἀληθῆ διαστρέφειν, ἀλλ' οὕτως εἰκάσαι δεδυνημένῳ. Ἀλλὰ ταῦτα μὲν σώφρονος εὐλαβείας ὄντα τὰ ῥήματα (φαίη τις ἂν) μηδὲν ἡμῖν πρόφασιν γίνεσθαι τῆς πρὸς ἐκεῖνον ἀνευλαβείας, ἢ καὶ πᾶσι διδασκάλοις ἐξέστω διαπιστεῖν. ὧν οἱ μὲν, καὶ παραιτοῦνται παραπλησίως ἐκείνῳ, τοῖς δὲ τοιαῦτα δήπου φρονεῖν ἐπῆν περὶ ὧν ἔλεγον. εἰ καὶ μὴ οὑτωσὶ φανερῶς παρῃτοῦντο. οἷον, οὐκ εἰ περίψημα καὶ ἁμαρτωλὸν ἑαυτὸν ὁ Παῦλος καλεῖ, καὶ ἡμεῖς αὐτὸν ἐν τῷ τῶν ἁμαρτωλῶν χορῷ τάξομεν. ἃ δὲ περὶ τῶν πρὸ αὐτοῦ διδασκάλων ἀξιῶν φαίνεται, καὶ λίαν ὀρθῶς· ποῦ δίκαιον μὴ καὶ ἡμᾶς ταῦτα, περὶ ὧν αὐτὸς φησὶν ἀξιοῦν, ἀλλὰ πλέον εὐλαβείας νέμειν αὐτῷ, ἢ τοῖς ἄλλοις αὐτὸς, εὐλόγως ἀπέδωκε· τοιοῦτον γὰρ ἂν βουληθείη ζηλωτὰς ἡμᾶς τῶν ἐκείνῳ δοκούντων γίνεσθαι. καὶ ἅπερ ἑαυτῷ συμφέρειν ἐκεῖνος ἠπίστατο, ταῦτα καὶ ἡμᾶς, ὡς ἡμῖν αὐτοῖς λυσιτελοῦντα αἱρεῖσθαι. οὐ γὰρ ὡς ἑαυτῷ πάνυ θαρρῶν, τῇ βασάνῳ τῆς ἀληθείας ᾤετο δεῖν τὰ τῶν ἄλλων διδασκάλων προσάγειν. οὐδὲ ἐκ τῆς πρὸς ἐκείνους ἀνευλαβείας, ἐγχωρεῖν τινὰ καὶ τῆς ἀκριβείας διαμαρτεῖν ὑπελάμβανεν. ἀλλ' εἰ μὴ τοιαύτην τινὰ διαφορὰν ἐν ταῖς γραφαῖς τοῦ πνεύματος, καὶ τοῖς ἄλλοις διδασκάλοις τιθείη, ἀδικήσειν τε τὴν ἀλήθειαν, καὶ πάντας ἄνω καὶ κάτω ποιήσειν ἐνόμισε. καὶ ἢ τὴν διδασκαλίαν τοῦ πνεύματος ἀτιμάσειν, ταῖς ἀνθρωπίναις πλάναις συγκινδυνεύουσαν. ἢ τὴν ἐλπιζομένην μακαριότητα κενὴν ἀποδείξειν, τῆς ἀνθρωπίνης γνώσεως οὕτω καθάπαξ ἐνταῦθα τελειοῦσθαι πιστευομένης, ὡς πάντα ἀπουδαῖον ἐν μηδενὶ πράγματι δύνασθαι τῷ σκότει τῆς φυσικῆς ἀγνοίας δουλεῦσαι. Αὐγουστίνῳ τοίνυν καὶ ἡμεῖς πεπεισμένοι, ὧν μὲν αἱ κανονικαὶ βίβλοι διδάσκουσιν, οὐδὲν ποτὲ δύνασθαι ψεῦδος εἶναι πιστεύομεν. Αὐγουστῖνον δὲ, καὶ τινὰ ἄλλον, δύνασθαι ἔν τινι τῆς ἀληθείας διαμαρτάνειν ἡγούμεθα. κἂν ὁποσηνοῦν ἁγιοσύνῃ, ἢ διδασκαλίᾳ, διήνεγκεν. Εἰ γοῦν

καὶ

καὶ τῶν ἄλλων διδασκάλων οὐδεὶς ἐκεῖνα τὰ μέρη τῶν ἱερῶν γραφῶν ἐτύγχανεν ἐξηγούμενος, ἐξ ὧν Αὐγουστῖνος καὶ ἐκ τοῦ υἱοῦ προσιέναι τὸ πνεῦμα συνάγει, τουτέστιν ὑφίστασθαι προσωπικῶς, ὡς οἱ Λατῖνοι τοῦτο νοοῦσι. κεῖται γὰρ νῦν Αὐγουστῖνος οὕτω φρονῶν. ἀλλὰ μόνος αὐτὸς ἦν ἡμῖν τῶν τοιούτων ἐξηγητὴς, ἐξῆν ἂν ἡμῖν αὐτῷ πειθομένοις, μετὰ πολλῆς ἐρεύνης τὰ τοιαῦτα σκοπεῖν· οὐκ ἀνεξετάστως αὐτῷ πίθεσθαι. καὶ ὡς ἅγιον μὲν καὶ διδάσκαλον ἀνυμνεῖν, μὴ διὰ τοῦτο δὲ ἀληθὲς νομίζειν ὅτι οὕτως ἐκεῖνος ἔγραψεν, ἢ ἐνόμισε· πάρεστι γὰρ ἡμῖν ὁ τῆς ἀληθείας κανών. πρὸς ὃν πιθεμένοις τὰς αὐτοῦ τε Αὐγουστίνου, καὶ ἑκάστου τῶν ἄλλων διδασκάλων γνώμας, αὐτοῖς τε μηδὲν ἀπᾷδον ποιεῖν, καὶ ἡμῖν ἐν ἀσφαλεστέρῳ διάγειν ἐξέσται. Οὗτος δ' ἐστὶ τὰ ἱερὰ Εὐαγγέλια, καὶ τὰ κοινῇ παρὰ πᾶσι χριστιανοῖς γεγυμνασμένα, καὶ κεκρατηκότα δόγματα μέχρι καὶ νῦν. χαλεπὸν δὲ οὐδὲν ἐπὶ πάντα τὰ τῶν διδασκάλων, τῷ κανόνι τούτῳ προσάγειν. οὔτε εἴ τις προσάγοι δήπου καλῶς, τοῦτον εἰκὸς ἐπὶ τῆς ἀληθείας, ἢ τοῦ γε πρέποντος ἁμαρτάνειν, παρὰ Θεῷ δικαστῇ. Νῦν δὲ οὐ μόνος Αὐγουστῖνος ἐξηγητὴς αὐτῶν ἡμῖν κάθηται, ἀλλὰ διδασκάλων ἑσμὸς ἡμῖν προκάθηται, τουτωνὶ τῶν ῥητῶν. ἂν οὖν μὴ δοκῇ καλῶς Αὐγουστῖνος, ἐν τούτῳ τῷ μέρει, τῆς τῶν γραφῶν στοχάσασθαι διανοίας, προσῇ δὲ καὶ ἡ παρὰ τῶν ἄλλων διδασκάλων συνηγορεία, τίς ἂν φαίη νοῦν ἔχων, τὴν ἀξίαν Αὐγουστῖνον δεῖ προτιμᾷν, ὧν τε ἔνδοθεν ἡμᾶς ἡ τῆς ἀληθείας πείθει συνείδησις; καὶ οἷς πλείους ἔχομεν συμψηφιζομένους; ἀλλ' ἡμεῖς καὶ τῆς ἡμετέρας γνώμης καταφρονοῦντες, τοῖς διδασκάλοις μόνοις προσέχειν ἡγούμεθα δεῖν. οὐκ ἂν δὲ οὐδὲ αὐτὸς Αὐγουστῖνος ἡμῖν ἐμέμψατο, εἰ πλείοσι διδασκάλοις πιθέμεθα ἀνθ' ἑνός. καὶ ἀντὶ τοῦ δόξαν ἰδίαν μετ' εὐγνωμοσύνης διαφυλάττοντος, τοῖς τῇ κοινῇ δόξῃ συνεπομένοις, καὶ τοῖς σαφέστερόν τε καὶ διωρισμένως εἰποῦσι μᾶλλον, ἢ τῷ καθόλου τε καὶ συγκεχυμένως, εἴτουν ἀδιορίστως εἰπόντι. καὶ διὰ τοῦτο δεομένῳ διαιτητής. ἤ τις ἂν αὐτὸν τοῖς ἄλλοις συνῳδὸν ἀποδείξειεν, εἴ τις μέλοι τοῦτο ποιεῖν. Οὕτω δὲ καὶ Λατίνοις ποιεῖν ἔπρεπε, καὶ μὴ τῆς κοινῆς πίστεως, Αὐγουστίνου χάριν, ὑπερορᾷν· χαριζομένοις ἅπερ οὐδ' ἂν αὐτὸς βούλοιτο· εἰ δὲ καὶ Λατι-

νοις εἶχε τινὰ συγγνώμην τὸ πάθος, ἀλλ' ἡμᾶς οὐδεὶς ἐξηπάτα τὸ λόγος, βουληθέντας ἄν ποτε κοινωνεῖν αὐτοῖς· ψήφου περὶ τῶν διδασκάλων οὕτω λίαν ἀνίσου. αὐτὴ δὲ γὰρ ἡ τῆς Ἐκκλησίας ἑνότης ἔμελλεν ἡμᾶς ἀναγκάσειν. αὕτη γὰρ, οὐκ ἐξ ὧν ἡμεῖς περὶ τῶν διδασκάλων ὀρθῶς τε καὶ ἀπλανῶς κρινόμεθα, ἀλλ' ἐξ ὧν Λατῖνοι φαύλως τε καὶ ῥιψοκινδύνως αὐτοῖς χρῶνται, φθείρεται. καὶ διὰ τοῦτο τῆς εἰρήνης προθυμεῖν μὲν καὶ ἡμᾶς χρὴ, ἀλλ' ὡς ἂν συμφέροι τοῖς διδασκάλοις, καὶ ἡμῖν, καὶ αὐτοῖς τοῖς τὴν εἰρήνην ἐξ ὧν ἐτόλμων σαλεύουσι. συμφέρει δὲ δήπου τῶν τὴν ἀρχὴν ἠδικηκότων, πρὸς τὸ τὰ δίκαια πράττειν μετατιθεμένων· οὐχ ἡμῶν ἐξαμαρτανόντων αὐτοῖς, καὶ ἐκεῖνος δή ποτε κατέβαλον τὸ διόρθωσιν καταλυόντων, καὶ πρὸς τὴν κοινὴν καὶ πρώτην ἐπανιόντων ὁμολογίαν. ἀλλ' οὐχ ἡμῶν δεχομένων τὰ ξένα ταῦτα καὶ φορτικὰ, καὶ πολλῆς βασάνου δεόμενα.

ΚΕΦΑΛΑΙΟΝ Θ.

Τίνα διάνοιαν ἔχουσι παρ' ἡμῖν διδάσκαλοι περὶ τῶν γραφικῶν ἐκείνων εἶχον ῥητῶν. καὶ ὅτι εἴπερ ἄλλην διάνοιαν εἶχεν Αὐγουστῖνος, ὡς ἔχουσι νῦν Λατῖνοι τοῦτον ἐξηγοῦνται, βελτίων ἐστὶν ἡ πάντων τῶν Ἄλλων.

Ἀλλὰ περὶ μὲν τούτων ὕστερον. νῦν δὲ τὰ τῶν ἡμετέρων διδασκάλων δεῖ σκέψασθαι, πότερον συμφώνως ἔχει τοῖς Αὐγουστίνου, ἢ μή. καὶ τί ποτε περὶ τῶν ῥητῶν ἐκείνων ἐπῆλθε, τούτοις πᾶσιν ὁμοῦ, καὶ χωρὶς ἑκάστῳ. Ὁ τοίνυν μακάριος Ἰωάννης ὁ Δαμασκηνὸς, ἐν τῷ εἰς τὴν θεό-

Δαμασ. „σωμον ταφὴν τοῦ Κυρίου λόγῳ φησὶ, τοῦτο ἡμῖν τὸ λατρευόμενον. πα-
„τὴρ υἱοῦ γεννήτωρ ἀγέννητος, οὐ γὰρ ἔκ τινος. υἱὸς τοῦ πατρὸς γέννημα,
„ὡς ἐξ αὐτοῦ γεγεννημένος· πνεῦμα ἅγιον τοῦ Θεοῦ καὶ πατρὸς, ὡς ἐξ αὐτοῦ
„φανερούμενον, καὶ τῇ κτίσει μεταδιδόμενον, ἀλλ' οὐκ ἐξ αὐτοῦ ἔχον τὴν ὕ-
Ὁ αὐτός. „παρξιν. καὶ πάλιν ὁ αὐτός. ἐκ τοῦ υἱοῦ δὲ τὸ πνεῦμα οὐ λέγομεν. πνεῦ-

μα δὲ υἱοῦ ὀνομάζομεν. ὁ δὲ θεῖος Βασίλειος, ἐν δεκάτῳ ὀγδόῳ τῶν »
πρὸς Ἀμφιλόχιον· πνεῦμα Χριστοῦ (φησὶ) λέγεται, ὡς ᾠκειωμένον κατὰ » Βασίλ.
φύσιν αὐτῷ. καὶ ὁ θεῖος Ἀναστάσιος ἐν τῷ περὶ τῶν ὀρθῶν δογμάτων λό- » Ἀναστάσ.
γῳ· τὸ πνεῦμα τὸ ἅγιον λέγεται, πνεῦμα Θεοῦ, καὶ πνεῦμα Χριστοῦ, καὶ » ὁ σιναΐ
πνεῦμα υἱοῦ, δεικνῦντος διὰ ὅλων τοῦ λόγου, τὴν φυσικὴν συγγένειαν τῆς »
θεότητος. καὶ πάλιν ὁ αὐτός· τοῖς μὲν ἀποστόλοις συνέστιν ἀεὶ μεθεκτῶς· » Ὁ αὐτὸς.
τῷ δὲ σωτῆρι Χριστῷ, καὶ Θεῷ ἡμῶν, ὡς ὁμοούσιον καὶ ὁμόθεον· ταύτῃ τοι »
λέγεται πνεῦμα Θεοῦ, καὶ πνεῦμα Χριστοῦ· καὶ ἡ ·α· Σύνοδος. καὶ τοῦ πνεύ- » Σύνοδ. α.
ματος (φησὶ) τοῦ ἐκπορευομένου ἐξ αὐτοῦ τοῦ πατρὸς, ἰδίου δὲ ὄντος τοῦ υἱοῦ, »
καθὰ φησὶν ὁ ἀπόστολος, εἴ τις πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐ- » Ρωμαί. η.
τοῦ. τὸ δὲ ἴδιον, ὡς ὁμοούσιον, ὡς οἰκεῖον, ὡς οὐκ ἀλλότριον, κατὰ τὸν τῆς »
οὐσίας λόγον, ὅ, τε Κύριλλος, καὶ πάντες ἐδέξαντο. οὐκοῦν αὐτοῦ καὶ τὸ
πνεῦμα, εἶναι υἱοῦ. καὶ ὅλως οὐδεὶς τῶν παρ' ἡμῖν διδασκάλων, ἐκ τοῦ τὸ
πνεῦμα τοῦ υἱοῦ λέγεσθαι, συνήγαγέ ποτε τὸν υἱὸν αἴτιον εἶναι τοῦ πνεύ-
ματος. τουτέστι τὸ πνεῦμα ἐκ τοῦ υἱοῦ ὑφίστασθαι. ἢ τὸ ἀποστολικὸν ῥητὸν
ἐξηγούμενος, ἢ πρός τινα χρείαν τοῦτο παραλαμβάνων. Τί δὲ καὶ περὶ τοῦ
ἐμφυσήματος ἐκείνου λέγουσιν; ὁ μὲν μακάριος Ἰωάννης ὁ χρυσοῦς τὸ στό-
μα, οὕτω λέγει, τὴν εὐαγγελικὴν ἐκείνην περικοπὴν ἐξηγούμενος. Τινὲς » Χρυσόστ.
μὲν φασὶν ὅτι οὐ τὸ πνεῦμα ἔδωκεν, ἀλλ' ἐπιτηδείους αὐτοὺς πρὸς τὴν »
ὑποδοχὴν διὰ τοῦ ἐμφυσήματος κατεσκεύασεν. εἰ γὰρ Ἀγγέλους ἰ- »
δὼν ὁ Δανιὴλ ἐξέστη. τί οὐκ ἂν ἔπαθον οὗτοι, τὴν ἀπόρρητον χάριν δεχό- »
μενοι, εἰ μὴ πρότερον μαθητὰς αὐτοὺς κατέστησεν; οὐκ ἂν δὲ τὶς ἁμάρτοι, »
καὶ ποτὲ εἰληφέναι αὐτοὺς ἐξουσίαν τινὰ λέγων πνευματικὴν, καὶ χάριν. οὐχ »
ὥστε νεκροὺς ἐγείρειν, καὶ δυνάμεις ποιεῖν· ἀλλ' ὥστε ἁμαρτήματα ἀφιέναι, »
διάφορα τὰ χαρίσματα τοῦ πνεύματος. διὸ καὶ ἐπήγαγεν, ἄν τινων ἀφῆ- » Ἰωάν. κ.
τε, ἀφίενται. δεικνὺς ποῖον εἶδος ἐνεργείας δίδωσιν. ἐκεῖ δὲ μετὰ τεσ- »
σαράκοντα ἡμέρας πάντων τῶν σημείων ἔλαβον τὴν χάριν καὶ ἐνέργειαν, »
διὸ φησὶ, λήψεσθε δύναμιν ἐπελθόντος τοῦ ἁγίου πνεύματος ἐφ' ὑμᾶς, καὶ » Πράξεις. α.
ἔσεσθέ μοι μάρτυρες. μάρτυρες δὲ τῶν σημείων ἐγίνοντο. τοῦτο δὲ γίνε- »
ται, ἵνα μάθῃς, ὅτι πατρὸς, καὶ υἱοῦ, καὶ ἁγίου πνεύματος, ἐξουσία μία. »

„ ἃ γὰρ δοκεῖ ἰδιάζοντα εἶναι τοῦ πατρὸς, ταῦτα καὶ τοῦ υἱοῦ εἶναι φαίνεται,
Κύριλ. „ καὶ τοῦ ἁγίου πνεύματος· καὶ Κύριλλος τοῦτο ἐξηγούμενος. ἐρεῖ δέ τις ἴ-
„ σως φησὶν, ἐν ποίῳ καὶ τότε τὴν τοῦ πνεύματος χάριν οἱ τοῦ Σωτῆρος ἐκο-
„ μίσαντο μαθηταὶ, ὅτε αὐτοῖς ἐπιστὰς μετὰ τὴν ἀνάστασιν εἶπε, λάβετε
„ πνεῦμα ἅγιον, ἢ ἐν τῇ πεντηκοστῇ; καὶ τοῦτο τὸ ἐρώτημα λύων, ἐπάγει·
„ ἐπηγγείλατο μὲν γὰρ καταπέμψειν ἐξ οὐρανοῦ τὸν παράκλητον, ὅταν γέ-
„ νηται παρὰ τῷ Θεῷ καὶ πατρὶ, ὅτε δὴ καὶ πέπραχεν ἀποδημήσας πρὸς τὸν
„ πατέρα. ἀλλ᾽ ἔδει τοῦ πνεύματος χορηγὸν, καὶ τῷ πατρὶ συνδοτῆρα φαί-
„ νεσθαι τὸν υἱόν· καὶ ὅτι αὐτός ἐστιν ὁ ἐκ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγὼν
„ τὰ πάντα. καὶ τὸν ἄνθρωπον τῇ τοῦ ἰδίου πνεύματος καταφαιδρύνας χάρι-
Γένεσ. β. „ τι. ἐνεφύσησε γὰρ εἰς αὐτὸν πνοὴν ζωῆς, καθὰ γέγραπται. ἐπειδὴ δὲ
„ συνέβη πεσεῖν ἐκ παρακοῆς εἰς θάνατον, καὶ τῆς ἀρχαίας ἐκείνης διολι-
„ σθῆσαι τιμῆς τὸν ἄνθρωπον, ἀνέκτισεν αὐτὸν πάλιν ὁ πατὴρ καὶ Θεὸς, καὶ εἰς
„ καινότητα ζωῆς ἀνεκαίνισε δι᾽ υἱοῦ. ὡς δι᾽ ἐμφυσήματος ἐναργοῦς, τὸ πνεῦ-
„ μα χαρίζεται· καὶ εἰς εἰκόνα θεοειδῆ κατοικίζει τὸ ἴδιον πνεῦμα Χριστός.
„ καὶ τις ἀρχαῖος Διδάσκαλος λέγει ἐν ταῖς εἰς τὸν μακάριον Ἰωάννην
Ἄλλος „ ἐξηγήσεσιν, ὅτι πνεῦμα δὲ, δηλονότι τὴν πνευματικὴν χάριν καλεῖ, εἰ-
„ πὼν λάβετε πνεῦμα ἅγιον, διὰ τὸ πνευματικοὺς ἀπεργάζεσθαι τοὺς ἀ-
Ἰωάν. ϛ. „ κούοντας. ὡς αὐτὸς προλαβὼν εἶπε. τὰ ῥήματα ἃ λελάληκα ὑμῖν,
„ πνεῦμα ἐστίν. εἰ οὖν τὰ ῥήματα ἃ αὐτὸς ἐλάλησε πνεῦμα καλεῖ, του-
„ τέστι πνευματικά. πῶς οὐχὶ μᾶλλον τὸ τηλικοῦτο χάρισμα, πνεῦμα ὁμω-
Κύριλ. „ νύμως προσηγόρευσε; καὶ πάλιν ὁ Κύριλλος ἐν τοῖς θησαυροῖς, ὥσπερ ὁ
„ μακάριος, φησὶ, Μωϋσῆς ἐμπεφυσῆσθαι παρὰ τοῦ Θεοῦ τῷ ἀνθρώπῳ δι-
„ ισχυρίσατο, τοῦτο Χριστὸς ἀνανεῶν ἐν ἡμῖν, μετὰ τὴν ἐκ νεκρῶν ἀναβίω-
„ σιν, ἐνεφύσησε τοῖς ἑαυτοῦ μαθηταῖς λέγων, λάβετε πνεῦμα ἅγιον, ἵνα
„ πάλιν ἀναμορφωθέντες εἰς τὴν ἐξ ἀρχῆς εἰκόνα, σύμμορφοι φαινώμεθα
„ τῷ πεποιηκότι διὰ τῆς τοῦ πνεύματος μετοχῆς. καὶ ὁ μέγας Βασίλειος
Βασίλ. „ ἐν ιϛ. τῶν πρὸς Ἀμφιλόχιον. ἀνακαινίζων γὰρ τὸν ἄνθρωπον ὁ Κύριος,
„ καὶ ἣν ἀπώλεσε χάριν ἐκ τοῦ ἐμφυσήματος τοῦ Θεοῦ, ταύτην ἀποδιδοὺς,
Ἰωάν. κ. „ ἐμφυσήσας εἰς τὸ πρόσωπον τῶν μαθητῶν, τί φησί; λάβετε πνεῦμα ἅ-

γιον,

γιον, ἂν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται. ἄν τινων κρατῆτε, κεκρά- ,,
τηνται. καὶ ὁ μέγας ἐν θεολογίᾳ Γρηγόριος· δηλοῖ δὲ τοῦτο φησὶν, ἡ ,, Γρηγ. θεο·
πρώτη τῶν νόσων, καὶ ἡ τῶν πνευμάτων κάθαρσις, οὐκ ἄνευ πνεύματος ,,
δηλαδὴ γενομένη. καὶ τὸ μετὰ τὴν οἰκονομίαν ἐμφύσημα, σαφῶς ὂν ἔμ- ,,
πνευσις θειοτέρα. καὶ ὁ νῦν μερισμὸς τῶν πυρίνων γλωσσῶν. ἀλλὰ τὸ ,,
μὲν πρῶτον, ἀμυδρῶς. τὸ δὲ δεύτερον, ἐκτυπώτερον. τὸ δὲ νῦν, τελεώ- ,,
τερον. οὐκ ἔτι ἐνεργείᾳ παρὸν ὡς πρότερον. οὐσιωδῶς δὲ (ὡς ἂν εἴποι ,,
τις) συγγινόμενον καὶ συμπολιτευόμενον. Τί δὲ καὶ περὶ τῆς δυνάμεως ,,
λέγουσιν; ὅτι δύναμις ἣν ἡ τῆς θεραπείας ἐνέργεια, ἣν εἵλκυσεν ἐκείνη
τῇ πίστει. ἠρώτα γὰρ φησὶν, ἵνα ἑαυτὴν γνωρίσῃ ἡ γυνὴ, καὶ δημοσιευθῇ
ἡ δύναμις, ἡ λαθραίως ἐνεργήσασα. καὶ ὅλως δυνάμεις ἐν τῷ Χριστῷ
καὶ ἐκ τοῦ Χριστοῦ προϊούσας, τὰς τῶν θαυμάτων ἐνεργείας οἱ παρ' ἡμῖν
νοοῦσι διδάσκαλοι· ὡς φανερούσας τὴν ἐν τῷ Χριστῷ τῆς θεότητος δυνά-
μιν· ἧς ἴδιον ἦν, τὸ μετ' ἐξουσίας θαυματουργεῖν. καὶ αὐτὴν δὲ τὴν θαυ-
ματουργικὴν δύναμιν ἐν Χριστῷ, ἐξέρχεσθαι ἐξ αὐτοῦ λέγουσιν καὶ ἰᾶσθαι
πάντας. οὐχ ὡς τοπικῶς, ἢ σωματικῶς, ἀναχωροῦσαν αὐτοῦ. ἀλλ' ὡς ἐνερ-
γουμένην, κἂν τῷ ἐνεργεῖσθαι γνωριζομένην τοῖς ἐκ ταύτης ὠφεληθεῖσιν.
ὥσπερ αἱ ἐπιστῆμαι, φασὶ, κἂν τῷ διδασκάλῳ εἰσὶ, καὶ τοῖς μανθάνουσι
παραδίδονται. Οὕτω μὲν ἡ τῶν παρ' ἡμῖν διδασκάλων ἱερὰ σύμπασα,
τὰς χρήσεις ἐκείνας ἐδέξατο· καὶ ᾄδουσι τὸν ὄρθιον νόμον ὡς ἀληθῶς (ὡς
ἄν τις εἰκάσειεν, ὁπωσοῦν μετέχων Ἱερᾶς Μουσικῆς·) οὐ σκολιόν τινα καὶ
ἐξεστραμμένον. ταῦτα μὲν γὰρ πάντα, καὶ προόδους τοῦ πνεύματος τινὰς
λέγουσιν ἐκ τοῦ Χριστοῦ, ἀλλ' ἡμῶν ἁγιαστικὰς, οὐκ αὐτοῦ τοῦ πνεύματος
ὑποστατικάς. καὶ σημεῖα ταῦτα ποιοῦντες, τοῦ τὸ πνεῦμα Θεὸν εἶναι, ὁ-
μολογουμένης τῆς τοῦ υἱοῦ θεότητος. καὶ τοῦ τὸν Χριστὸν αὖθις ἀληθινὸν εἶναι
Θεὸν, πρός γε τοὺς διδόντας εἶναι τὸ πνεῦμα Θεόν. καὶ τὰς μὲν προό-
δους ἐκείνας τοῦ πνεύματος, χρονικάς τε εἶναι φασὶ, καὶ μεμερισμένως γε-
νέσθαι, καὶ σημείοις σωματικοῖς οἰκονομηθῆναι πρὸς ἔνδειξιν. τὸ δὲ πνεῦ-
μα τὸ ἅγιον, οὗ τινος ἰδίως ἐστὶν ὁ ἁγιασμὸς, καίτοι τῆς ὅλης θείας φύσεως
ὄν, καὶ ἐν τῷ υἱῷ συμφυῶς εἶναι, καὶ ἐξ αὐτοῦ κινεῖσθαι πρὸς τὴν ἡμε-

τέραν

τέραν ἀνάπλασιν· ἅμα δὲ καὶ ἐξ αὐτοῦ, ὡς τὴν αὐτὴν καὶ μίαν ἐκείνῳ φύσιν τε καὶ βούλησιν ἔχοντος· τὸ δὲ ταῦτα σημεῖα ποιεῖσθαι, τοῦ καὶ ἀϊδίως ἐκ τοῦ υἱοῦ τὸ πνεῦμα ὑφίστασθαι, καὶ εἶναι τοῦτον καρπὸν τῆς τοῦ υἱοῦ ὑποστάσεως. ὥσπερ ἄρα τῆς πατρικῆς ὑποστάσεως, καρπός ἐστιν (ὡς οὕτως εἰπεῖν) ὅ, τε υἱὸς, καὶ τὸ πνεῦμα, ἐξ αὐτῆς προσωπικῶς ὑφιστάμενα, ἡμεῖς μὲν οὐκ ἄν ποτε μαρτυρήσαιμεν Αὐγουστίνῳ, ἀλλ' ἢ μόνον ὅτι τὸ σωματικὸν ἐκεῖνο ἐμφύσημα, σημεῖον εἶναι φησὶ, τοῦ καὶ ἀοράτως ἐκ τοῦ υἱοῦ προϊέναι τὸ ἀσώματον πνεῦμα. καὶ ὅτι τὸ πνεῦμα υἱοῦ λέγεσθαι, ἔνδειξιν εἶναι λέγει, τοῦ καὶ ἐκ τοῦ υἱοῦ προϊέναι αὐτὸ· καθάπερ φησὶν ὁ Δαμασκηνὸς. Δαμασ. „ὅτι τὸ πνεῦμα υἱοῦ λέγεται, ὡς δι' αὐτοῦ φανερούμενον, καὶ τῇ „κτίσει μεταδιδόμενον. Δῆλον δὲ, ὅτι καὶ Λατῖνοι χρονικάς τινας προόδους τῶν θείων προσώπων λέγουσιν εἶναι. ἃς μάλιστα μὲν αὐτοὶ, καλοῦσιν ἀποστολάς· ἡμεῖς δὲ, χορηγίας, καὶ φανερώσεις, καὶ δόσεις, καὶ μιᾷ λέξει, τῇ, προτζέδερε· τό, τε ἀϊδίως προϊέναι, εἴτουν ὑφίστασθαι· καὶ τὸ χρονικῶς προϊέναι, τουτέστι φανεροῦσθαι, κατασημαίνουσιν, ὡς ἐν τοῖς ἔμπροσθεν ἔσται δῆλον. ἂν δὲ καὶ τοῦτο Λατῖνοι βιάζωνται, καὶ εἰς ταύτην τὴν ἔννοιαν, ἣν αὐτοὶ νῦν ἔχουσιν, ἐκλαβέσθαι λέγωσι τὸν ἱερὸν Αὐγουστῖνον τὰς προόδους ἐκείνας τοῦ πνεύματος, καὶ τὰ τῆς γραφῆς ἐκεῖνα ῥητά, ἀλλ' ἡμεῖς μᾶλλον τοῖς ἄλλοις διδασκάλοις πᾶσιν ὁμοῦ, ἢ Αὐγουστίνῳ μόνῳ, προσέξομεν.

ΚΕΦΑΛΑΙΟΝ ι.

Ὅτι οὐκ ἔστιν ἀδύνατον διδάσκαλόν τινα, περὶ ὁποιοῦν ζήτημα τῆς πίστεως πλανηθῆναι. καὶ ἀποδείξεις τούτου, ἐκ πολλῶν παραδειγμάτων. καὶ λύσεις τῶν λόγων ὧν τινὲς εἰς τοὐναντίον λέγουσιν.

Ἐπεὶ δὲ εἰσὶ τινὲς, οἳ λέγουσιν ἀδύνατον εἶναι ἀγνοῆσαι τι τὸν Αὐγουστῖνον, ἵνα μὴ καὶ καθ' ἑκάστου τῶν διδασκάλων ἐξῇ τοῦτο λέγειν,

καὶ κατὰ πάσης τῆς Ἐκκλησίας κοινῇ. καὶ οἴονται ὥσπερ μέγα τι τοῦτο προσφέρειν ἡμῖν, τοῖς τὴν κοινὴν καὶ πρώτην ὁμολογίαν διαφυλάττουσι. καὶ πρὸς τούτοις, ἐγκαλοῦσιν ἡμῖν, ὡς τὴν Ἐκκλησίαν πᾶσαν λυποῦσι, καὶ ἀτιμάζουσι, καὶ τὸν χριστιανισμὸν ἀναιροῦσιν, ἂν φῶμεν τινὰ διαφορὰν πρὸς ἀλλήλους ἐγκενέσθαι τοῖς διδασκάλοις ἐν τοῖς τῆς πίστεως δόγμασι. Δεῖ καὶ ἡμᾶς τῆς προκειμένης ὑποθέσεως μικρὸν ἀποστάντας, βοηθῆσαι κἀνταῦθα τῇ ἀληθείᾳ, καὶ τοῖς σοφίσμασι τούτοις ἀντιστῆναι καλῶς, πολύ τι δυναμένοις πρὸς ἐξαπάτην τῶν ἁπλουστέρων. Δεῖ τοίνυν εἰδέναι, ὡς οὐ πάντα ἅττα ἂν εἴποι ἅγιος ἢ διδάσκαλος ὤν, ἀληθῆ εἶναι ἀνάγκη· οὔτε ἀδύνατον ἐστὶ καὶ ὁντινοῦν τῶν ἱερῶν διδασκάλων, ἔν τινι τῆς ἀκριβείας διαμαρτεῖν. εἰκὸς μὲν γὰρ ἐστὶ τινὰς εἶναι, τοὺς ἐν μηδενὶ τῆς ἀληθείας διαμαρτόντας· ἅτ' εὐλαβέστερον περὶ τῶν τῆς πίστεως διειλεγμένους πραγμάτων. καὶ οὐ πάνυ τῇ σφῶν αὐτῶν εὐφυΐᾳ πιστεύσαντας. ὅσπερ ἡμεῖς περὶ τοῦ Δαμασκηνοῦ λέγειν ἔχομεν· ὃς τὰ παρὰ τῶν ἀρχαίων διδασκάλων μετρίως τε καὶ συγκεκροτημένως ἀποπεφασμένα, καὶ οὐδὲν διέξεισιν οἴκοθεν. τοῦτο δὲ, οὐ πᾶσι συνέβη. ἔνιοι δὲ τῷ τῆς εὐσεβείας ζήλῳ, καὶ ταῖς ἀπὸ τῆς σοφίας ἐλπίσι κεκινημένοι, οὐδὲν σχεδὸν τῶν τοῖς ἄλλοις ἀθίκτων ἀνεπιχείρητον εἴασαν. ὥσπερ Αὐγουστῖνος ὁ ἱερὸς, τὸν τῆς προόδου τοῦ πνεύματος τρόπον (ἄρρητόν τε καὶ ἀκατανόητον, αὐτόν τε καὶ τὴν πρὸς τὴν γέννησιν διαφορὰν αὐτοῦ, κοινῇ πάντες οἱ διδάσκαλοι λέγουσιν) ἔκ τινος κλιστῆς εἰκασίας ἀνερευνῆσαι προήχθη. καὶ ὑπ' ὄψιν ἡμῖν θεῖναι σχεδὸν, ὅσην εἰς ἐκείνην ἧκε τὴν ὁμοιότητα. ἄλλοι δὲ τῶν καιρῶν καὶ τοῖς ἐφ' ἅπασι χρείαις γενόμενοι μᾶλλον, ἢ τῆς ἀκριβείας, προῆκαν τι μὴ δέον εἰπεῖν. οἱ δὲ καίτοι τῆς ἀληθείας οὐδὲν ἠφιέντες, ὅμως ἔκ τινος τῶν λόγων ἰδιότητος, τοῦτ' ἔδοξαν πάσχειν. ὁρῶμεν γὰρ ἄλλους ἄλλῃ τῶν διδασκάλων ἰδέᾳ χρησαμένους, καὶ τὸν τοῦ λέγειν τρόπον οὐ τὸν αὐτὸν ἐν ἅπασιν ἔχοντας. ἐκ τοιούτων οὖν αἰτιῶν, ἐνίοις τῶν διδασκάλων συμβέβηκεν, ἔν τισι δόγμασι τῆς κοινῆς ἀπενεχθεῖσι γνώμης· ἢ τοὐλάχιστον δόξαι τοῦτο παθεῖν. Ἢ τίς ἀγνοεῖ τὸν μακάριον Νύσσης, τὴν κοινὴν ἀποκατάστασιν πάντων, εἰς τὴν ἐλπιζομένην τοῦ Νύσσης· εὐ-

περὶ Γρηγορ

εὐδαιμονίαν, μετὰ χρόνων περιόδους μακράς, καὶ καθάρσεις προσφόρους τοῖς ἁμαρτήμασιν, ἕν τι τῶν ἀναγκαιοτάτων εἶναι νομίζοντα, καὶ διὰ τοῦτο πολλοῖς λόγοις βοηθοῦντα τῇ δόξῃ· πρᾶγμα εἰς Ὠριγένην ἐκεῖνον, μᾶλλον δὲ εἰς Πλάτωνα πρῶτον, ἀναφερόμενον, καὶ ὑπὸ τῶν κοινῶν τῆς Ἐκκλησίας συλλόγων, καλῶς ἀποδεδοκιμασμένον. οὐδὲ γὰρ ἔχει τις εἰπεῖν, ὡς αἱρετικῶν τινῶν εἰσὶ παρενθῆκαι ἐκεῖνα τὰ μέρη, τὴν ἀλήθειαν καὶ τὴν τοῦ διδασκάλου δόξαν βουληθέντων λυμήνασθαι. ἄλλα τε γὰρ πολλὰ τὴν ὑποψίαν ταύτην ἐλέγχει, καὶ Μάξιμος ὁ ἱερός. ὃς δὴ γνησίας εἶναι συνειδὼς τὰς φωνὰς ἐκείνας τοῦ διδασκάλου, ὑγιαινούσαις ἐξηγήσεσιν αὐτὰς θεραπεύσας, καὶ τὸ ἀπηχὲς καὶ παράλλακτον τοῦ δόγματος, εἰς τὴν εὐσεβῆ τῆς Ἐκκλησίας δόξαν εὐμηχάνως μετοχετεύσας. ἢ τί γ' ἂν ἐκώλυεν, ὡς νόθα τε καὶ παρέγγραπτα τῶν τοῦ διδασκάλου λόγων ταῦτα ἐκβαλλόντα, ἐκείνῳ τε συνηγορεῖν ὡς ἠδικημένῳ, καὶ αὐτὸν μηδένα πόνον ὑφίστασθαι; Διονύσιος δὲ ὁ μέγας τῆς Ἀλεξανδρείας ἐπίσκοπος, ὃς καὶ μαρτυρικοῖς ἐστέφθη στεφάνοις, καὶ σοφίας ἱκανώτατα εἶχεν, ὥστε καὶ πολλὰ ἐκδεδωκέναι βιβλία, οὐ μικρᾶς φροντίδος τοῖς ἐπὶ τῶν καιρῶν ἐκείνων γεγεννημένα. ἀλλ' ὅμως τῆς τῶν ἀνομοίων φλυαρίας, αὐτὸς αἰτίαν ἔσχεν ἡγήσασθαι. καὶ τούτου μάρτυς σαφὴς ὁ μέγας Βασίλειος. Μαξίμῳ γὰρ ἐπιστέλλων τῷ φιλοσόφῳ, τοιάδε περὶ Διονυσίου προστίθη-

Βασίλειος σι. »» Ἃ δὲ ἐπιζητεῖς τῶν Διονυσίου, ἦλθεν εἰς ἡμᾶς καὶ πάνυ πολλά. οὐ
περὶ Διονυ. »» πάρεστι γε μὴν τὰ βιβλία, διόπερ οὐκ ἀπεστείλαμεν. ἔχομεν δὲ γνώμης
»» οὕτως, οὐ πάντα θαυμάζομεν τοῦ ἀνδρός. ἔστι δ' ἃ καὶ παντελῶς διαγρά-
»» φομεν. σχεδὸν γὰρ ταυτησὶ τῆς νῦν περιθρυλλουμένης ἀσεβείας, τῆς κατὰ
»» τὸ Ἀνόμοιον λέγω, οὗτός ἐστιν, (ὅσα γε ἡμεῖς ἴσμεν) ὁ πρῶτος ἀνθρώποις
»» τὰ σπέρματα παρασχών. αἴτιον δ' οἶμαι, οὐ πονηρία γνώμης, ἀλλὰ τὸ
»» σφόδρα βούλεσθαι ἀντιτείνειν Σαβελλίῳ. καὶ μετ' ὀλίγα. τοιοῦτον τί καὶ
»» περὶ τὸν ἄνδρα τοῦτον γεγενημένον εὕρομεν. ἀντιβαίνων γὰρ σφοδρῶς τῇ
»» ἀσεβείᾳ τοῦ Λίβυος, ἔλαθεν ἑαυτὸν εἰς τὸ ἐναντίον κακὸν, ὑπὸ τῆς ἄγαν
»» φιλοτιμίας ὑπενεχθείς. ὥς γε τοσοῦτον ἐξαρκοῦν δεῖξαι, ὅτι οὐ ταὐτὸν τῷ
»» ὑποκειμένῳ πατὴρ καὶ υἱὸς, καὶ ταῦτα ἔχειν κατὰ τοῦ βλασφημοῦντος

τὰ νικητήρια. ὁ δὲ, ἵνα πάνυ ἐναργῶς καὶ ἐκ τοῦ περιόντος κατακρατῇ, οὐχ »
ἑτερότητα μόνον τῶν ὑποστάσεων τίθεται, ἀλλὰ καὶ οὐσίας διαφοράν, »
καὶ δυνάμεως ὕφεσιν, καὶ δόξης παραλλαγήν. ὥστε ἐκ τούτου συνέβη, »
κακοῦ μὲν αὐτὸν κακὸν δυνάμει διαμεῖψαι. τῆς δὲ ὀρθότητος τοῦ λόγου »
διαμαρτεῖν. Ἀλλὰ καὶ Γρηγορίῳ τῷ θαυματουργῷ τοιοῦτόν τι συμβέ-
βηκεν, ὡς αὐτὸς ὁ θεῖος Βασίλειος καὶ περὶ τούτου πρὸς τὸν ἀδελφὸν δεικ-
νύουσιν ἐπιστέλλων. φησὶ γὰρ περὶ αὐτοῦ, ἔπειτα μέντοι τὸν Ἕλληνα πείθων, » Βασίλειος
οὐχ ἡγεῖτο χρῆναι ἀκριβολογεῖσθαι περὶ τὰ ῥήματα. ἀλλ' ἔστιν ὅπη καὶ » περὶ Γρηγ.
συνδιδόναι τῷ ἔθει τοῦ ἐναγομένου, ὡς ἂν μὴ ἀντιτείνοι πρὸς τὰ καίρια. » τοῦ θαυμα.
διὸ δὴ πολλὰς ἂν εὕροις ἐκεῖ φωνάς, τὰς νῦν τοῖς αἱρετικοῖς, μεγίστην »
παρεχομένας ἰσχύν. καὶ τὸ κτίσμα, καὶ τὸ ποίημα, καὶ εἴ τι τοιοῦτον. »
ἐπεὶ δὲ ὁ Διονύσιος ὁ πρὸ μικροῦ μνημονευθεὶς τὸ τῶν Πεπουζηνῶν ἐ-
δέξατο βάπτισμα, ἐθαύμασα φησὶν ὁ μέγας Βασίλειος, πῶς κανονικὸν ὄν- » Ὁ αὐτός.
τα τὸν Διονύσιον, τοῦτο παρῆλθεν. ἐκεῖνο γὰρ οἱ παλαιοὶ ἔκριναν βάπ- »
τισμα δέχεσθαι, τὸ μηδὲν τῆς πίστεως παρεκβαῖνον. καὶ προστίθησιν,
ὥστε εἰ καὶ τὸν μέγαν Διονύσιον τοῦτο παρῆλθεν, ἀλλ' ἡμῖν γε φυλακτέον » Ὁ αὐτός.
τὴν μίμησιν τοῦ σφάλματος. τὸ γὰρ ἄτοπον αὐτόθεν πρόδηλον, καὶ πᾶσιν »
ἐναργές, οἷς τε καὶ μικρὸν τοῦ λογίζεσθαι μέτεστι. Δαμάσου δὲ περὶ
τοῦ Ῥώμης ἀρχιερέως, τοιαῦτα φησὶ Κλυδωνίῳ γράφων ὁ μέγας Γρηγό- » Γρηγ. θεο.
ριος. τί θαυμαστὸν εἰ καὶ τοὺς οὐ Ἰταλίου λόγους, ἡμεῖς μὲν, ἐπὶ τὸ εὐσε- » περὶ Δα-
βέστερον ἐδεξάμεθα, οὕτω τοῦ θέλειν πείθοντος. ἄλλοι δὲ, πρὸς τὸν τῶν » μάσου
γεγραμμένων νοῦν ἀγροιαίνουσιν. ὃ μοι δοκεῖ καὶ Δάμασος αὐτὸς μεταδι- » πάπα.
δαχθεὶς, καὶ τὸ γραμματεῖον ἀνατετραφέναι τῆς πίστεως σὺν ἀναθεμα- »
τισμῷ, καὶ πρὸς τὴν ἀπάτην αὐτῶν δυσχερᾶναι, ἣν ἔπαθεν ἐξ ἁπλότη- »
τος. Ἀλλὰ καὶ τὸν θεῖον Δαμασκηνὸν Θωμᾶς ὁ τῶν Λατίνων διδά- Θωμᾶς περὶ
σκαλος, ἅγιον μὲν εἶναι ὁμολογεῖ, καὶ ὡς τοιούτῳ πολλαχοῦ χρῆται. ἐν Δαμασκηνοῦ
δὲ τούτῳ τῷ μέρει, τοῖς Νεστοριανοῖς συναπενεχθῆναι φησὶ, καὶ τῆς ἀλη-
θείας ἐκπεπτωκέναι. οὐ δ' ἂν εἴποι τοῦτον μεταβεβλημένον ὕστερον, τῆς ἐν
ἁγιωσύνῃ δόξης τυχεῖν. αὐτός τε γὰρ οὐδὲν παράλλακτον φαίνεται
που διδάξας, καὶ οἱ ταῖς μεγίσταις αὐτὸν τιμαῖς ἀνακηρύξαντες, οὐδὲν

περὶ Αὐγουστ.

πλέον ᾔδεσαν περὶ αὐτοῦ. Ἀλλὰ μὴν καὶ Αὐγουστῖνον φασὶ πλεῖον ἢ ὀγδοήκοντα τῶν ἱερῶν ζητημάτων ἀναζητῆσαι, καὶ διορθώσασθαι, μετὰ πεῖραν μακρὰν θεωρὸν τῶν τοιούτων βελτίω γεγενημένον, οὐδὲ ἠνέσχετο παρ' ἄλλων αἰτίαν δέξασθαι. οὐδὲ αἰσχρὸν ἡγήσατο δόξαι, τὰ βελτίω μεταμαθεῖν ὕστερον. οὐδὲ περὶ ὀλίγου τὴν τῶν ἀδελφῶν πεποίηται βλάβην, εἰ σφίσι συμβαίη τῆς ἀληθείας διαμαρτεῖν, αὐτῷ πειθομένοις. ἀλλ' ἐπεὶ συγγράμματα μὲν ἐτύγχανε πλεῖστα ἐκδεδωκὼς, πάντων εὐθὺς ἁρπαζόντων αὐτὰ, τῷ πόθῳ τῆς ἀρετῆς ἐκείνου καὶ τῆς σοφίας, πρὶν ὡριμωτέρας ἐπιστασίας τυχεῖν παρ' αὐτῷ· ᾔσθετο δέ ποτε, χεῖρον ἢ προσῆκεν, ἀποφηνάμενος ἔνια τῶν ἐγκειμένων αὐτοῖς. ἐκεῖνα μὲν οὐκ ἔτι μεταποιεῖν οἷόν τε ἦν· συγγράμματι δὲ ἑτέρῳ τὴν διόρθωσιν ἐκείνοις εἰσήνεγκε· καὶ τοῦτ' ἐκεῖνο σῳζόμενον, ὥσπερ ἰατρεία τις ἐστὶ κοινὴ τῶν Αὐγουστίνου βιβλίων, οὐχ ὑπ' ἄλλου τινὸς, ἀλλ' ὑπ' αὐτοῦ συντεθεῖσα τοῦ τὸ τραῦμα ἐργασαμένου. Οὔτε τοίνυν ἀδύνατόν ἐστιν ἀνθρώποις οὖσι τοῖς διδασκάλοις ἡμῶν, ἀνθρώπινόν τι συμβῆναι, ἕως ἂν μὴ τὸ συμβαῖνον ἐκεῖνο τῶν αἰωνίων ἀγαθῶν αὐτοὺς εἴργειν δύνηται. οὔτε θαυμαστὸν ἐστὶν, εἰ καὶ Αὐγουστίνῳ συνέβη, τὸ πολλοῖς ἄλλοις τῶν μακαρίων συμβεβηκός. οὐκοῦν αἱρετικὸς ἐστὶν Αὐγουστῖνος, εἴποι τις ἄν; οὐκ, εἴγε μηδὲ Γρηγόριος ὁ Νύσσης, μηδὲ Δαμασκηνὸς, μηδὲ Διονύσιος, αἱρετικοὶ εἰσίν. ἀλλ' ἅγιοι καὶ διδάσκαλοι τῆς Ἐκκλησίας ἐκηρύχθησαν, καίτοι λέγοντες, ἅπερ ἀπαρέσκει τοῖς ἄλλοις. ἀλλ' οὐκ ἢ χρῆν οὕτω φησὶ τὴν Ἐκκλησίαν ποιεῖν. ἐκείνους δὲ μόνους ταῖς τῶν μακαρίων ἀγάλλειν τιμαῖς, οἷς ἐν οὐδενὶ σφαλῆναι συμβέβηκεν. καὶ τί τοῦτο πρός γε τὸν λόγον; τῆς γὰρ Ἐκκλησίας τὸ ἔγκλημα. οὐδὲ μὴν ἐγκλήματος ἄξιον ἦν, ἐπαίνων μὲν οὖν· ὁ γὰρ Αὐγουστῖνος (ᾧ σχεδὸν οἱ Λατῖνοι πάντες πιστεύουσιν) ἐγχωρεῖν φησὶ τινὰς ἁγιωσύνῃ τε καὶ διδασκαλίᾳ διενεγκόντας, ἔν τισι τῆς ἀληθείας διαμαρτεῖν. καὶ διὰ τοῦτο μὴ δεῖν ἀναμφισβητήτως ἅπασιν οἷς λέγουσι πείθεσθαι: ἀλλὰ παρὰ τὰς κανονικὰς γραφὰς τὰ ἐκείνων τιθέντας, τὸ μὲν συνᾷδον, τιμᾶν. τὸ δὲ διάφορον, ἀποπέμπεσθαι. καὶ αἱ Σύνοδοι τοίνυν, τὴν Αὐγουστίνου κρίσιν ταύτην τιμῶσαι, τοὺς ἁγιωσύνῃ

καὶ διδασκαλίᾳ διενεγκόντας, εἰ καὶ μὴ βούλονται χωρὶς ἑκάστους ἐν πᾶ-
σιν ὅσοις εἶπον βεβαίως πιστεύεσθαι καὶ τίσιν ἐκείνων συνήδεσαν, οὐ καλῶς
ὑπειλήφασιν, ἢ συγγεγραμμένοις, ἀλλὰ τῆς τῶν ἁγίων οὐκ ἐκβάλλουσι
τάξεως. τοὺς γὰρ φιλονείκως τῆς σφῶν δόξης ἀντεχομένους, καὶ τὸ κοινὸν τῆς
Ἐκκλησίας συγχέοντας, καὶ συνόδοις ἀντινομοθετοῦντας περιφανῶς, τούτους
εὐθύνουσι μόνους. οὐκ εἴ τις δὲ ἰδίαν διεφύλαξε δόξαν, οὐδενὸς ἄν τι λέγοντος,
ἢ πείθοντος τὰ βελτίω, μήτε ἰδίᾳ μήτε κοινῇ. εἰ δὲ δεῖ τἀληθῆ λέγειν, οὐχ
αἱ σύνοδοι τὴν Αὐγουστίνου δόξαν καὶ γνώμην εἰς ἔργον ἐξήνεγκαν. ἀλλ' ἐ-
κεῖνος μᾶλλον ταῖς συνόδοις καὶ τοῖς πράγμασι συμφωνεῖ, τὰ περὶ τῶν δι-
δασκάλων οὕτω φρονῶν. ἐνδέχεται γὰρ ἔν τινι τῆς ἀκριβείας διαμαρτεῖν, καὶ
τὸν ἐπὶ πλεῖστον ἁγιωσύνης καὶ διδασκαλίας προκεκοφότα. τὸ δὲ τῆς δι-
δασκαλίας ἀξίωμα, καὶ τὴν ἐν ἁγιωσύνῃ δόξαν, οὐδεὶς οὔτε παρ' ἑαυτοῦ, οὔτε
παρά τινος τῶν προσεχόντων αὐτῷ λαμβάνει δικαίως, ἀλλ' ἢ παρὰ τῆς
Ἐκκλησίας, κοινῇ δοκιμαζούσης αὐτόν· καὶ τῶν τοιούτων ἐπάθλων ἄξιον εὑρι-
σκούσης τε καὶ κρινούσης. Εἰ δὲ συγχωρήσαιεν Λατῖνοι, ἐν μὲν τοῖς κουφο-
τέροις, δύνασθαι τἀληθοῦς τοὺς διδασκάλους διαμαρτεῖν. ἐν δὲ τοῖς
μείζοσιν, οὐδαμῶς. ἀλλὰ τοὐναντίον ἐστὶν ἀληθές. ἢ γὰρ μηδαμοῦ σφά-
λεσθαι τούτους ἀνάγκη. ἢ εἴγε ἐν τοῖς μικροῖς, κἂν τινι τῶν μειζόνων τοῦτο
παθεῖν αὐτοὺς ἐνδέχεται. καὶ εἴ τι προσίσταται τῇ σφῶν ἁγιότητι καὶ
σοφίᾳ, τὸ περὶ τὰ μείζω διαμαρτεῖν, ταῖς αὐταῖς ὑποκείσονται μέμ-
ψεσι, κἂν ἐν τοῖς ἐλάττοσι διαμάρτωσιν. ἑκατέρων γὰρ τὴν τῆς ἀλη-
θείας ἔκπτωσιν ὑποστήσονται· οὐδὲν δὲ διαφέρει πρός γε τὸ ψεύσα-
σθαι καὶ τῆς ἀληθείας διαμαρτεῖν, εἴτε ἐν μείζονι, εἴτε ἐν ἐλάττονι πράγ-
ματι τοῦτό τις πάθοι περὶ τὴν αὐτὴν ἐπιστήμην. καίτοι κἂν τῇ πίστει
τῇ ἡμετέρᾳ, ᾗ πολλή τις δυσχέρεια σύνεστι, πολλὰ διδάσκουσι τὴν ἀ-
κολουθίαν ὑπερβαίνοντα τῆς φύσεως, ὡς αὐτός φησι. μείζω ἂν δήπου τὴν
ἀδοξίαν ἐνέγκαι, τὸ τὴν πλάνην ἐν τοῖς ἐλάττοσιν ὑποστῆναι, οἷς ἐ-
ἐλάττων ἡ δυσχέρεια σύνεστι. τί γὰρ ἄν τις πάθοι, ἀνθρωπίνῃ δυνάμει,
τῶν ὑπὲρ ἄνθρωπον πειρώμενος καὶ στοχαζόμενος ὑπερφυοῦς τινος ἀλη-
θείας, ἀνάγκης οὔσης οὕτω ποιεῖν; καὶ τῆς ἐφέσεως τῆς ἀληθείας, πρός γε

τὰ ὑπὲρ φύσιν ἐπιχειρουμένης, καὶ πειρωμένης ἅπτεσθαι τούτων; ἀλλ᾽ ὅπερ ἔφθην εἰπών· οὐ τὸν ἰδίᾳ διαφυλάττοντα δόξαν, καὶ μαντευόμενον τὶ περὶ ταύτης τῆς ὑπερφυοῦς ἀληθείας, ὅπως ποτὲ ἐξεγένετο, τοῦτον αἱρετικόν, ἂν πταίειν που φαίνηται. ἀλλὰ τὸν ἰσχυρογνώμονα, καὶ μηδ᾽ ἂν πάντες ἄνθρωποι τοὐναντίον φαῖεν πείθεσθαι θέλοντα, καὶ τοῖς τῆς ὑπερηφανίας κρημνοῖς κινδυνεύοντα, τοῦτο κρίνουσιν εἶναι, κἂν ἐφ᾽ ὅσον οὖν ἁγιωσύνης τε καὶ σοφίας ἔδοξεν ἄλλως προκεκοφέναι. Ἀλλ᾽ οὐδὲ τῇ Ἐκκλησίᾳ καὶ τῇ ταύτης ἀληθινῇ προσίσταται πίστει, τὸ τὸν δεῖνα ἢ τὸν δεῖνα, τῶν ἐνταῦθα διαπρεψάντων διδασκάλων, ἔν τινι τῆς ἀληθοῦς γνώμης διαμαρτεῖν· ἐπείπερ οὐχ ἕκαστος τῶν διδασκάλων, τῇ Ἐκκλησίᾳ τοὺς τῆς πίστεως τίθησι νόμους. ἀλλὰ μᾶλλον ἡ Ἐκκλησία κοινῇ τὰ ἑκάστου κανονίζει· καὶ πρὸς τοὺς κοινοὺς νόμους ἕκαστος, τὴν ἰδίαν ἀπευθύνειν γνώμην ὀφείλει. ἀλλ᾽ ἦν ἂν μέγα κατὰ τῆς Ἐκκλησίας, εἰ αὐτὴ πρὸς ἑαυτὴν διαστασιάζουσα τῇ ἀντιφάσει καὶ τῷ ψεύδει περιεπείρετο· οἷον, εἰ αἱ Σύνοδοι ταῖς κανονικαῖς γραφαῖς, μαχομένην ἐκφέρουσαι ψῆφον ἡλίσκοντο, ἢ ἀλλήλαις ἐναντία ἐνομοθέτουν. ὧν οὐδέν ποτε τῇ τοῦ Χριστοῦ χάριτι γέγονεν. ἀλλὰ μέχρι τέλους σύμφωνα φρονοῦσι καὶ ἀληθῆ. εἰ καὶ τινες ὁποσοιδήποτε, καὶ ὁποιοιδήποτε ἰδίως, ἢ καὶ συνηθροισμένοι, τοῖς κοινοῖς προστιθέντες τὶ δόγμασι, σύγχυσίν τινα πεποιήκασιν, ἢ ποιοῦσιν, ἢ καὶ ποιήσουσιν. ἥ τε γὰρ πρώτη τῶν πιστῶν ἐκείνη Σύνοδος ταῖς κανονικαῖς ἠκολούθησε γραφαῖς, καὶ τῆς ἀληθινῆς καὶ μιᾶς αὐτῶν διανοίας προύστη κινδυνευούσης. καὶ ἑκάστη τῶν ἄλλων ἀπὸ τῆς αὐτῆς διανοίας, τὰς ἐφ᾽ ἑαυτῆς ἀνακυψάσας ἀμφισβητήσεις τότε, διέλυσεν. ἅμα καὶ πρὸς τὴν ἡγησαμένην τῷ χρόνῳ, μηδὲν ἀπᾷδον ἐξενηνοχυῖα δόγμα, μηδὲ ἐναντίον.

Σύνοδ. ε. » Καὶ πῶς φησὶν ἡ πέμπτη Σύνοδος ἀπεφήνατο, ἀκολουθοῦμεν τοῖς ἁ-
» γίοις πατράσι κατὰ πάντα, καὶ διδασκάλοις τῆς Ἐκκλησίας, Ἀθανασίῳ,
» Ἱλαρίῳ, Βασιλείῳ, τῷ δεῖνι, καὶ τῷ δεῖνι, ἐν οἷς καὶ τὸν Αὐγουστῖνον τεθέασι; διότι οὐ πάντα ἅπερ συνεγράψαντο λέγει· πῶς γάρ, εἴ γε μηδὲ πάντα ἴσως ἐξήτασαν; ἀλλ᾽ ἅπερ ἐν τοῖς πρὸς τοὺς αἱρετικοὺς ἀγῶσιν, ὑπὲρ τῆς τότε κινδυνευούσης ἀληθείας ἐξέθεντο· ἀφ᾽ ὧν μάλιστα, καὶ

ὑπὲρ ὧν, τὰς δημοσίας ἀνακηρύξεις δικαίως ἐκτήσαντο. καὶ τοῦτο δῆ-
λον αὐτὴ ἡ πέμπτη ποιεῖ Σύνοδος. ἐπάγει γὰρ, καὶ δεχόμεθα πάντα, „ Ἡ αὐτή.
„ ὅσα περί τε τῆς ὀρθῆς πίστεως, καὶ πρὸς τὸν τῶν αἱρετικῶν ἔλεγχον ἐξέ-
θεντο· πάνυ δὲ δεινὸν ἦν ἁπλῶς ἀποφήνασθαι πάντα, ἵνα καὶ τῇ θρασύ-
τητι τινῶν καὶ περιπετείᾳ καὶ φιλονεικείᾳ παράσχωσιν ἄδειαν (ἐξ ὧν ἔνιοι
τῶν διδασκάλων, ἰδίᾳ που πεφιλοσοφήκασι, τὸ τῆς ἱερᾶς γραφῆς με-
γαλεύοντες βάθος) ἀφορμὰς λαμβάνειν νεωτερισμῶν τινῶν καὶ αἱρέσεων.
ταῦτα γὰρ ἂν καὶ Θωμᾶς ἀπελογήσατο περὶ τοῦ Δαμασκηνοῦ. ἢ πῶς καὶ
περὶ αὐτοῦ τὰ ἴσα τῆς ἑβδόμης νομοθετούσης Συνόδου (ἐκ γὰρ τῶν ἴσων
ἀγωνισμάτων, δίκαιος ἦν ἄρα καὶ τῶν αὐτῶν ἐπάθλων τυχεῖν) ὁ Θωμᾶς
μετὰ τῆς Ῥωμαϊκῆς Ἐκκλησίας, οὐκ ἀξιοῦσι τὰ αὐτοῦ στέργειν ἅπαντα;
ἀλλ᾽ ἔστιν ὃ καὶ δικαίως οἴονται διαγράφειν· τί δὲ μέγα καὶ δυσχερὲς νοεῖν
ἐστὶν, ὡς εἰ καὶ ἡ πέμπτη Σύνοδος τιμῶσα τε τοὺς διδασκάλους, τοῦτ᾽ εἶ-
πε; καὶ βουλομένη τοὺς ὑστέρους ἡμᾶς ἐκείνοις προσέχειν, οὐ τοῖς ἡμετέροις
στοιχοῦντες βουλήμασι κινδυνεύειν· ὅμως ἑαυτῇ καὶ ταῖς ἄλλαις Συνό-
δοις, μεῖζον ἀποδίδωσι κράτος. ταῖς δὲ κανονικαῖς γραφαῖς ἔτι, καὶ τού-
του μεῖζον. καὶ τοῦτο ἤδη σαφῶς ἡ πέμπτη Σύνοδος, ὡς οὐδεὶς νοῦν ἔ-
χων, διὰ τὴν μαρτυρίαν, ἣν αὐτὴ τοῖς διδασκάλοις ἀπένειμεν, θελήσει
πιστεῦσαι τινὶ τούτων, καὶ ὁτῳοῦν, κατ᾽ αὐτῆς, ἢ τῶν τῆς πίστεως ὑποθέ-
σεων. τουτέστιν, ἐν οἷς ἂν ἀπαρέσκοντα δόξωσι τοῖς κοινοῖς δόγμασιν ἀξι-
οῦν, σφίσι μᾶλλον προστίθεσθαι. μεγίστης γὰρ ἀφροσύνης ἐστὶ δήπου,
διότι εἶπεν ἡ Σύνοδος, δεῖ Αὐγουστίνῳ πείθεσθαι, ἐν οἷς πρὸς τὸν τῶν αἱ-
ρετικῶν ἔλεγχον ἐξέθετο, διὰ τοῦτ᾽ αὐτῷ πείθεσθαι, καὶ εἴ τι που λέ-
γοι μηδενὶ ἀρέσκον, πλὴν αὐτῷ μόνῳ. ἀλλὰ καὶ τὴν τῆς Συνόδου ψῆ-
φον ἐκείνην, ὡς προσήκει νοεῖν, καὶ περὶ Αὐγουστίνου τὰς κοινὰς ὑποθέ-
σεις, καὶ τὰς τῶν Συνόδων ψήφους, καὶ τὰ τοῖς πλείστοις δόξαντα δι-
δασκάλοις τιθέναι, νοῦν ἐχόντων ἂν εἴη. καὶ μηδὲ οὕτω τὴν Αὐγουστίνου
δόξαν παραβλάπτεσθαί που νομίζειν. ὅτι μετ᾽ εὐγνωμοσύνης ταῦτα
ἐζήτει. καὶ τινὶ τῶν Συνόδων οὐκ ἀντεῖπεν οὑτωσὶ φανερῶς. οὐδὲ ἐνό-
μιζεν ἀντιλέγειν. καὶ πρὸς τούτοις τὴν τῶν πολλῶν ἑαυτὸν ἐκδέδωκε
κρίσει.

κέλοι. δίκαιον εἶναι νομίσας, μηδὲν πλέον παρὰ τῶν ἄλλων εὐλαβείας ἔχειν αὐτός, ἢ ὅσον αὐτὸς ἀπένειμε τοῖς περὶ αὐτοῦ. ἡγεῖτο γὰρ δεῖν, μήτε τῶν κανονικῶν γραφῶν, μήτε τῶν συνόδων, αἳ τὴν ἴσην ἔχουσι δύναμιν, οὔτ' αὐτόν, οὔτ' ἄλλον τινὰ προτιμᾶσθαι. καὶ ταῦτα μὲν οὕτω κρίνεσθαι δεῖ, δοθέντος ἀληθῶς τῆς πέμπτης εἶναι συνόδου τὴν ψῆφον ἐκείνην. νῦν δὲ καὶ αὕτη πολλῆς ὑποψίας γέμει. ἐν γὰρ ταῖς πράξεσι τῆς συνόδου, ταῦτα οὐχ εὕρηται κείμενα, πλὴν ἐν ὀλίγοις πάνυ βιβλίοις. ἀλλ' εἰ καὶ μὴ ταύτην ἡ σύνοδος ἐκείνη τοῖς διδασκάλοις ἀπένειμε τὴν τιμήν, ἀλλ' ἀπένειμεν ἄν, καὶ ὡς ἀπενενεμηκυῖα πιστεύεται· οὐδὲν μέντοιγε ἐντεῦθεν πλέον τινὶ προσγενήσεται, περὶ ἑνός τινος ὁτουοῦν ἀξιοῦντι τῶν διδασκάλων· ἅπερ οὔτε ἡ σύνοδος ἠβουλήθη ποτέ, καὶ πολὺ τὸ ἄτοπον ἔχει. Ἤκουσα δέ τινος τῶν ἐξ ἡμῶν τοῖς Λατίνοις προστεθειμένων, οἰομένου καὶ λέγοντος, ὡς εἴ τις τῶν διδασκάλων, ἔν τινι πρὸς τοὺς ἄλλους τῶν διδασκάλων διαφωνοίη, μέγα τοῦτο καθ' ἡμῶν ἕρμαιον ἔσται τοῖς τὰ Ἑλλήνων διεκδικοῦσι. καὶ ἐπὶ σαθροῦ τὰ τῆς ἡμετέρας στήσεται πίστεως. ἐκ κοινοῦ ὑποκειμένου τοῦ δύνασθαί τινα τῶν διδασκάλων ἔν τινι τῆς ἀκριβείας διαμαρτεῖν· ἐνέδωκεν ἂν τοῖς Ἕλλησιν ὅγε τοιοῦτος, μὴ δυνηθεὶς τὸν αὐτῶν λῦσαι λόγον. ἵνα δὲ μὴ τοῦτο πάθῃ, καὶ τῇ τῶν Ἑλλήνων ἀπορίᾳ καθάπαξ ἐνδῷ, Αὐγουστίνου καταφρονεῖ, ἐνδέχεσθαι λέγοντος διδάσκαλόν τινα πλανηθῆναι. βέλτιον οὖν ἦν αὐτῷ παρατρέχειν τὸν Αὐγουστῖνον, ἐν οἷς παρὰ τὰς κοινὰς δόξας καὶ τὰς κανονικὰς γραφὰς λέγει τι. ἐπεὶ καὶ αὐτὸς ἐν τοῖς τοιούτοις, καταφρονεῖν αὐτοῦ παραινεῖ. καὶ δίδωσιν ἑαυτὸν δή που παράδειγμα· ἐκεῖνος μέν, οὕτως. Ἐγὼ δέ, τιμῶ τε τὸν Αὐγουστῖνον ὡς αὐτὸς τιμᾶσθαι βούλεται, καὶ συγχωρῶ δύνασθαι περὶ τῆς ἀληθείας διαμαρτάνειν, καὶ αὐτὸν Αὐγουστῖνον, καί τινα τῶν ἄλλων διδασκάλων, χωρίς. καὶ οὔτε αὐτοῦ τοῦτο παθόντος κατηγορῶ, ἅτε μὴ φιλονείκως ἀντιπεποιημένου τῆς δόξης αὐτοῦ. μηδὲ πρὸς ὅλην τὴν Ἐκκλησίαν πείθουσαν τἀναντία καὶ ἐπιτάττουσαν, ἀντειπόντος. οὔτε τῆς ἱερᾶς Ἐκκλησίας ἔγκλημα τοῦτο ποιοῦμαι. ἐπεὶ μὴ τοῖς Αὐγουστίνου νόμοις ὑπείκει. ἀλλ' ἐκεῖνα μᾶλλον τῶν Αὐγουστίνου

τιμᾷ,

τιμᾷ, καὶ ἡμῖν παρέσεσθαι συμβουλεύει, ὅσα τοῖς ὑπ᾽ αὐτῆς ἀνακεκη-
ρυγμένοις δόγμασι συνᾴδει προδήλως. Δεχόμεθα γάρ φησι πάντα, ἃ- „ Σύνοδ. ε.
περί τε τῆς ὀρθῆς πίστεως καὶ πρὸς τὸν τῶν αἱρετικῶν ἔλεγχον ἐξέθεντο. „
καθ᾽ ὧν δήπου καὶ συνέστησαν αἱ Σύνοδοι τὴν ἀρχὴν, καὶ κοινῇ τὰς ψή-
φους ἐξενήνεγκαν. περὶ δὲ τῶν ἄλλως ἐχόντων, αὐταῖς ἀρκεῖ ταῖς Αὐγου-
στίνου ψήφοις, ἃς αὐτὸς περὶ τῶν πρὸ αὐτοῦ διδασκάλων, καὶ πρὸς αὐτὴν
ποτὲ διαβαίνειν μελλούσας, ἐξήνεγκε. τουτέστιν, ὡς ἄρα σιωπῇ καὶ μετ᾽
εὐφημίας παριέναι χρὴ, ταῖς κανονικαῖς γραφαῖς πλέον τῶν μὴ συνᾴδειν
ταύταις φαινομένων τι προσέχοντας. ἀλλ᾽ οὐδὲ τοῖς ἑλληνίζουσιν ἐνδοίη-
μεν ἂν ποθ᾽ ἡμεῖς, οὔτε διὰ τοῦτο, οὔτε διὰ τὰς ἄλλας αὐτῶν φλυα-
ρίας, καὶ κατὰ τῆς ἡμετέρας πίστεως διαβολάς. ὃ πάσχουσιν, οἱ μήτε με-
θόδου τῆς ἐν τοῖς τοιούτοις, μήτ᾽ ἐπιστήμης εὖ ἔχοντες, καὶ ὑγιαίνοντι κρι-
τηρίῳ μὴ δυνάμενοι χρῆσθαι. ἐπεὶ καὶ πρὸς τὰς ἄλλας ἐκείνων φλυα-
ρίας ἀποκρίνεσθαι ἔχω, καὶ πρὸς ταύτην, εἴ τις τοιοῦτόν τι ληροίη, καὶ
ἀπὸ τούτου τὰ καθ᾽ ἡμᾶς ἐλέγχειν πειρῷτο. οὐ γὰρ ἡμεῖς γε τῷ πνεύ-
ματι, καὶ τῇ ἐκεῖθεν ἐμπνεύσει φέροντες, ἀνατίθεμεν πάντα τὰ τῷ δεῖνι
δόξαντα διδασκάλῳ, περὶ ὧν ἔξεστιν αὐτῷ ἑκάστῳ δοξάζειν ὁπουοῦν.
ἀλλὰ κυβερνᾶσθαι μὲν αὐτοὺς ὑπὸ τοῦ πνεύματος ἐν τοῖς λόγοις ὁμο-
λογοῦμεν. καὶ τούτων μάλιστα τοὺς ἀρετῇ τε προέχοντας, καὶ μετὰ πολ-
λῆς εὐλαβείας καὶ προσοχῆς χρωμένους τοῖς λόγοις, καὶ μηδὲν ἐκ προ-
νοίας περὶ τὴν τῆς πίστεως λέγοντας. ἀνθρώπους δὲ εἶναι, καὶ διὰ τοῦ-
το δύνασθαι τῇ ῥοπῇ τῆς θελήσεως, ἐφ᾽ ὁτιοῦν κινηθῆναι νόημα, μὴ ἀ-
ρέσκον τῷ πνεύματι. καθάπερ δὴ κἂν τοῖς ἔργοις οὐ παντάπασιν ἦσαν ἀ-
νεξαμάρτητοι, οὐδὲ εἴποι τις ἂν αὐτοὺς παντὸς ἁμαρτήματος μικροῦ τε ὁ-
μοίως καὶ μεγάλου, καὶ κατὰ πᾶσαν ὁποιανοῦν αἰτίαν συμβαίνοντος, κρείτ-
τους διαγενέσθαι. οὐ γὰρ ἐστὶν ἐγχωροῦν τοῦτο τῇ φύσει. καίτοι θεοφι-
λεῖς ἦσαν, καὶ ὑπὸ Θεοῦ κυβερνώμενοι· ὥσπερ οὖν οὐκ ἂν ἦσαν φαῦλοι
ὀργισθέντες που παρὰ τὸν καιρὸν, καὶ προέμενοι τι ῥῆμα πρὸς τὸν πλη-
σίον ψυχρὸν, οὐδ᾽ ἂν ἔδει διὰ τοῦτο δίκας αἰωνίους ὑπέχειν, τοὺς τὴν
αἴσθησιν οὕτω πάνυ δουλαγωγήσαντας ἐν τοῖς καιροῖς τῷ πνεύματι.

οὕτω καὶ τὸ δοξάσαι τι τῆς ἀληθείας ἐπέκεινα, εἴτε φιλοτιμίᾳ τινὶ προηγμένους, εἴτε διὰ τὴν τῆς ἀληθείας δυσχέρειαν τοῦτο παθόντας, μήτε μέντοι πρὸς τὴν Ἐκκλησίαν φιλονεικῆσαι, μήτε ἐν τοῖς καιρίοις τὴν πλάνην παθεῖν· οὔτε αὐτοῖς, οὔτε τῇ τοῦ πνεύματος κυβερνήσει, τοῦτο παρεστήσαται· Οὐδ' ἴσμεν ποῦ τοῦτο παρὰ τῆς ἀληθείας ἐπηγγελμένον ἐνί τινι τῶν ἀνθρώπων, τὸ μὴ ἄν ποτε ἐν οὐδενὶ πλανηθῆναι· καθάπερ δυσί τισιν ἢ τρισὶν ἐπηγγέλλατο παρέσεσθαι, συναγομένοις ἐν τῷ τῆς ἀληθείας ὀνόματι. καὶ τὸ πνεῦμα τὴν ἀρχὴν συνηγμένοις, ἐπῆλθε τοῖς μαθηταῖς τοῦ Χριστοῦ. καὶ τὴν Ἐκκλησίαν ἱδρυμένην ὁ Χριστὸς ἐπὶ Πέτρον, τὸ δὲ μὴ κατισχυθῆναι ὑπὸ τῶν τοῦ ᾅδου πυλῶν (τῆς ἀσεβείας δηλονότι καὶ τῶν αἱρέσεων) τῇ Ἐκκλησίᾳ δίδωσιν, οὐ τῷ Πέτρῳ. διὰ τοῦτο δὴ καὶ ἡμεῖς τὸ μὴ δύνασθαι ἐν ὁτῳοῦν πλανηθῆναι, ὥσπερ ἐξαίρετόν τι γέρας, ταῖς συνόδοις μόναις ἀποκληροῦμεν. ὧν ἑκάστη τὴν Ἐκκλησίαν ὅλην παρίστησιν. ἣν μόνην ἔξω ψεύδους ἵστασθαι, καὶ στήσεσθαι, τὸν ἅπαντα χρόνον ἰσχυριζόμεθα, ὑπὸ πολλῶν τοῦτο λόγων καὶ πραγμάτων πεισθέντες. καὶ τὰς συνόδους φαμὲν ἐνηχθείσας ὑπὸ τοῦ πνεύματος, ἀποφήνασθαι ἕκαστα· καὶ μηδὲν ἐν αὐταῖς ὅλως τὴν ἀνθρωπίνην θέλησιν ἐνεργῆσαι, πλὴν τοῦ ποθῆσαί τε τὴν ἀλήθειαν. καὶ ὑπὸ ταύτης τῆς ἐπιθυμίας εἰς ταυτὸν συνελθεῖν. τὴν δὲ τῆς ἀληθείας διδασκαλίαν ἄνωθεν αὐτοῖς ἐμπνευσθῆναι. καὶ διὰ τοῦτο πάντας ἔνδοθεν τὸν αὐτὸν διδάσκαλον ἔχοντας, πρὸς μίαν γνώμην συνδραμεῖν. καθάπερ χορόν τινα ἱερόν, τῷ κορυφαίῳ συμφωνοῦντας ἐνδιδόντι τὸ μέλος. διὰ ταῦτ' ἄρα καὶ τὴν αὐτὴν ταῖς τε συνόδοις ἐκείναις, καὶ ταῖς ἱεραῖς γραφαῖς, πάντ' ἀλλήλοις συνᾴδουσιν, ὡς ὑπὸ τῶν ἱερῶν ἱκανῶς ἀποδέδεικται διδασκάλων. καὶ οἱ τἀναντία λέγοντες ἀπηλέγχθησαν. ἀλλὰ μὴν καὶ τοῖς ἀποστόλοις ἐδίδοτο σοφία καὶ λόγου χάρις ἄνωθεν, καὶ τὸ πνεῦμα δι' αὐτῶν ἐλάλει, ὅτι τε τὴν ἀρχὴν ἰδιῶται τινὲς ἦσαν, καὶ τὸ εὐαγγέλιον ἐκήρυττον. καὶ πολλῆς ἔδει τῆς ἄνωθεν ῥοπῆς, ὥστε πείθειν ἐν τοῖς ξενίζουσι, καὶ τηλικαύτης βοηθείας ἔδει τῇ πίστει· ἧς ἄνευ, ἀμήχανον ἦν ἐν ταῖς τῶν ἀκουόντων ψυχαῖς ταύτην ἱδρύεσθαι. ὅθεν καὶ γλώσσαις ἐλάλουν, καὶ

Σημείωσ.

ἡ τοῦ λόγου χάρις σφίσιν ἐπήνθει, καὶ προεφήτευον, καὶ ἐθαυματούργουν. καταστάσιν δὲ τῆς Ἐκκλησίας λαβούσης, καὶ τῶν τοῦ κηρύγματος πεπαυμένων ἀγώνων τε καὶ πολέμων, οὔτε τοῖς διδασκάλοις ἀνάγκη ταῦτα, (καθάπερ τοῖς ἀποστόλοις τό τε) παρεῖναι. καὶ διὰ τοῦτο οὐδὲ πᾶσι παρῆν. οὔθ' ἡ Ἐκκλησία δόξειεν ἂν εὐλόγως ὕφεσίν τινα διὰ τοῦτο παθεῖν, καὶ ἡ πίστις ἧττον νῦν ἢ πρότερον ὑπὸ τοῦ πνεύματος βοηθεῖσθαι. ἤρκει δὲ τοῖς διδασκάλοις τῆς πίστεως, καὶ νῦν ὄντως ἀρκεῖ, ἅπερ ἐν τοῖς ἀποστόλοις τό τε τὸ πνεῦμα λελάληκεν, ὑπό τε τῶν θαυμάτων ὧν ζῶντες ἐποίουν βεβαιωθέντα, καὶ οἷς ἀπέθνησκον ἑκόντες πάνυ καὶ χαίροντες, ὡς ὑπὲρ ἀληθῶν, ταῦτα καὶ τηρεῖν καὶ κατέχειν. καὶ τοῖς πιστεύουσι μὲν, ἐξηγεῖσθαι καὶ ἀναπτύσσειν, συμφερόντως τῇ πίστει καὶ ταῖς αὐτῆς ὑποθέσεσι. πρὸς δὲ τοὺς ἐναντίους τούτων ὑπερμαχεῖν. Ὁ δ' ἄρα Διονύσιος οὐ μόνον ἀρκεῖσθαι τούτοις οἴεται δεῖν. ἀλλ' οὐδὲ τολμήσει τὶ λέγειν παρὰ ταῦτα καινότερον· ταῦτα γὰρ οἶδε μόνα καθάπερ ψεύδους ἀπηλλαγμένα, καὶ πάσης ἀμφιβολίας ἀνώτερα, ὡς Θεοῦ τε ὄντα, καὶ οὐκ ἄνευ Θεοῦ, προδήλως. καὶ τούτοις μόνοις ἀναμφισβητήτως προσέχειν ἀποφαίνεται δεῖν· τὰ δὲ τῶν ὑστέρων, τῇ τε παρὰ τοῦ χρόνου βεβαιώσει, καὶ τῇ τῶν ἀκουόντων ἐκκεῖσθαι κρίσει. οὐ τὰ τῶν ἄλλων μόνων, ἀλλὰ δὴ καὶ τὰ ἑαυτοῦ· ταῖς γὰρ ἀρχαῖς μόνον χρὴ πιστεύειν ἀναμφιβόλως. τὰ δ' ἄλλα προσίεσθαι, προσαρμόζοντας ταῖς ἀρχαῖς· καὶ συνᾴδειν ἐκείναις ταῦτα κατανοοῦντας, ἂν δ' ἄλλως ἔχῃ, μηδὲ προσίεσθαι. εἰ δὲ πᾶσι πιστεύσομεν ὡς ἀρχαῖς, μυρίαις ὑποκεισόμεθα πλάναις, καὶ ἀντιφάσεσιν, ὡς ἄνευ τινὸς κανόνος ἐπὶ τὴν τῆς ἀληθείας θήραν ἀγόμενοι. Ἢ τί τὸ τοὺς ὀρθοδόξους καὶ τοὺς αἱρετικοὺς διακρίνειν ἐστίν; οὐ γὰρ ἀεὶ ἦσαν αἱρετικοὶ, οὐδὲ χυδαῖοι τινὲς καὶ ἀμαθεῖς, ἀλλὰ καὶ διδάσκαλοι τῆς πίστεως, καὶ μεγάλην ἐπὶ σοφίᾳ δόξαν ἔχοντες, ἐτύγχανον πρότερον. διὰ ταῦτα γοῦν οὐδὲν μᾶλλον τοῖς τἀναντία ψηφιζομένοις, ἢ ἐκείνοις προσέχειν δίκαιον ἦν. οὐδὲ Κυρίλλῳ μᾶλλον, ἢ Νεστορίῳ. ἀλλ' ὅτι ταῖς τῆς πίστεως ἀρχαῖς, οἱ μὲν συνᾴδοντα ἔλεγον, καὶ οὕτως ἐδόκει πᾶσι κοινῇ σκοπουμένοις μετὰ Θεοῦ. οἱ δὲ, ἀσύμφωνα συνεπέραινον. ἐκεῖνοι

μένοι, ἀνεκηρύττοντο· τούτους δὲ (ἐπειδὴ οὐκ ἐβούλοντο πείθεσθαι) τοῦ καταλόγου τῶν ὀρθὰ φρονούντων ἐξέβαλλον, καὶ ταῖς πρεπούσαις ὑπῆγον ποιναῖς καλῶς ἄγαν, καὶ Διονυσίῳ συμφώνως. Αὐγουστῖνος μεταξὺ τῶν κανονικῶν γραφῶν, διαιρεῖ, καὶ τῶν διδασκάλων. καὶ ἡμεῖς αὐτοῖς ὁμοίως διαιροῦντες, οὐχ ἁμαρτάνομεν. Εἰ τοίνυν ἡ ἡμετέρα πίστις ἐκείνων τῶν θεμελίων ἵδρυται, ἅπερ οὐδὲν ἐναντιότητος ἔχει, τοῖς ἀληθῶς κρίνειν τὰ τοιαῦτα ἐπισταμένοις, καὶ πεφωτισμένοις ὑπὸ Θεοῦ· τοῖς διδασκάλοις καὶ ἡμεῖς συγχωροῦμεν, ἐναντιότητός τι προσεῖναι δύνασθαι, ἐν οἷς ἕκαστος ἰδίαν διατετήρηκε γνώμην. τουτέστιν, ἐν οἷς οὔπω σύνοδος τοὐναντίον ἔφθη διορίσασθαι φανερῶς οὑτωσί. καὶ ἡμεῖς εἰς μίαν Ἐκκλησίαν πιστεύομεν, οὔ τοιγε εἰς Αὐγουστῖνον καὶ Ἱερώνυμον. Ἐκκλησία δὲ ἐστί, τὰ τοῦ ἡμετέρου δεσπότου δόγματα καὶ διδάγματα, καὶ τῶν ἱερῶν ἀποστόλων, καὶ τὰ τῶν συνόδων. ἐξ ἧς κοινῇ κεκριμένα, ἃ δὴ καὶ ἐξ ἀποκαλύψεως καὶ ἐπιπνοίας προδήλως εἰσί. καὶ οἷς μόνοις, οὔτε ἄλλοι, καὶ Αὐγουστῖνος αὐτὸς τὴν συμφωνίαν, καὶ τὴν ἀναντίρρητον ἀλήθειαν, καὶ τὴν ἄνωθεν ἔμπνευσιν, μαρτυροῦσι. τὰ δὲ ἑαυτῶν, στοχασμούς τινας τῆς ἐν ἐκείνοις ἀληθείας ἀποκαλοῦσιν, ὅσα τῶν διαῤῥήδην εἰρημένων ἐπέκεινα λέγουσι. καὶ συγγνώμην αἰτοῦσιν, εἴ τι σφίσι στοχαζομένοις ἡμάρτηται. τίς ἑλληνίζων προσφέρειν ἡμῖν δικαίως τολμήσειε τὰς ἐν τοῖς διδασκάλοις διαφωνίας; ἢ τίς νοῦν ἔχων τουτὶ δεδιὼς, ἄλλο τι τοῖς διδασκάλοις συγχωρήσειεν, ὅπερ οὐκ ἔξεστι; καίτοιγε κατὰ τῆς ἱερᾶς γραφῆς οἱ τῶν Ἑλλήνων διεκδικοῦντες τὰ τῆς διαφωνίας εὐλογώτερον προπέμπουσι βελτίω. ἀλλὰ κἀκεῖνα τῇ τῆς ἀληθείας ἀντιτυπίᾳ κατάγνυνται προσβάλλοντα. Ἀλλ᾽ οἱ Λατῖνοι τῇ πίστει καὶ τῇ ἱερᾷ γραφῇ τῇ ταύτην ἡμῖν ἐκτιθείσῃ, τὰ Αὐγουστίνου δόγματα, καὶ τῶν ἄλλων ἕκαστον χωρὶς, εἰς ταὐτὸν ἄγουσι. καὶ τὴν πίστιν ἀνατρέπεσθαι λέγουσιν, εἴπου τις τῶν διδασκάλων παρενεχθείη. πολλοῦ δὲ δεῖ ταῦθ᾽ οὕτως ἔχειν διὰ τὰ εἰρημένα. εἴρηται γὰρ ὡς οὔθ᾽ ἡ Ἐκκλησία ψεύδεται, τῶν διδασκάλων τινὸς, περί τι μὴ καλῶς οἰομένου. οὔθ᾽ ὁ τοῦτο παθὼν, τῆς ἐν ἁγιωσύνῃ δόξης ἐστέρηται, παρὰ κει-ταῖς αὐτοῖς γε τοῖς διδασκάλοις, καὶ τῇ Ἐκκλησίᾳ πάσῃ κοινῇ. ἢ πολ-

λοὺς

λῦς τοῖς μακαρίοις ἐνέταξεν, ἔχουσά τι τοιοῦτον αὐτοῖς μέμφεσθαι· διό-
τι μὴ φιλονείκως, ὁ δὲ ἔκ τινος φαύλης αἰτίας, ἔνιοι δὲ αὐτῶν, καὶ δι'
ἐπαινετὴν τινὰ πρόφασιν ἴσως, περιήχθησαν τί δοξάσαι περὶ τῶν θείων.
ὃ μετὰ ταῦτα τοῖς ἐξετακόσιν, οὐκ ἤρεσεν. Ἀλλὰ ταῦτα μὲν εἴρηται
πρὸς τοὺς λέγοντας, ἀδύνατον εἶναι τὸν Αὐγουστῖνον, ἅγιον ὄντα καὶ δι-
δάσκαλον, φρονῆσαι τὶ καὶ εἰπεῖν, ἐνδεῶς ἔχον τῆς ἀκριβείας. ἢ ἄλλον
τινὰ τῶν διδασκάλων ἕνα καὶ ὁντινοῦν. καὶ προστιθέντας, ὡς εἰ τοῦτο
τὶς δοίη, ὅλην ἀνατρέψει τὴν πίστιν, καὶ τὸ ὄνειδος τῇ Ἐκκλησίᾳ πάσῃ
περιτρίψεται. εἰ γοῦν καὶ αὕτη ἡμῖν ἡ θέσις συνᾴσει προϊόντος τοῦ λό-
γου, καὶ κατὰ τῶν λεγόντων ἔσται παραδήλως, καὶ ὑπὲρ αὐτοῦ Αὐγουστί-
νου, καὶ ἑκάστου τῶν ἡμετέρων διδασκάλων, χωρὶς, ὧν πάντων οἱ Λατῖ-
νοι καταφρονοῦσιν, Αὐγουστῖνον οὕτω τιμῶντες. ἀλλ' ὅμως ἐξηλέγχθη δι-
καίως τε καὶ καλῶς μηδὲν ἀναγκαῖον ἔχουσα. καὶ τοὐναντίον ἅπαν ἢ
ὡς αὐτοὶ λέγουσι, καὶ Αὐγουστίνῳ, καὶ τοῖς διδασκάλοις ἅπασι πολεμοῦ-
σα, καὶ τῷ τῆς Ἐκκλησίας ἀξιώματι πάνυ λυμαινομένη, εἴγε μέλλοι
κρατεῖν. Ἐχόμενοι δὲ πάλιν τῆς προθέσεως λέγομεν. εἴπερ Αὐγουστῖ-
νος τῶν τῆς γραφῆς ἐκείνων ῥητῶν οὕτως ἤκουεν, ὥστε καὶ τὸν υἱὸν ἀρχὴν
τοῦ πνεύματος καὶ αἴτιον εἶναι δι' ἐκεῖνα νομίζειν, οὐ καλῶς ἤκουεν. οὔτε
γὰρ ταῖς κανονικαῖς γραφαῖς πάνυ συμβαίνουσαν, οὔτε τοῖς ἄλλοις ἀρέ-
σκουσαν διδασκάλοις, οὔτε οἴκοθεν τὸ εὐπρεπὲς ἔχουσαν, δόξαν ἐν ἑαυ-
τῷ συνελάμβανε. καὶ διὰ τοῦτο οὐδὲ ἡμῖν ἐκείνῳ πείθεσθαι πρέπει,
τῶν ἄλλων πάντων διδασκάλων ὑπεριδοῦσιν. ὥσπερ ὅπου τοῖς κοινοῖς
συνίσταται δόγμασι, καὶ λίαν ἐκείνῳ πείθεσθαι χρή. καθάπερ ἐν οἷς
Εὐνομίου καὶ Σαβελλίου κατατρέχει πάνυ καλῶς, καὶ τῆς ἐκείνων αἱρέ-
σεως. τότε γὰρ οὐχ ἡμῖν αὐτοῖς, ἀλλὰ τοῖς διδασκάλοις ἅπασι, καὶ
τῇ κοινῇ τῆς Ἐκκλησίας κατὰ τῶν αἱρέσεων ψήφῳ, κριταῖς τῶν τοιούτων Αὐ-
γουστίνου λόγων κεχρήμεθα.

ΚΕΦΑΛΑΙΟΝ ϛα.

Περὶ τῶν εἰκόνων, καὶ τῶν ὑποθέσεων, ὑφ' ὧν δοκεῖ κινηθῆναι πρὸς ταύτην Αὐγουστῖνος τὴν δόξαν. καὶ πρῶτον περὶ τῶν ὑποθέσεων. ὅτι ἐπικίνδυνον ἐστὶν αὐταῖς πίθεσθαι πάνυ. καὶ ὅτι Αὐγουστῖνος καὶ ἐν πολλοῖς ἄλλοις Πλατωνικὸς ἐστὶ, καὶ πρὸς τοὺς ἄλλους διδασκάλους διαφωνεῖ. καὶ ἐξαιτίασις αὐτοῦ.

Περὶ δὲ τῶν ὑποθέσεων, καὶ τῶν εἰκόνων ἐκείνων, αἳ δοκοῦσιν ἐν Αὐγουστίνῳ ταύτην βεβαιῶσαι τὴν δόξαν, ὡς ἐντεῦθεν συλλήψεις τινὰς δεξαμένῳ τῷ τῆς Τριάδος πράγματι συμφερούσας, ἐγὼ μὲν οὐ βούλομαι φορτικῶς ἀποκρίνεσθαι. ἄλλος δ' ἂν τις εἴποι, τὴν μὲν Πλάτωνος καὶ Νουμηνίου Τριάδα, τῶν ἱερῶν περιβόλων εἴργεσθαι χρῆναι· ὅτι καὶ Ὠριγένην, καὶ Ἄρειον, καὶ Εὐσέβειον, αὕτη πάντων πλέον ἐσάλευσεν. οἳ βουληθέντες τῇ δόξῃ τῆς ἀληθείας ἐκ τῶν ἑλληνικῶν δοξῶν συμμαχεῖν, ἔλαθον πρὸς τὸν ἑλληνισμὸν αὖθις ἔκ τινος φιλονεικίας ἐξενεχθέντες, καὶ τοῖς εὐσεβέσι πολεμήσαντες δόγμασιν. ἐπειδὴ γὰρ οἱ μὲν σώφρονες ὁμιληταὶ τῶν γραφῶν, καὶ γνήσιοι μαθηταὶ τοῦ Χριστοῦ, χαλεπῶς ἔφερον τῶν ἑλληνικῶν λήρων τῇ καθαρότητι τῆς πίστεως ἀναμιγνυμένων. οἱ δὲ ὑπερμάχουν τῶν ἰδίων ἐπινοιῶν. τελευταῖον, οἷς ἐχρῶντο πρὸς συνηγορίαν τῆς ἀληθείας, ὡς ἀλλοτρίαις δήπου καὶ ἔξωθεν μαρτυρίαις, τούτοις ὡς ὁμολογουμένοις, προσέθεντο δόγμασι, καὶ τῇ καθολικῇ πεπολεμήκασι πίστει. καὶ
Ἰωάν. ι. ›› ἕως μὲν εὐσεβεῖν αὐτοῖς ἤρεσκε, καλῶς ἤκουον τοῦ ἡμετέρου δεσπότου, ἐγὼ καὶ
Ἰωάν. ιδ. ›› ὁ πατὴρ ἕν ἐσμεν λέγοντος. καὶ ἐγὼ ἐν τῷ πατρὶ, καὶ ὁ πατὴρ ἐν ἐμοί·
Ἰωάν. ιϛ. ›› καὶ πάντα ὅσα ἔχει ὁ πατὴρ ἐμά ἐστιν. ἐπεὶ δὲ πρὸς τὰς πλατωνικὰς ὑπώλισθον φλυαρίας, ἐντεῦθεν καὶ τὸν εὐαγγελικὸν νοῦν διαφθείρειν ἐτόλμησαν. καὶ τρεῖς ἀρχὰς ἐπίθουν εἶναι τῶν ὄντων, φύσει διαφερούσας, θελήσει δ' ὁμοιουμένας. καὶ τὸ μὲν ἀγέννητον τοῦ γεννητοῦ, φύσεως ὑπερ-

χῆ

χὴ προσεπίθουν. τὸ δὲ πάντα συνέχον καὶ ζωοποιοῦν πνεῦμα, ποίημα τοῦ θείου λόγου, καὶ χεῖρον αὐτοῦ, τὸν λῆρον ἐκτείνοντες ἔλεγον. ὥσπερ οἱ περὶ Πλάτωνα, τὸ ἀγαθὸν πρώτην αἰτίαν ἐκάλουν, καὶ φύσει Θεόν. δεύτερον δὲ αἴτιον, τὸν νοῦν· καὶ τούτου ποίημα τὴν ψυχὴν, ἐκ τῆς πρὸς τἀγαθὸν ἐπιστροφῆς αὐτοῦ γινομένην. οὗτοι δὲ οἱ λογισμοὶ, οὐκ Ἄρειον μόνον, καὶ Ὠριγένην, καὶ Εὐσέβιον, ἀλλὰ καὶ τοὺς περὶ Εὐνόμιόν τε, καὶ Μακεδόνιον, καὶ πάντας τοὺς αἱρετικοὺς, τῆς ὀρθῆς ἐξήνεγκαν δόξης. οἷς πᾶσι πηγὴ τῶν φθοερῶν τούτων πομάτων, ἐκ διαδοχῆς Ὠριγένης γέγονε, δεινότητι συγγραμμάτων βοηθήσας τούτοις τοῖς ἀτοπήμασιν. εἰ γοῦν μὴ πρὸς τὴν αὐτὴν τοῖς αἱρετικοῖς ἐκείνοις δυσσέβειαν, ταύταις Αὐγουστῖνος ταῖς ἑλληνικαῖς ἐχρήσατο θέσεσι. τοὐναντίον μὲν οὖν. καὶ ὥσπερ, τὶς δίστομος μάχαιρα, ταῖς αἱρέσεσιν ἐκείναις ἐπῆλθεν, ἔπι τὴν Ἐκκλησίαν τοῖς ἑαυτῶν λυπούσαις λειψάνοις. ἀλλὰ κίνδυνος ἐστὶν οὐ σμικρὸς, ἐκ τοῦ τὸν υἱὸν ἀρχὴν λέγειν τοῦ πνεύματος, ταῖς ὑποθέσεσιν ἀκολουθοῦντας ἐκείναις. ὅπερ Αὐγουστῖνος μὲν δικαίως ἀπήλλακται, σωφρονέστερόν γε ταῖς θέσεσι χρησάμενος ταύταις, ἢ οἱ νῦν αὐτῷ προσέχοντες, χρῶνται. καὶ ἅμα οὔτε φιλονείκως ἀντιποιησάμενος τούτων, οὔτε πρὸς τὴν ἀρχαίαν ὁμολογίαν, οὔτω πολλοῖς περιτεπλικοῖς (ὥσπερ ἡμεῖς νῦν) χρῆσθαι δυνάμενος, πολλῶν καὶ συνόδων καὶ διδασκάλων, τῇ πρώτῃ συναγωνιζομένων ὁμολογίᾳ τῆς πίστεως. καὶ πᾶσαν καινοτομίαν, πονηρὰν καὶ ἀθέμιτον ἀποφαινομένων εἶναι, καὶ ἀτυχῆ νόσον τοῖς ταύτην τολμήσουσι. καὶ τὸν μὲν ἱερὸν Αὐγουστῖνον, ὁ ζῆλος ἐξαιτιᾶται. ὃν ὑπὲρ τῆς πίστεως ἔτρεφε τότε, ἄρτι τῶν ἑλληνικῶν ἀπηλλαγμένος φλυαρειῶν· καὶ αἱ πρὸς τοὺς ἑλληνιστὰς διαλέξεις, ἐν αἷς ἐκ τῶν παρὰ σφίσι δοξῶν αὐτοὺς περιτρέπειν ἐβούλετο, τὴν μεταβολὴν τῆς πίστεως ὀνειδίζοντας. ἴσως δὲ καὶ τὸ τῆς ἱερᾶς Τριάδος μυστήριον, ὑπὸ τοιούτοις τισὶ λογισμοῖς, ἐκεῖνος ἐδέξατο. οὐ πίστει τὴν ἀρχὴν τοῦτο δεξάμενος, καὶ θρέψας ἐν ἑαυτῷ, καθάπερ ἡμεῖς νῦν. ἀλλὰ πρὸς τῇ παρὰ τοῦ κρείττονος χορηγίᾳ, καὶ ταῖς ὑπὸ τῶν λόγων ὁδηγίαις κεκινημένος, οἷς ἐνετέτραπτο. εἰ δὲ καὶ Μανιχαῖος πρότερον ἦν, ὡς ἕτεροι λέγουσιν, οὐδὲν διαφέρει. καὶ Μανιχαῖοι

γὰρ

γὰρ ἄκρως ἦσαν πλατωνικοί, καὶ πρὸς τὴν ἀληθινὴν ἡμῶν πίστιν σχεδὸν οὐδὲν κοινὸν ἔχοντες. ἡμᾶς δὲ νῦν οὐδεὶς ἐξαιτιάσεται λόγος ἐκ τοιούτων τινῶν ὑποθέσεων, ἀθροίζειν τἀληθὲς πειρωμένους, καὶ πάντα αὐταῖς πιστεύειν ἐθέλοντας. ὧν τὸ μὲν ὠφέλιμον, ὀλίγον ἐστί, καὶ οὐκ ἀναγκαῖον. τὸ δὲ βλάπτον, ποικίλον τε καὶ πολυσχιδές, καὶ εἰς τὰ μέγιστα ζημιοῦν, ὡς ἡ τῶν πραγμάτων ἔδειξε πεῖρα. πάντες γὰρ οἱ τῆς ἀληθείας ἔξωρχοι γεγονότες, ἐκ τοιούτων τινῶν δηλητηρίων, τὸν ψυχικὸν ὑπέστησαν θάνατον. εἶτα τὸ μὴ ἐκ τῶν ἔξω λόγων τὴν τῆς πίστεως ἀλήθειαν πρός γε τοὺς ἀντιλέγοντας ἀποδεικνύναι βούλεσθαι, καὶ νῦν ἀνέγκλητον ἐστὶ τοιαύτης ποτὲ παρούσης τῆς χρείας. πιστοῖς δέ, ἀρκεῖ τὸ τῆς θείας διδασκαλίας ἀξίωμα. οὐ γὰρ ἡμᾶς γε τοὺς ἐκ τῆς Ἐκκλησίας πεφωτισμένους, διὰ τὴν Πλάτωνος καὶ Νουμηνίου Τριάδα, εἰς τὴν ἀληθινὴν δεῖ πιστεύειν Τριάδα. ἐπιτευξόμεθα γὰρ ἂν οὕτω Πλάτωνι μᾶλλον, καὶ Πλωτίνῳ, καὶ Νουμηνίῳ· ἢ τῷ τὴν εἰς τὴν Τριάδα πίστιν ἡμῖν καταδείξαντι. καὶ οὕτως ἔδει γ' ἂν ἡμᾶς, οὐκ εἰς πατέρα, καὶ υἱόν, καὶ πνεῦμα ἅγιον· ἀλλ' εἰς τἀγαθόν, καὶ νοῦν, καὶ ψυχήν, βαπτίζεσθαι, μᾶλλον δὲ οὐδὲ βαπτίζεσθαι τὴν ἀρχήν, ἀλλὰ πιστεύειν εἰς ταῦτα μόνον ἁπλῶς. καὶ πρῶτον μὲν αἴτιον, εἶναι τὸν πατέρα. δεύτερον δὲ αἴτιον, τὸν υἱόν· ἐκ τούτου δὲ τοῦ δευτέρου αἰτίου, τὸ πνεῦμα παρῆχθαι, καὶ τὰ τοιαῦτα φρονεῖν. τοιαύτη γὰρ ἦν ἡ παρ' ἐκείνοις Τριάς. οὐδὲν κοινὸν ἔχουσα πρὸς τὴν ἡμετέραν πίστιν, εἰ μή τις βιάζοιτο. διὰ τοῦθ' ὅπερ εἶπον. πρὸς μὲν γυμνασίαν, ἡγητέον τοὺς τοιούτους λόγους εἶναι συμφέροντας. ἐπειδὰν πρὸς τοὺς ὑπεναντίους τῇ πίστει, μετὰ πολλῆς ἀγωνίζεσθαι δέῃ τῆς παρουσίας· ὧν δὲ τὰ ἱερὰ ἐκφαίνουσι λόγια, τούτων ἀνθεκτέον καθάπαξ ἡμῖν ἐστίν. ὡς ἐν τούτοις μόνοις, τῆς ἀναγκαίας ἀληθείας ἀνευρίσκεσθαι δυναμένης, ἐπειδὰν αὐτὴν ἀνιχνεύωμεν. Ἀλλ' ὅτι μὲν ὁ ἱερὸς Αὐγουστῖνος τοῖς ἑλληνικοῖς ἦν ἐντεθραμμένος μαθήμασι, Πλάτωνι δὲ καὶ τοῖς περὶ ἐκεῖνον πλέον τῶν ἄλλων προσέχων, τὰ περὶ τοῦ δευτέρου αἰτίου, καὶ τῆς ἀγάπης, πρὸς τὸν εὐσεβέστερον μετεκέντρισε νοῦν, ἐπείπερ ᾤετο ταῦτα συμφέρειν τῷ δόγματι τῆς ἱερωτάτης Τριάδος, οὐδεὶς ἀντερεῖ, Πλάτωνα, καὶ Νουμηνίους

καὶ

καὶ Πλωτῖνον, καλῶς εἰδὼς, καὶ αὐτὸν Αὐγουστῖνον· ὥσπερ καὶ ἐν πολλοῖς
Πλάτωνι τίθεται· ζημιῶν μὲν, οὐδὲν τὴν πίστιν (οὐ γὰρ φέρουσι πάνυ τά
γε τοιαῦτα πρὸς τὰς πρώτας ὑποθέσεις τῆς πίστεως) ἀσύμφωνα
δὲ τοῖς ἄλλοις διδασκάλοις λέγων. οἳ τῷ ἀξιώματι τῆς ἱερᾶς
διδασκαλίας μᾶλλον, ἢ τοῖς ἀπὸ τοῦ λόγου συμβαίνουσι, προσέχειν
ἠθέλησαν. οἷον ἐστὶν αὐτῷ, καὶ τὸ τῶν σωματικῶν ἁπάντων, μίαν εἶναι
τὴν ἀνείδεον ὕλην· καὶ τὸ τὴν ταύτης δημιουργίαν, μὴ προηγήσασθαι
χρόνῳ, τῆς ταύτης μορφώσεως. ἃ τῆς πλατωνικῆς ἐστὶ θέσεως, καὶ οὐ
τῇ κοινῇ δόξῃ τῆς Ἐκκλησίας συνᾴδει. ὡς δῆλον ἐστὶ τοῖς περὶ τὰ τοι-
αῦτα ἐγγυμνασμένοις καλῶς· καὶ τὸ τοὺς ἀστέρας ἐμψύχους εἶναι. ὅπερ
Ἱερώνυμος μὲν, καὶ σαφέστερον ὡς ἰδίαν τίθησι δόξαν. ὁ δὲ Αὐγουστῖνος,
δοκεῖ μήτε εἰς τοῦτο ῥέπειν καθάπαξ. μήτε εἰς τὴν κοινὴν τῶν διδασκά-
λων ἁπάντων καὶ τῆς Ἐκκλησίας δόξαν. οὐκ ἀνεσχόμενος ἐν τούτῳ τῷ
μέρει, πλέον τι τῇ πίστει χαρίσασθαι, ἢ τοῖς φαινομένοις εὐλόγοις, οἷς ἐνε-
τέθειτο πρό· μὴ σφόδρα τοῦτο ἐπικίνδυνον εἶναι οἰόμενος. Ἀλλ' οἱ παρ'
ἡμῖν διδάσκαλοι, τοῦτο πάντες ἀποῤῥαπίζουσι τὸ δόγμα, εἰς Ἕλληνάς
τε, καὶ Ὠριγένην, καὶ τοὺς περὶ Μάνεντα, ἀποῤῥίπτοντες.

ΚΕΦΑ'ΛΑΙΟΝ ΙΒ.

Ὅτι καὶ Αὐγουστῖνος αὐτὸς μαρτυρεῖ, μὴ εὑρίσκεσθαι φανερῶς ἐν ταῖς γραφαῖς, τὸ πνεῦμα ἀγάπην καλούμενον. καὶ ὅτι τὸ πνεῦμα ἀγάπην μὲν εἶναι ὡς Θεὸν, ἀληθές ἐστιν. ὑποστατικῶς δὲ αὐτῷ τοῦτο προσεῖναι, ὡς ἀγάπην πατρὸς καὶ υἱοῦ, οὔτε ἀναγκαῖόν ἐστιν, οὔτε ὑπ' οὐδενὸς τῶν ἄλλων διδασκάλων βεβαιοῦται. καὶ ὅτι ἄλλα τε συμβήσεται, καὶ τὸ τὸν πατέρα καὶ τὸν υἱὸν, εἶναι δύο ἀρχὰς, εἰ τὸ δόγμα τοῦτο κρατοίη.

Ὅτι δὲ τὸ πνεῦμα τὸ ἅγιον, οὐχ εὑρίσκε φανερῶς Αὐγουστῖνος τὴν ἱερὰν γραφὴν τῷ τῆς ἀγάπης προσαγορεύουσαν ὀνόματι, ἀλλ'

ἔκ τινος εἰκασίας τὴν τοιαύτην ἐν ἑαυτῷ συνέλαβε γνώμην, ἐπὶ τοὺς
λογισμοὺς ἐκείνους εἰς τὸν πρόσθεν χρόνον κατήλειπτο, δύνασθαί πως πρὸς
τὴν καθ' ἡμᾶς ἀλήθειαν φέρειν ἐνόμισε, δῆλον ἐστὶν, ἐξ ὧν ἐν .ιε. τοῦ
περὶ Τριάδος φησίν. ἐν ᾧ περὶ τοῦ πνεύματος, ὅπως τῷ τῆς ἀγάπης
Αὐγουστ. » νοεῖται ὀνόματι, πραγματεύεται. ἐκεῖ γὰρ οὕτω φησίν. Ἵνα δὲ ἡμᾶς ὁ
» θεῖος λόγος γυμνάσῃ, οὐκ εἰς πρόχειρον κείμενα πράγματα, ἀλλ' ἐν
» ἀποκρύφῳ ἐρευνητέα, καὶ ἐξ ἀποκρύφου ἐξερευνητέα, μείζονι ἀγῶνι πεποίηκε
» ζητεῖσθαι. οὐ γὰρ εἶπεν ἡ γραφὴ, ὅτι τὸ πνεῦμα τὸ ἅγιον, ἀγάπη ἐστίν.
» εἰ γὰρ τοῦτο εἰρήκει, οὐ μικρὸν ἂν εἷλε μέρος τοῦδε τοῦ ζητήματος. ἀλλ'
» εἶπεν, ὁ Θεὸς ἀγάπη ἐστίν. εἶτα κατασκευάσας, ἐπάγει. οὕτω μὲν οὖν
» ταῦτα νενόηται. καὶ ὁπόσον ἡμῖν ἐν τηλικούτοις πράγμασιν ἰδεῖν, ἢ χα-
» ράσασθαι, συγκεχώρηται· ἀληθῆ ὄντα ἀνεφάνη. καὶ πάλιν. Ἀλλ' ὁ μὲν
» λόγος τοῦ Θεοῦ, τουτέστιν ὁ μονογενὴς υἱὸς τοῦ Θεοῦ, φανερῶς εἴρηται τοῦ Θεοῦ
Κορινθ. α. » σοφία, τῷ ἀποστολικῷ ὀνόματι, ἔνθα φησί. Χριστὸν Θεοῦ δύναμιν καὶ Θεοῦ
Κεφάλ. α. » σοφίαν. τὸ δὲ πνεῦμα τὸ ἅγιον, ποῦ ποτε εἴρηται ἀγάπη; εὑρίσκομεν εἰ
» ἄνπερ ἐπιμελῶς τῷ τοῦ ἀποστόλου Ἰωάννου λογίῳ προσέχωμεν. ὅς εἰπὼν,
Ἰωάν. ἐπιστ. » Ἀγαπητοὶ ἀγαπῶμεν ἀλλήλους, ὅτι ἡ ἀγάπη ἐστὶν ἐκ τοῦ Θεοῦ· ἑπο-
α. Κεφ. δ. » μένως συνῆψεν, ὅτι καὶ πᾶς ὁ ἀγαπῶν, ἐκ τοῦ Θεοῦ ἐγεννήθη. ὁ δὲ μὴ ἀγα-
» πῶν, οὐκ ἔγνω τὸν Θεὸν, ὅτι ὁ Θεὸς ἀγάπη ἐστί. Ἐκ τούτων τοίνυν τῶν
Ἰωάν. ἐπιστ. » ἀποστολικῶν ῥήσεων, καὶ ἐξ ὧν εὐθὺς ἐπήγαγεν ὁ ἀπόστολος, Ἐν τούτῳ γι-
α. Κεφ. α. » νώσκομεν ὅτι ἐν αὐτῷ μένομεν, καὶ αὐτὸς ἐν ἡμῖν, ὅτι ἐκ τοῦ πνεύματος
αὐτοῦ δέδωκεν ἡμῖν. ἐστοχάσατο (καθάπερ αὐτός φησι) τὸ πνεῦμα τὸ ἅ-
γιον εἰδικῶς εἶναι ἀγάπην. εἰς τοῦτο δὲ καὶ τὸ ἀποστολικὸν ἐκεῖνο φέρειν ἐνό-
Ῥωμα. ε. » μισεν, Ἡ ἀγάπη τοῦ Θεοῦ ἐκκέχυται ἐν ταῖς καρδίαις ἡμῶν, διὰ πνεύ-
» ματος ἁγίου, τοῦ δοθέντος ἡμῖν. ταῦτα δὲ οὐδεὶς τῶν παρ' ἡμῖν διδα-
σκάλων, οὕτως ἐκλαβόμενος φαίνεται, ὡς δῆλον ἐστὶν ἐν ταῖς εἰς τὰς ἐπι-
στολὰς αὐτῶν ἐξηγήσεσιν. ὅτι δὲ εἰ καὶ βαθυτέρας ἔχεται διανοίας, καὶ σο-
φὸς ἐστὶν ἱκανῶς ὁ τοῦ διδασκάλου σκοπός, ἀλλ' οὔτε λίαν ἐστὶν ἀναγ-
καῖος, καὶ ὡς ἀληθῶς ἐξ ἀποκρύφου τινὸς (ὡς αὐτός φησιν) ἐξενηνεγμένος,
καὶ ἔτι μένων ἐν ἀποκρύφῳ. οὐ γὰρ τὸ τῆς ἱερᾶς διδασκαλίας φῶς αὐτοῖς

περι-

περιλάμπει. ὥσπερ ἐπειδὰν ὁ τοῦ Θεοῦ λόγος, Θεοῦ δύναμις, καὶ Θεοῦ » Κορινθ. α
σοφία καλεῖται. ἐγὼ μὲν οὖν οὐκ ἂν φαίην, τῇ πρὸς ἐκεῖνον αἰδοῖ. ἄλλος » Κεφάλ. α
δ' ἄν τις ἐπιδεικνύναι τοῦτο θελήσας, οὐκ ἂν ἠπόρησε λόγων, αὐτῇ τε τῇ γραφῇ, καὶ τοῖς ἄλλοις διδασκάλοις οἷον ἐπερειδόμενος. καίτοι μέχρι μὲν τούτου χαλεπὸν οὐδὲν συμβαίνει τῷ λόγῳ. τί γὰρ δεινόν, εἰ τὸ πνεῦμα δοίημεν εἶναι ἀγάπην, ὡς τῆς ἀγάπης ἐν ἡμῖν αἴτιον· καίτοι τῆς μακαρίας Τριάδος, κοινῶς τῷ τῆς ἀγάπης καλουμένης ὀνόματι. ἐπειδὰν ὁ Θεὸς ἀγάπη καλῆται, ὡς ἐξ ὅλης ἡμῖν τῆς Τριάδος τοῦ τῆς ἀγάπης ἐμφυτευομένου καλοῦ, καὶ τῆς τοῦ πνεύματος ἐνεργείας, κοινῆς οὔσης υἱοῦ τε καὶ πνεύματος. τὸ δὲ καὶ ἐντεῦθεν ἐκ τοῦ υἱοῦ προϊέναι τὴν τοῦ πνεύματος ὑπόστασιν λέγειν, τουτέστιν ὑφίστασθαι, ὡς μὴ μόνον ἀγάπης οὖσαν αἰτίαν ἡμῖν, καὶ αὐτοαγάπην, ἀλλὰ καὶ ἀγάπην πατρὸς καὶ υἱοῦ, ᾗπερ ἀλλήλους ἀγαπῶσιν ἐκεῖνοι, προϊοῦσαν ἀφ' ἑκατέρου πρὸς ἑκάτερον. πλὴν ἐκ μὲν τοῦ πατρὸς, ὡς διδομένην πρῶτον. ἐκ δὲ τοῦ υἱοῦ, ὡς ἀνταποδιδομένην. τοῦτο καὶ λίαν ἐστὶ φορτικὸν, καὶ οὐδαμόθεν ἔχον τὴν τῆς ἀληθείας ἀνάγκην, πλὴν τοῦ, τὸν Αὐγουστῖνον οὕτως εἰπεῖν. ἐξέστω γὰρ ἡμῖν ἔτι τοῖς τῆς ἀντιπαραστάσεως λόγοις κεχρῆσθαι. ὡς οὕτως εἰπόντος καὶ νοήσαντος Αὐγουστίνου, ὡς αὐτοὶ σήμερον οἱ Λατῖνοι, τοῦτον νοῆσαί τε καὶ εἰπεῖν, λέγουσι. ποῦ γὰρ ἄν τις εὕροι ἐν ταῖς ἱεραῖς βίβλοις, φανερῶς τοῦτο λεγόμενον, ὅτι τὸ πνεῦμα τὸ ἅγιον, ἀγάπη τίς ἐστιν ἀμοιβαία πατρὸς καὶ υἱοῦ; καὶ οὕτως ἐξ ἀμφοῖν τούτων ὑφισταμένη, καὶ ὡς τούτῳ ἀγαπῶσιν ἀλλήλους; ἢ ποῦ τῶν ἱερῶν θησαυρῶν κρυπτόμενον τὸ δόγμα τοῦτο, διέλαθε τοὺς ἄλλους διδασκάλους, οἳ πάντα καλῶς ἀνερεύνησαν; ποῦ δὲ καὶ εὔλογον ἐστὶ τοῦτο, ὅσον ἐκ τῶν τῆς πίστεως ὑποθέσεων; ὡς γὰρ προεπινοεῖται τοῦ υἱοῦ ὁ πατὴρ, οὕτως ἂν δέοι καὶ τὴν ἀγάπην, ᾗ τὸν υἱὸν ὁ πατὴρ ἀγαπᾷ, τῆς ἀγάπης ᾗ ὁ υἱὸς τὸν πατέρα ἀνταγαπᾷ, προεπινοεῖσθαι. ἀλλὰ τὸ πνεῦμα οὐκ ἄν ποτε ἑαυτοῦ προεπινοηθείη. τί δὲ ἐκώλυεν καὶ πνέειν ἀλλήλους τῷ πνεύματι, διότι πνεῦμα ἀμφοῖν ἐστὶ, καθάπερ ἀγαπῶσιν ἀλλήλους, ὅτι ἀγάπη τοῦτο ἀμφοτέρων ἐστίν; εἰ δὲ πνεῦμα μὲν ἐστὶν ἀμφοῖν, ὡς πνεόμενον ἐξ ἀμφοῖν· ἀγάπη δὲ ἐστὶν ἀμφοτέρων, ὡς οὐκ ἀγαπώμενον ἐξ ἀμ-

 φοῖν.

φοῖν. ἀλλ᾽ ὡς ᾧ ἀγαπῶσιν ἀλλήλους, τούτου τις ἂν ἐγγυήτερον ἀξιόχρεως ἔκγε τῶν ἱερῶν λογίων δύναται εἶναι, καὶ οὐκ ἐκ τῆς ἰδίας εἰκασίας, παρ᾽ ἧς οὐδεὶς ἂν ἰσχυρίσαιτο; πῶς δὲ καὶ ἐκ τοῦ τὸ πνεῦμα ἀγάπην εἶναι πατρὸς καὶ υἱοῦ, ἀναγκαίως ἀκολουθήσει τὸ πνεῦμα ἐκ τοῦ πατρὸς ἅμα καὶ τοῦ υἱοῦ τὴν ὕπαρξιν ἔχειν, καὶ ἐξ ἀμφοτέρων ὑφίστασθαι; ἀγαπῶσι μὲν γὰρ ἀλλήλους ἴσως τῷ πνεύματι, ὡς οὐκ ἀρκούσης αὐτοῖς τῆς φύσεως καὶ τῆς ἰδιότητος τὸν σύνδεσμον ἐκεῖνον καὶ τὸν ἔρωτα τίκτειν. ἀλλὰ τίς εἶπε ποτὲ, τὸ εἶναι τῷ πνεύματι, τοῦτ᾽ αὐτὸ εἶναι τὸ δι᾽ αὐτοῦ τὰς ὑποστάσεις ἐκείνας ἀνταγαπᾶσθαι; οὔτε γὰρ ἀναγκαῖον, καὶ ἅμα ἀδύνατον ἐστίν· οὐδὲ γὰρ τοῦτο ἐστὶ τὸ εἶναι τὸν πατέρα καὶ υἱόν, τὸ ἀλλήλους ἀνταγαπᾶν· ἔδει δὲ εἴπερ ἐκεῖνο ἦν, καὶ τοῦτο εἶναι ὁμοίως. καὶ πρὸς τούτοις ὁ πατὴρ ἀγαπᾷ καὶ τὸ πνεῦμα, οὐχ ἧττον ἢ τὸν υἱόν. ἀλλ᾽ οὐκ ἀγαπᾷ αὐτὸ ἑαυτῷ· οὐδὲ γὰρ ὑφίστησι δίς. καὶ ἅμα οὐδὲ τὸν υἱὸν ἑαυτῷ ἠγάπα· οὐκοῦν ἑτέρῳ τινί. καὶ εἰ τῷ υἱῷ, ὁ υἱὸς ἔσται τὸ πνεῦμα, εἴπερ ἀγάπη τὸ πνεῦμα. καὶ ἅμα ὁ υἱὸς, δίς τε ὑποστήσεται, καὶ γεννήσεταί τε ἐκ πατρὸς μόνου, καὶ ἐκ πατρὸς καὶ πνεύματος ἄλλον τρόπον πνευθήσεται. εἰ δὲ ἑτέρῳ τινὶ τὸ πνεῦμα ἀγαπήσῃ, καὶ ἕτερον ἔσται πνεῦμα καὶ πρόσωπον· καὶ τοῦτο ἐπ᾽ ἄπειρον· τὰ αὐτὰ δὲ καὶ τοῦ υἱοῦ πνεῦμα ἀγαπῶντος, συμβήσεται. ἔτι δὲ καθάπερ νοῶν ὁ πατὴρ τὴν ἰδίαν οὐσίαν, συλλαμβάνει τὸν λόγον. οὕτω θέλων αὐτήν, συλλαμβάνει τὸ ἅγιον πνεῦμα, Λατίνων ἐστὶ καὶ τοῦτο ὑπόθεσις· καὶ ἡ αὐτὴ ἐστὶ νόησις, ᾗ καὶ ἑαυτόν, καὶ τὸν λόγον αὐτοῦ, καὶ τὸ πνεῦμα, νοεῖ. εἰ καὶ μὴ ἑαυτὸν τῇ νοήσει ταύτῃ παράγει. ὥσπερ τῇ αὐτῇ θελήσει, καὶ ἑαυτόν, καὶ τὸν λόγον αὐτοῦ, καὶ τὸ πνεῦμα τὸ ἅγιον, θέλει καὶ ἀγαπᾷ, εἰ καὶ μὴ ἑαυτὸν τῇ θελήσει ταύτῃ παράγει, μήτε τὸν υἱόν. ὥσπερ οὖν ἡ νόησις ἐκείνη, προεπινοεῖται μὲν τῆς ὑποστάσεως τοῦ υἱοῦ τῷ τῆς ἀρχῆς λόγῳ, προεπινοεῖται δὲ τῆς θελήσεως τῷ λόγῳ τοῦ ἀριθμοῦ, καὶ τῆς τάξεως (οὐ γὰρ ἥγε νόησις παράγει τὴν θέλησιν ἐν πατρί) οὕτω καὶ ἡ τῆς θελήσεως ἐκείνη πρόοδος τῆς ὑποστάσεως, προεπινοεῖται τῆς νοήσεως. ἀλλ᾽ οὔτε ἡ νόησις ὑφίστησι τὴν θέλησιν ἐν πατρί, οὔτε ὁ τῇ νοήσει παρηγμένος υἱός, τοῦ τῇ θελήσει παρηγμένου πνεύματος,

ἐστὶ

ἐστὶν αἴτιος. ἀλλ' ἔστι μόνον τοῦ υἱοῦ τὸ πνεῦμα, ὥσπερ καὶ ἡ θέλησις οὐ πατρὸς, θέλησις ἐστὶ τοῦ υἱοῦ. πῶς δὲ καὶ ἀρκούντως ὁ πατὴρ προάξει τὸ πνεῦμα ἐξ ἑαυτοῦ, εἴπερ ἀμοιβαῖος ἐστὶν ἔρως αὐτό; δεῖ γὰρ ἀνίσχειν μὲν ἐκ πατρὸς τὴν ἀρχὴν τὸν τοιοῦτον ἔρωτα. ἀντανίσχειν δὲ ἐκ τοῦ υἱοῦ τὸν αὐτὸν, καὶ ἀνταποδίδοσθαι. καὶ τούτου χωρὶς, οὐκ ἂν ἀμοιβαῖος εἴη. δεήσει τοίνυν ἐξ ἀνάγκης καὶ τὸν υἱὸν πνεῦσαι τὸ πνεῦμα, ἵνα τὸ πνεῦμα τελείως ᾖ προηγμένον. καὶ τούτου χωρὶς, οὐκ ἂν τελείως προάγοιτο. ἀλλὰ τοῦτο ἀδύνατον. ἱκανῶς γὰρ καὶ τελείως ὁ πατὴρ τοῦτο προάγειν δύναται, καὶ προάγει. οὐδὲ γὰρ ἧττον ἐστὶν ἡ τῆς θελήσεως γονιμότης (ὡς αὐτοὶ φασὶν) ἢ ἡ τῆς νοήσεως ἐν πατρί. οὐδὲ τὸ πνεῦμα ἧττον πρὸς τὸν πατέρα, ἢ ὁ υἱὸς πρὸς αὐτὸν ἀναφέρεται. ἐπεὶ δὲ ἡ μὲν ἀμοιβαία ἀγάπη, δύο προϋποτίθησιν ὅρους. ὧν μεταξὺ στρέφεται διδομένη τε, καὶ ἀνταποδιδομένη. καὶ αὐτὴ τοὐλάχιστον τῷ λόγῳ διῃρημένη ἐστὶν, ὡς εἰς διάφορα τείνουσα. ἀγαπῶσι δὲ ἀλλήλους ὁ πατήρ τε καὶ ὁ υἱὸς διακεκριμένοι ὄντες, αὐτοί τε ἔσονται δύο ἀρχαὶ τοῦ πνεύματος, ὡς δι' ἀλλήλων τοῦτο προάγοντες, καὶ τὸ πνεῦμα διῃρημένον ἔσται τῷ λόγῳ. εἰ δὲ δύο ὄντες, οὐ μόνον ἔχουσι θέλησιν, ἥτις ἐστὶν ἐν αὐτοῖς ἀρχὴ τοῦ προβάλλειν, ἀλλ' αὐτοὶ μὲν δύο ὄντες, ἀρχαὶ δύο ἔσονται. ἡ δὲ μία θέλησις ἐν ἀμφοῖν, μία ἔσται ἀρχή. ἢ αὗται αἱ δύο ἐνεργοῦσιν ἀρχαί. οὐδὲν δὲ διαφέρει πρός τὸ μὴ δύο εἶναι ἀρχὰς προαγούσας, τὸ μίαν εἶναι τὴν τοῦ προάγειν ἀρχὴν, ἕως ἂν διακεκριμένα ᾖ τὰ προάγοντα. οὐ γὰρ εἰ ὡδὶ μὲν εἰσὶ δύο ἀρχαὶ ὁ πατὴρ καὶ ὁ υἱὸς, δεινὸν, εἰ δὲ ὡδὶ, οὐκ ἔστι δεινόν. ἀλλ' ὅπως ἂν ὦσι δύο ἀρχαὶ, δεινὸν ὁμοίως ἐστίν. ἔπειτα καὶ ἐν πάσῃ δυάδι, ἔστι τι καὶ ἑνιαῖον εὑρεῖν, καὶ κοινόν. ἀλλ' οὐ διὰ τοῦτο δύο εἶναι τὰ δύο κωλύεται. ὥσπερ καὶ εἴ τις λέγῃ, τρεῖς ἀρχὰς εἶναι τῆς κτίσεως τὰς θείας τρεῖς ὑποστάσεις, οὐχὶ καὶ πάντα λόγον ἑνότητος ἐξ αὐτῶν ἀναιρεῖ. οὐδὲ γὰρ ὡς Ὠριγένης, καὶ Ἄρειος, ἀναιρεῖν καθάπαξ ἠδύναντο. οὐδὲ τὸ „ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν ἠγνόουν καθάπαξ. (Ἰωάν. ι.) οὕτω τοίνυν καὶ εἴ τις ἀναγκάζοιτο λέγειν δύο ἀρχὰς προαγαγούσας εἶναι τὸ πνεῦμα, τὸν πατέρα καὶ τὸν υἱόν, ὡς δὴ δύο ὑποστάσεις, λέγοι δέ τι καὶ ἐν αὐταῖς κοινὸν εἶναι, καὶ ἕν, ᾧ δὴ καὶ μία ἀρχὴ δύναι-

ται λέγεσθαι, οὐκ ἂν φεύγοι τὸ δύο τιθέναι ἀρχάς. τὸ μὲν γὰρ κοινὸν ἐκεῖνο, μία ἀρχὴ ἔσται, τῷ γε οἰκείῳ τῆς ἀρχῆς τρόπῳ. αὗται δὲ αἱ ὑποστάσεις δύο ἀρχαὶ ἔσονται, τῷ γε οἰκείῳ τῆς ἀρχῆς τρόπῳ, τουτέστιν ὡς ἀρχαὶ προάγουσαι. εἰ καὶ μία ἐστὶν ἐν αὐταῖς ἡ τοῦ προάγειν ἀρχή. ἡμῖν δὲ ἄτοπον εἶναι δοκεῖ δύο ἀρχὰς ἐν τοῖς θείοις εἶναι τὰς προαγούσας, κἄν τε μιᾷ δυνάμει προάγωσι, κἄν τε δυσί. καὶ χεῖρον μὲν ἂν καὶ δυσὶ δυνάμεσι, φαῦλον δ' ὅμως, εἰ καὶ μιᾷ. τὸ δὲ τοὺς τῆς ἀρχῆς τρόπους ἐκεῖ συνάγειν πραγματικῶς, καίτοι πάντα ἐκεῖ πραγματικῶς ἕν εἰσιν, ἀλλ' ὅμως ἀσύγχυτα τά τε τῆς ἑνότητος καὶ τοῦ πλήθους διαφυλάττεται· καὶ πάλιν ὥσπερ ἐκ μεταμέλου διαιρεῖν καὶ τὸ κράτος ἀποδιδόναι τῇ τοῦ προάγειν ἀρχῇ, κἀκεῖθεν τὸν τῆς ἑνότητος καὶ τοῦ πλήθους ἐξαρτᾶν λόγον, τὰς δὲ ὑποστάσεις ὡς παρέλκον τι χρῆμα ποιεῖν, πάντα φυρόντων ἐστὶ καὶ οὐδὲν λεγόντων σαφές. οἷον ἐστὶ Λατίνοις, καὶ τὸ προβάλλειν τὸν πατέρα καὶ τὸν υἱὸν, οὔτε καθὸ εἰσὶν εἷς, οὔτε καθὸ εἰσὶ δύο. ἀλλὰ καθόσον δύο εἷς. ὅπερ εἰς Ἀλέξανδρον τινὲς ἀναφέρουσιν. ἀλλὰ μὴν οὐδὲ εἰς παράδειγμα δεῖ τὴν δημιουργικὴν ἕλκειν δύναμιν. ἧς τρισὶ προσώποις ἐνυπαρχούσης, ὅμως μία εἰσὶν ἀρχὴ, ταῦτα τῆς κτίσεως. ἡ γὰρ δύναμις αὕτη, οὐχ ὡς τρισὶν ἐκείνοις ὑπάρχει, ἀλλ' ὡς ἑνί. ὁ γὰρ Θεὸς ἐστὶν ὁ δημιουργῶν. ὃν ἰδιότησιν εἰς Τριάδα διαιρεῖσθαι πιστεύομεν, ἀδιαιρέτως. κἀντεῦθεν αἱ τρεῖς ὑποστάσεις, μιᾷ δυνάμει δημιουργεῖν λέγονται. καὶ εἷς εἶναι δημιουργός· ἐνταῦθα δὲ ἡ τοῦ προβάλλειν δύναμις, κατὰ τὴν κοινὴν καὶ ἀμοιβαίαν αὐτοῖς ὑπάρχουσαν θέλησιν, ὅλην μὲν τὴν θείαν φύσιν οὐ προσκαλεῖται. οὐ γὰρ δὴ τὸ πνεῦμα τὸ ἅγιον τὴν τοιαύτην ἔχει δύναμιν. πατρὶ δὲ καὶ υἱῷ, οὐχ ὡς ἑνὶ πρόσεστιν. ὁμονοητικὴ γὰρ θέλησις κατὰ τοὺς οὕτω λέγοντας, καὶ ἔρως ἀμοιβαῖός ἐστι· ταῦτα δὲ ὑποστάσεις τινὰς διακεκριμένας ζητοῦσιν, ἐν αἷς ἂν ἡ τοιαύτη κοινωνία, ἢ ὁμόνοια φαίνοιτο.

ΚΕΦΑΛΑΙΟΝ ιγʹ.

Περὶ τῆς ἐν ἡμῖν εἰκόνος τοῦ Θεοῦ, κατά τε τὴν μνήμην, τὴν νόησιν, καὶ τὴν θέλησιν. ὅτι εἰ καὶ πρὸς ἄλλα ἐστὶ χρήσιμος, ἀλλὰ πρὸς τὴν τῶν Λατίνων νῦν ζήτησιν, οὐδεμίαν ἀνάγκην ἔχει. καὶ ὅτι τό, πάντα αὐτῇ καὶ ταῖς ἄλλαις εἰκόσι πιστεύειν, καὶ εἰς πάντα χρῆσθαι, ἀνατρέπει τὴν πίστιν. καὶ ὅτι τοῦτο καὶ Αὐγουστίνῳ καὶ τοῖς ἄλλοις διδασκάλοις οὕτω δοκεῖ.

Ταῦτα μὲν οὖν δι' ἀκριβείας ὕστερον ἐξετασθήσεται. ἀλλὰ νῦν ἀρκεῖ τοσοῦτον εἰπεῖν, ὅτι καὶ Αὐγουστῖνος τὸ πνεῦμα καλεῖ, καὶ ἀμοιβαίαν ἀγάπην πατρὸς καὶ υἱοῦ· καὶ κοινὴν θέλησιν, καὶ κοινὸν ἔρωτα τοῦτο λέγουσιν, οἱ τοῖς Αὐγουστίνου λόγοις προσέχειν φιλοτιμούμενοι. καὶ διὰ τοῦτο πιστεύουσιν ἐξ ἀμφοῖν ὁμοίως προέρχεσθαι. ὥστε καὶ πᾶσι λόγοις χαίρειν εἰπόντες οἱ νεώτεροι τῶν παρὰ Λατίνοις διδασκάλων, καὶ μείζω δόξαν ἐπὶ σοφίᾳ τῶν πρὸ αὐτῶν ἔχοντες, ὡς δὴ βαθυτέρας γεγονότες φρενός, ἐκ ταύτης μόνης τῆς θέσεως Αὐγουστίνου, ἀρκούντως ἡγοῦνται τὸ πρόβλημα συμπεραίνειν. καὶ πανταχοῦ τῇ μνήμῃ, καὶ τῇ νοήσει, καὶ τῇ θελήσει χρῶνται, ἐπειδὰν περὶ τῶν θείων προσώπων καὶ τάξεως αὐτῶν καὶ προόδων βούλωνται διαλέγεσθαι. καὶ καλῶς ἂν ἐποίουν, εἰ μὴ παραδείγματα ταῦτ' ἦν ἐκ τῶν ἀνθρωπίνων, πρὸς παραμυθίαν τοῦ ἡμετέρου νοῦ περὶ τῶν ὑπερφυῶν ἐκείνων ἀμηχανοῦντος πραγμάτων, λαμβανόμενα· ἀλλὰ θέσεις τινὲς τῆς ἱερᾶς ὑπῆρχον γραφῆς· καὶ τοῦτο αὐταῖς προσκείμενον ἦν. ὅτι τοῖς παρ' ἡμῖν ὁμοίως ἔχει τὰ ἐν τοῖς θείοις, καὶ διὰ τοῦτο τὰ αὐτὰ καὶ ἐπ' ἀμφοτέρων δεῖ συμπεραίνειν. οὕτω γὰρ ἂν δικαίως ἡμῖν ἐπῄει, μηδὲν ἄλλο περὶ τῶν θείων ὑπολαμβάνειν προσώπων, εἰ μὴ ὅσαπερ τῇ μνήμῃ, καὶ τῇ νοήσει, καὶ τῇ θελήσει, συμφέρει. καθὼς ἐφ' ἡμῖν ταῦτ' ἔχειν διαγινώσκεται. ἐπεὶ δὲ ἡ μὲν ἱερὰ γραφή, οὐδαμοῦ τὸν Θεὸν καὶ πατέ-

ρα

ρα μνήμην εἶναι λέγει, καὶ νόησιν τὸν υἱόν, καὶ θέλησιν ἢ ἀγάπην τὸ πνεῦμα τὸ ἅγιον. Αὐγουστῖνος δὲ μόνον πρὸς φανέρωσιν τῆς ἀληθείας, ὅσον ἐν τῷδε τῷ αἰνίγματι δύναται φανερωθῆναι, καὶ πρὸς διδασκαλίαν τῶν λόγων τινὰ περὶ τηλικούτων ἀπαιτούντων πραγμάτων, τὴν εἰκόνα ταύτην ἐκ τῶν καθ' ἡμᾶς πραγμάτων λαβών, τοῖς θείοις προσήρμοσε. καὶ τινα τῶν ἱερῶν λογίων πρὸς τὴν εἰκόνα ταύτην μεθ' ὑπερφυοῦς ἐπισπασάμενος μηχανῆς. φαῦλον τί ποιοῦσιν, οἱ νῦν προσεπεξεργαζόμενοι τὴν εἰκόνα ταύτην, καὶ τὴν σύμπασαν περὶ τῆς Τριάδος πίστιν, ἐπὶ ταύτης ἱδρύοντες, ὡς μηδὲν τῆς εἰκόνος εἶναι ταύτης νομίζειν, ὃ καὶ μὴ τοῖς πράγμασιν ἁρμόσειεν ἄν· καὶ οὐ μόνον κινδυνεύουσιν ἐν τῷ τῶν παραδειγμάτων πελάγει, τοῦ λιμένος τῆς ἱερᾶς γραφῆς ἀφιστάμενοι. ἀλλὰ καὶ τὴν θείαν ἀδικοῦσι φύσιν, τῇ φυσικῇ γνώσει ταύτην προπετῶς ὑποβάλλοντες. τὴν γὰρ ἐν ἡμῖν Τριάδα ταύτην, ὁ φυσικὸς ἀνιχνεύει λόγος καλῶς· εἰ γοῦν τῇ ὑπεροχῇ μόνον διοίσει τῆς φύσεως, ἡ οὐράνιος ἐκείνη καὶ ὑπὲρ πᾶσαν οὐσίαν Τριάς, τὰ δὲ περὶ τάξεως, καὶ προόδου, καὶ διαφορᾶς, ὁμοίως ἕξει καθάπερ τῇ ἡμετέρᾳ ταύτῃ Τριάδι, τί λοιπὸν ἡμῖν ἄρρητον καὶ ἀνενόητον ἐκείνης ἔσται; ἐκ γὰρ τῆς εἰκόνος ταύτης προσλαμβάνοντες πάντα, προστιθέντες δὲ μόνον τὴν διαφοράν, ὅτι τὰ παρ' ἡμῖν ἕκαστα, τὰ αὐτὰ ἐστὶν ἐκεῖ μετὰ μείζονος τῆς θειότητος, ὡς δὴ ἀπείρῳ τε καὶ ἀσωμάτῳ προσήκει φύσει· ἅπαν δὴ τὸ κατὰ τὴν μακαρίαν Τριάδα εἰσόμεθα· τοσοῦτον οὐ δυνάμενοι περὶ ἐκείνης εἰδέναι, ὅσον καὶ περὶ τῆς ἡμετέρας ἀμφιγνοοῦμεν ψυχῆς· ἐπειδὰν αὐτὴν τῷ φυσικῷ λόγῳ σκοπῶμεν, ὅτι μὴ καὶ σωματικαῖς ὄψεσιν ἐμβλέπειν ταύτην δυνάμεθα. ἀλλὰ τοῦτο ψεῦδος ἐστίν. οὐ δὲ μία γὰρ εἰκὼν ἐκ τῶν κτιστῶν εἰλημμένη πραγμάτων, μὴ ὅτι γε πρὸς τὴν τοῦ Θεοῦ γνῶσιν, ἀλλὰ καὶ πρὸς τὴν ἐκ τῶν γραφῶν εἴδησιν ἡμῖν ἐξαρκεῖ· ἀλλ' ἣν ἂν εἴποις εἰκόνα, ἔχει μὲν τὶ σύμφωνον τῇ τῶν γραφῶν διδασκαλίᾳ· πολλῷ δὲ πλέον τὸ διάφορον κέκτηται· ὃ τοῖς γε μὴ δυναμένοις ἐκκαθαίρειν καὶ ἀπορρίπτειν, οὐ μᾶλλον πρὸς ἐπίτευξιν τῆς ἀληθείας, ἢ πρὸς ἀπόπτωσιν ἡ εἰκὼν τελευτήσει· καὶ τί δεῖ τοῦτο περὶ τῶν εἰκόνων λέγειν, αἷς Αὐγουστῖνος, ἢ ἄλλος τὶς

τῶν διδασκάλων, πρὸς φανέρωσιν τῆς θείας διδασκαλίας ἐχρήσατο, τῇ τῶν ἀνθρώπων πολυπραγμοσύνῃ συγκαταβάς· ὅπου γε καὶ ἅπερ ἡμῖν ἡ ἱερὰ διδασκαλία παρατίθησι, καὶ διὰ τοῦτο ἐξ ἀνάγκης ἡμῖν ταῦτα πιστεύεταί τε καὶ λέγεται· καὶ τούτων εὐλαβῶς πάνυ καὶ φειδομένως ἀκούειν δεῖ, καὶ πάντα θεοπρεπῶς, καὶ ταῖς ἀρχαῖς τῆς πίστεως οἰκείως νοεῖν· εἰ γὰρ καὶ μὴ λέγει μνήμην, καὶ νόησιν, ἡ γραφὴ, ἀλλὰ πατέρα φησὶ, καὶ υἱόν· τίνα οὖν ἐκ τῶν σωματικῶν καὶ προσκαίρων εἰκόνα πρὸς μετρίαν κατανόησιν, τῶν ὀνομάτων τούτων παραληψόμεθα, εἰ μὴ τὴν ἀνθρωπίνην γέννησιν; ἐν ᾗ πρῶτον ἡμῖν καὶ μόνον τὸ τῆς πατρότητος καὶ υἱότητος ὄνομα γέγονε δῆλον· ἀλλὰ πλὴν τῆς κατὰ φύσιν ὁμοιότητος καὶ τῆς αἰτίας, οὐδὲν ἕτερον ἔξεστιν ἡμῖν ἐκ τῆς ἀνθρωπίνης παραλαμβάνειν γεννήσεως, πρὸς τὴν ἀΐδιον ἐκείνην καὶ ἀσώματον πατρότητα καὶ υἱότητα. ἀκούομεν δὲ καὶ μείζω τοῦ υἱοῦ τὸν πατέρα τῆς γραφῆς διδασκούσης. ἀλλ' οὔτε μεγέθει νοοῦμεν ἐκεῖ τὸ μεῖζον, οὔθ' ὅλως ποσότητι. οὔτε φύσεως ἀξιώματι. ἀλλὰ τούτῳ αὐτῷ τῷ εἶναι πατέρα μόνον· καίτοιγε ἐν ἀνθρώποις, ὁ πατὴρ πότε τοῦ υἱοῦ μείζων ἐστὶν ἁπάσῃ μεγαλειότητι. ἐῶμεν δὲ τό γε νῦν ἔχον σκοπεῖν, εἰ καὶ ἄλλως ἐξηγοῦνται τὸ ἀποστολικὸν ἐκεῖνο ῥητόν. καὶ ποτέρα τῶν ἐξηγήσεων βελτίων ἐστί· Ταῦτα δὲ τοῖς οὐ βουληθεῖσιν ἀκούειν καλῶς, ἀλλὰ πάντα καθ' ὁμοιότητα τῶν τῇδε πραγμάτων ἐν τοῖς θείοις τιθεῖσιν, αἱρέσεων προφάσεις γεγόνασιν· οἱ βουλόμενοι μὲν προσαρμόττειν ταῦτα τοῖς θείοις καθάπαξ, ὁρῶντες δὲ ἐν τοῖς πλείοσιν ἀφαρμόττοντα, ἢ μηδὲ τὴν ἀρχὴν αὐτὰ κατανοεῖν δυνάμενοι, τῆς πίστεως τελευταῖον καταγινώσκουσι. ὅτι μήτε ἀφ' ἑαυτῶν, μήτε ἐκ τῶν εἰκόνων τούτων, τὰ θεῖα γινώσκειν δύνανται· ὧν τοῖς δευτέροις καὶ Αὐγουστῖνος ἐν τέλει τοῦ περὶ Τριάδος ἐπιτιμᾷ· Εἰ γὰρ πρὸς τὸ κατανοῆσαι (φησὶ) ταύτην τὴν ,, Αὐγουσ.
,, εἰκόνα, καὶ ἰδεῖν πῶς ἀληθῆ ταῦτα ἐστὶ, τὰ ἐν τῷ νοῒ αὐτῶν ὄντα, καὶ ,,
οὐδ' οὕτω τρία εἰσὶν ὡς τρία πρόσωπα εἶναι, ἀλλὰ πάντα τὰ τρία τοῦ ἀν- ,,
θρώπου εἰσὶν, ὅς τις ἓν πρόσωπόν ἐστιν, ἧττον εἰσὶν ἀξιόχρεῳ. τί δήποτε ,,
μὴ περὶ τῆς ἄκρας Τριάδος, ἥ ἐστιν ὁ Θεὸς, πιστεύουσι μᾶλλον τὸ ἐν ταῖς ,,
ἱεραῖς γραφαῖς εὑρισκόμενον, οἱ ἀπαιτοῦντες φανερώτατον αὐτοῖς ἀπο- ,,

»» διδόσθαι λόγον· ὁ γὰρ ἀνθρώπινος νοῦς, ὁ βραδὺς δηλαδὴ καὶ ἀσθενὴς
»» οὐ χωρεῖ. τηροῦσι γὰρ ἀκλονήτως πιστεύσαντες ταῖς ἁγίαις γραφαῖς, ὥσ-
»» περ ἀληθεστάτοις μάρτυσι πιστευέτωσαν προσευχόμενοι καὶ ζητοῦντες
»» καὶ καλῶς βιοῦντες τοῦτο νοείτωσαν. ἕως ὅσον ἂν ὀφθῆναι πέφυκεν ἴδωσι
»» τῷ νοΐ, ὅτι ἣ πίστει κατέχουσι. τίς γὰρ τοῦτο κωλύει; μᾶλλον μὲν οὖν, τίς
»» οὐ πρὸς ταῦτα προτρέπεται; εἰ δὲ διὰ τοῦτο δεῖ ἀρνεῖσθαι οἴονται
»» ταῦτα, ὅτι μὴ ἰσχύουσι πεπηρωμένῳ νοΐ βλέπειν, ὀφείλουσι καὶ οἱ ἐκ γε-
»» νετῆς τυφλοί, ἀρνεῖσθαι μὴ εἶναι ἥλιον. Αὐγουστῖνος μὲν οὖν, καίτοι τῆς
εἰκόνος ταύτης ἀποδιδοὺς τοῖς ἀπαιτοῦσι λόγον τῆς πίστεως, ὅμως οὐ πάνυ
πιστεύειν αὐταῖς παραγγέλλει. μηδὲ τὴν ἐν ἡμῖν εἰκόνα τῆς Τριά-
δος, ὅπως αὐτῇ τῇ Τριάδι δεῖν φησὶ συγκρίνειν, ὡς παντάπασιν
ὁμοίαν οἴεσθαι· ἀλλὰ μᾶλλον ἐν ὁποίᾳ δήποτε ὁμοιότητι, καὶ μεγάλην
ἀνομοιότητα κρίνειν. καὶ τοῖς ἐκ τῶν εἰκόνων τούτων ὠφελεῖσθαι μὴ δυ-
ναμένοις, ἐπὶ τὸ τῆς γραφῆς συμβουλεύει καταφεύγειν ἀξίωμα. καὶ μη-
δὲ γελῶσαι διϊσχυρίζεσθαί φησι περὶ τῶν τοιούτων ζητήσεων, πρὸς ἃς
ἥ τε πολυπραγμοσύνη τοῦ λόγου, καὶ ὁ ζῆλος τῆς ἡμετέρας πίστεως ἡ-
μᾶς ἐρεθίζει. καὶ τοῦτο ἐν προοιμίοις τοῦ περὶ Τριάδος ἐνάτου βιβλίου
Ὁ αὐτός. »» φησί, καὶ προστίθησι, Περὶ μὲν τῶν πιστευτέων, μηδὲ μιᾷ ἀπιστίᾳ διστά-
»» ζωμεν· περὶ δὲ τῶν νοητέων, μηδὲ μιᾷ προπετείᾳ διϊσχυριζώμεθα.
»» ἐν μὲν γὰρ ἐκείνοις, τῆς αὐθεντίας ἔχεσθαι χρή. ἐν δὲ τούτοις, τὴν ἀλή-
Ὁ αὐτός. »» θειαν ἐκζητεῖν. καὶ ἐν προοιμίῳ τοῦ πέμπτου. Μὴ μέντοιγε ἀναιδῶς
»» φησὶ πρὸς τὰ ἄνω καὶ θεῖα καὶ ἄρρητα ἐκκαιέσθω ἡ τῶν πιστῶν εὐσέ-
»» βεια. καὶ πάλιν, τὴν ἐν ἡμῖν εἰκόνα τῆς Τριάδος, ἄνισον μὲν, ὅμως μέν-
τοιγε εἰκόνα εἶναί φησιν. αἱ δὲ παρ' ἡμῖν διδάσκαλοι, καὶ σαφεστέραν τὴν
κατὰ τῶν παραδειγμάτων τούτων φέρουσι ψῆφον. ὁ μὲν γὰρ θεῖος Γρηγό-
Γρηγ. θεο. »» ριος ὁ θεολόγος ἐν τῷ περὶ τοῦ ἁγίου πνεύματος λόγῳ· Ὥστε ἐγώ γε φησὶ
»» πολλάκις διασκεψάμενος πρὸς ἐμαυτὸν, τῇ φιλοπραγμοσύνῃ τοῦ λόγου.
»» καὶ πάντα χόθεν τὸν λόγον εὐθύνας, καὶ ζητῶν εἰκόνα τινὰ τοσούτου πράγ-
»» ματος, οὐκ ἔσχον ᾧ τινι χρὴ τὴν κάτω τὴν θείαν φύσιν παραβαλεῖν.
»» κἂν γὰρ μικρά τις ὁμοίωσις εὑρεθῇ, φεύγει τὸ πλεῖον ἀφεὶς με κάτω με-

τὰ

τὰ τοῦ ὑποδείγματος. καὶ πάλιν· Οὐδέν ἐστιν, ὅ μοι τὴν διάνοιαν ἵστησιν, ἐπὶ τῶν ὑποδειγμάτων θεωροῦντι τὸ φανταζόμενον· πλὴν εἴ τις ἕν τι λαβὼν τῆς εἰκόνος, ὑπ' εὐγνωμοσύνης τὰ λοιπὰ ῥίψειεν. τέλος οὖν, ἔδοξέ μοι κράτιστον εἶναι, τὰς μὲν εἰκόνας χαίρειν ἐᾶσαι, καὶ τὰς σκιὰς ὡς ἀπατηλὰς καὶ τῆς ἀληθείας πλεῖστον ἀποδεούσας, αὐτὸν δὲ τῆς εὐσεβεστέρας ἐννοίας ἐχόμενον, ἐπὶ ὀλίγων ῥημάτων ἱστάμενον, ὁδηγῷ τῷ πνεύματι χρώμενον, ἣν ἐντεῦθεν ἔλλαμψιν ἐδεξάμην, ταύτην εἰς τέλος διαφυλάττοντα, ὡς γνησίαν κοινωνὸν καὶ συνόμιλον, τὸν αἰῶνα τοῦτον διαπορεύεσθαι διατέμνοντα. [Ὁ αὐτός.] Ἰδοὺ καὶ οὗτος ὁ διδάσκαλος τὴν ἐν αὐτῷ πολυπραγμοσύνην τοῦ λόγου, τῆς τῶν παραδειγμάτων ζητήσεως αἰτίαν εἶναί φησιν. ὥσπερ Αὐγουστῖνος τὴν τῶν ἄλλων αἰτιᾶται πολυπραγμοσύνην, οἳ τὰ τῆς πίστεως βούλονται σφίσιν ὑπὸ φανερωτάτοις λόγοις ἐκτίθεσθαι. οὗτοι δέ εἰσιν, οἱ ἀπὸ τῶν αἰσθητῶν τε καὶ ἡμῖν συστοίχων πραγμάτων. καὶ καθάπερ ἐκεῖνος τοῖς ἐκ τῶν παραδειγμάτων οὔτε βοηθουμένοις, καὶ βλάβην ὑφισταμένοις, συμβουλεύει πιστεύειν μᾶλλον τὸ ἐν ταῖς γραφαῖς εὑρισκόμενον. οὕτω καὶ οὗτος, ἐφ' ἑαυτοῦ ταύτην τὴν ὁδὸν ἑλέσθαι φησίν. ἥ τις τῶν μὲν εἰκόνων, ὡς ἐξαπατᾶν δυναμένων, καταφρονεῖ· τῇ δὲ τοῦ πνεύματος ἐλλάμψει χρῆται. τουτέστι ταῖς τῶν ἱερῶν γραφῶν ἀποφάσεσι, ῥήμασιν ὀλίγοις τὴν εὐσεβεστέραν κρύπτουσιν ἔννοιαν. καὶ πάλιν ὁ αὐτός φησι διδάσκαλος. Δός μοι Θεὸν ἄλλον καὶ φύσιν Θεοῦ, καὶ δώσω σοι τὴν αὐτὴν Τριάδα, μετὰ τῶν αὐτῶν ὀνομάτων τε καὶ πραγμάτων· εἰ δὲ εἷς Θεὸς, μία φύσις ἡ ἀνωτάτω, πόθεν παραστήσω σοι τὴν ὁμοίωσιν; ἢ ζητεῖς πάλιν ἐκ τῶν κάτω καὶ περὶ σέ; λίαν μὲν αἰσχρὸν, καὶ οὐκ αἰσχρὸν μόνον, ἀλλὰ καὶ μάταιον ἐπιεικῶς, ἐκ τῶν κάτω, τὴν εἰκασίαν τῶν ἄνω λαμβάνειν, καὶ τῶν ἀκινήτων, ἐκ τῆς ῥευστῆς φύσεως. [Ὁ αὐτός.] καὶ ὅ φησιν Ἡσαΐας. τὰ ζῶντα ζητεῖσθαι ἐν τοῖς νεκροῖς. [Ἡσαΐας η] καὶ ὁ θεῖος Βασίλειος ἐν .κ. τῶν πρὸς Ἀμφιλόχιον· Ὢ τῆς δεινῆς ἀναλγησίας φησίν· πλέον αὐτῶν ὀδύρομαι τὸ ἀμαθὲς, ἢ τὸ βλάσφημον. οἵ γε τὰ τῆς θεολογίας δόγματα, ἀνθρωπίνοις παραδείγμασι καθυβρίζουσι, καὶ τὴν ὧδε συνήθειαν παρηλλαγμένην ἔχουσαν τῶν ἀξιωμάτων διαφορὰν, τῇ θείᾳ καὶ ἀρρήτῳ φύσει προσαρ- [Βασίλ.]

ὁ Νύσσης. » μὴ ζεῖν ὁ ἐπιχειροῦσι. καὶ ὁ Νύσσης ἐν τοῖς πρὸς Εὐνόμιον· ὁ Κύριος ἡ-
» μῶν Ἰησοῦς Χριστὸς ἐπὶ γῆς (φησὶν) ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανε-
» στράφη, ἵνα μηκέτι οἱ ἄνθρωποι κατὰ τὰς ἑαυτῶν γνώμας περὶ τοῦ ὄντος δο-
» ξάζωσι, τὰς γινομένας αὐτοῖς ἀπὸ στοχασμῶν τινῶν ὑπονοίας, δόγμα
» ποιούμενοι· ἀλλὰ πεισθέντες ὅτι ἀληθῶς Θεὸς ἐφανερώθη ἐν σαρκὶ, ἐκεῖνο
» μόνον τῆς εὐσεβείας ἀληθινὸν μυστήριον εἶναι πιστεύσωμεν, ὃ δι᾽ αὐτοῦ ἡμῖν
» τοῦ λόγου καὶ Θεοῦ παρεδόθη. τοῦ δι᾽ ἑαυτοῦ τοῖς ἀποστόλοις λαλήσαντος.

ΚΕΦΑΛΑΙΟΝ ιη.

Ὅτι οἱ Λατῖνοι παρὰ τὸ μέτρον, καὶ τὸν τῶν διδασκάλων σκοπὸν, χρῶνται τῇ εἰκόνι ταύτῃ, καὶ ταῖς ἄλλαις, καὶ ὅτι εἴπερ Αὐγουστῖνος ἐχρῆτο τῇ εἰκόνι ταύτῃ καθάπαξ, περιέπιπτεν ἂν πλείοσιν αἱρέσεσι. καὶ διὰ τοῦτο οὐδὲ αὐτὸς καθάπαξ ἐχρήσατο.

Ἀλλ᾽ οἱ Λατῖνοι νῦν, ἃ φησὶν αὐτὸς Αὐγουστῖνος περὶ τῶν Θείων εἰκάζειν ἐκ τῶν ἀνθρωπίνων, καὶ παρ᾽ ἡμῖν δόγμα ποιοῦνται. καὶ οὐκ ἔτι τὴν πίστιν διὰ νόμου τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἀλλὰ καὶ ἐξ ἀνθρώπων, καὶ δι᾽ ἀνθρώπων, εἶναι ποιοῦσι· στοχασμοῖς τισὶν ἀνθρωπίνοις, τὴν ἑαυτῶν πίστιν ἐρείδοντες, καὶ οὕτω τὴν τῆς Ἐκκλησίας ἑνότητα, φιλονεικοῦντες, ἀνατρέπουσί τε καὶ διαλύουσι· καὶ ταῖς εἰκόσι πιστεύουσι μᾶλλον, ἢ τοῖς λογίοις τοῦ πνεύματος. οὐ δὲ πρὸς φανέρωσιν τῆς ὁμολογουμένης ἀληθείας, ἀλλὰ πρὸς ἀπόδειξιν τῶν ζητουμένων, κέχρηνται ταύταις· καὶ παραδείγματά τινα πρὸς λαμβάνοντες ἐξ αὐτῶν ἅπερ ἂν βούλοιντο, μετ᾽ ἐξουσίας ἀποφαίνονται περὶ τῶν θείων, οὐχ ἅπερ ἡ τῆς γραφῆς παραδίδωσιν αὐθεντία. κἂν τινὰ τῶν διδασκάλων εὕρωσιν ὑποδείγματί τινι χρώμενον, πρὸς παράστασιν ἑνός τινος δόγματος, τοῦθ᾽ ἁρπάζοντες ἐκεῖθεν, πρὸς ἅπαντα τὰ δοκοῦντα σφίσι βιάζονται· κἂν τις ἀντιλέγοι μηδαμῶς ἀναγκαῖον εἶναι τὸν λόγον, τὸν εἰπόντα

διδά-

διδάσκαλον ἐπισείουσι, καὶ θράσους γράφονται καὶ περιπετείας. δέον ἑαυτοῖς μᾶλλον τὴν μέμψιν ταύτην ἐπάγειν, ὡς πέρα τῆς τοῦ διδασκάλου γνώμης ἕλκουσι τὸ ὑπόδειγμα. ὁ μὲν γὰρ τυχὸν, πρὸς τὴν τῶν θείων ὑποστάσεων διάκρισιν ἐχρήσατο τῇ εἰκόνι. οἱ δὲ, πρὸς τὸν περὶ τῆς τάξεως ἕλκουσι λόγον. καὶ ὁ μὲν, τὴν ἑνότητα τῆς οὐσίας ἐβούλετο συνιστᾶν. οἱ δὲ, καὶ τὴν αἰτίαν, καὶ τὰς προόδους ἐντεῦθεν τεχνολογοῦσιν. οὐ δὲ τὸν θεῖον Ἰωάννην αἰδούμενοι. ὅς φησιν ἐν τῇ ἐξηγήσει τῇ πρὸς Ῥωμαίους ἐπιστολῆς. Τοῦτο πανταχοῦ δεῖ τηρεῖν, ὅτι τὰ ὑποδείγματα, οὐ πάντα, „ Χρυσός. καθόλου δεῖ λαμβάνειν, ἀλλὰ τὰ χρήσιμα αὐτῶν ἐκλεξαμένους, καὶ δι' „ ὃ παρείληπται, τὸ λοιπὸν ἅπαν ἐᾶν. οὐδὲ αὐτὸν Αὐγουστῖνον μιμούμενοι, „ ὃς τὴν ἐν ἡμῖν εἰκόνα τῆς μακαρίας Τριάδος, πολλοῖς τρόποις ἀνομοίαν εἶναι διϊσχυρίζεται. καὶ μάλιστα ὅτι μνήμη μὲν, καὶ νόησις, καὶ ἀγάπη, ἐν ἡμῖν, οὐχ ἑαυτῶν εἰσὶν, ἀλλ' ἡμῶν τῶν ἐχόντων αὐτά. οὐ δὲ πρόσωπον ἐστὶν ἕκαστον ἐν ἑκάστῳ, ἀλλ' ἑνός εἰσι πάντα προσώπου. οἷον ἐγὼ εἷς ὢν καθ' ὑπόστασιν, ἔχω καὶ μνήμην, καὶ νόησιν, καὶ ἀγάπην, οἷς μέμνημαι, καὶ ἀγαπῶ, καὶ νοῶ. οὐδὲν δὲ τούτων ἐστὶν ὑπόστασις ἐν ἐμοί. ἐν δὲ τῇ ἁπλότητι τῆς μακαρίας ἐκείνης φύσεως, εἰ καὶ τὰ μάλιστα εἷς ἐστὶ Θεὸς, τρία μέντοιγε ἐστὶ πρόσωπα. πατὴρ, υἱὸς, καὶ πνεῦμα ἅγιον. οὕτως οὖν τὸ χρήσιμον αὐτῷ δόξαν ἐκλεξάμενος τῆς εἰκόνος, τὸ περιττεῦον καὶ βλάπτον, οὐ παρεδέξατο. ἤδει γὰρ ὡς εἰ πάντα τῇ εἰκόνι ταύτῃ συμβαίνοντα τιθείη περὶ Θεοῦ, τῶν αἱρετικῶν οὐδὲν ἂν διοίσει. ἀλλὰ Σαβελλίῳ μὲν συνάσεται δήπου, εἰ τὸν πατέρα, καὶ τὸν υἱὸν, καὶ τὸ πνεῦμα τὸ ἅγιον, ὑπαρκτικῶς μόνον, οὐχ ὑποστατικῶς δὲ, ἐν τῷ Θεῷ εἶναι πιστεύοι, ὡς ἐν ἡμῖν ἥ τε νόησις, καὶ ἡ μνήμη, καὶ ἡ ἀγάπη, ὑπαρκτικῶς εἰσὶ, καὶ οὐ προσωπικῶς. Ἀρείῳ δὲ ἀκολουθεῖν πιστευθήσεται, εἰ τὸν πατέρα πρεσβύτερον εἶναι τοῦ λόγου, καὶ τὸν λόγον τοῦ πνεύματος συμπεραίνῃ, καθ' ὁμοιότητα τῆς εἰκόνος ταύτης. ἐπεὶ καὶ ἐν ἡμῖν ἡ μνήμη, πρεσβύτερον ἐστὶ τῆς νοήσεως κατὰ τὴν πλάτωνος θέσιν, ᾗ καὶ Αὐγουστῖνος δοκεῖ πείθεσθαι. ἄλλως γὰρ οὐκ ἂν ἀρχὴν ἔθηκε τὴν μνήμην. ἐπεὶ κατά γε Ἀριστοτέλη, μᾶλλον ἐκ τῆς νοήσεως ἡ μνήμη ἐστὶν, ὡς δῆλον ἐστὶ τοῖς περὶ ταῦτα

ἑαυτοῦ δεδοικόσιν. εἰ δὲ Ἀριστοτέλει μᾶλλον προσέχειν, ἐκινδύνευεν ἂν ἐξ ἀλλήλων τὰ θεῖα πρόσωπα τίθεσθαι, εἰ πάντα ἐπίστευε τῇ εἰκόνι. ὥσπερ

Ἀριστοτέλ. „ ἐν ἡμῖν κατ᾽ Ἀριστοτέλην, μνήμη μὲν, ἐκ νοήσεως. νόησις δὲ γίνεται, ἀπὸ „ μνήμης. ὃν τρόπον καὶ περὶ τῶν ἐνεργειῶν ἐκεῖνός φησι, καὶ τῶν ἕξεων. ὡς „ ἄρα γίνονται μέν ποτε αἱ ἕξεις ἐκ τῶν ἐνεργειῶν, εἶτα ἐκ τῶν ἕξεων αἱ „ ἐνέργειαι. ἵνα μὴ τοίνυν τοιαῦτα τινὰ συλλαμβάνειν τοῖς ἐντυγχάνουσι, τὰ μὲν καὶ φανερῶς ἀποσκευάζεται τῆς εἰκόνος, ἀνομοίως ἔχοντα πρὸς τὴν μακαρίαν Τριάδα. τὰ δὲ καὶ ἡμῖν φυλάττεσθαι συμβουλεύει. ἐξ ὧν αὐτὸς ἔν τι τῶν ἀποδόντων ἀπεβουκόλησεν. ἔργῳ δείξας, ὅτι καὶ τὰς ἄλλας τῆς εἰκόνος ταύτης ἀνομοιότητας, καὶ ἡμᾶς ὁμοίως χρὴ παραιτεῖσθαι.

ΚΕΦΑΛΑΙΟΝ ιε.

Ὅτι οὐκ ἐκ πασῶν τῶν εἰκόνων, αἷς οἱ διδάσκαλοι χρῶνται, τἀληθὲς συναθροίζουσιν. ἀλλ᾽ ἐκείναις μόναις προσφύονται, αἳ συμφέρειν αὐτοῖς πρὸς τὴν δόξαν αὐτῶν δοκοῦσι. καὶ τίνες εἰσὶν αἱ ἄλλαι εἰκόνες.

Οὐδὲ τούτους τοίνυν τοὺς διδασκάλους, ὥσπερ εἶπον, νῦν αἰδούμενοι περιττῶς πάνυ καὶ ἐπικινδύνως, ταῖς εἰκόσι Λατῖνοι χρῶνται. καὶ ὃ χεῖρόν ἐστιν, αἷς μὲν βούλονται τῶν εἰκόνων πάντα πιστεύουσιν, ὡς μηδὲν δοκεῖν αὐτοὺς περὶ τῶν θείων ἄλλο φρονεῖν, εἰ μὴ ὅπερ ἂν καὶ ταῖς εἰκόσι συμφέροι. καὶ τοῦτο εἶναι τὰ θεῖα νομίζειν, ὅπερ εἰσὶν αἱ εἰκόνες ἀντικρυς. οἷον τὴν μὲν θείαν γέννησιν, νόησιν· τὴν δὲ ἐκπόρευσιν, θέλησιν. καὶ μηδὲν σχεδὸν ἕτερον. ἄλλων δὲ εἰκόνων οὕτω καταφρονοῦσι, καὶ τῶν ταύτας εἰπόντων, ὡς μηδ᾽ ἐφ᾽ οἷς ἐκεῖνοι ταύταις ἐχρήσαντο, βουληθῆναι ἄν ποτε καὶ αὐτοὺς χρήσασθαι. καὶ τὴν μὲν Αὐγουστίνου εἰκόνα, καίτοι τῷ τῆς γραφῆς ἀξιώματι μὴ μαρτυρουμένην, οὕτω πάνυ πιστεύουσι. καὶ πλέον ἢ πεπίστευκεν Αὐγουστῖνος. ἄνω καὶ κάτω τῶν ἄλλων διδασκάλων ἀκούοντες,

τὸν νοῦν καὶ τὸν λόγον, καὶ τὸ πνεῦμα τὸ ἅγιον, θειαζόντων ἐκ τῆς ἡμετέρας εἰκόνος, οὐ δ' ὅσα τῆς εἰκόνος ταύτης ἐξέλεξαν ἐκεῖνοι, τούτοις βούλονται χρῆσθαι. καὶ σαφῶς ὅ, τε λόγος καὶ τὸ πνεῦμα τῆς ἱερᾶς εἰσι διαλέξεως. οὐδὲ χαλεπὸν ἐστὶ τὸν Θεὸν καὶ πατέρα, νοῦν οἴεσθαι διὰ τὴν χαφὴν· ἐπειδὰν αὕτη τοῦ Θεοῦ, καὶ πρὸς τὸν Θεὸν, καὶ ἐκ τοῦ Θεοῦ, τόν τε λόγον, τό, τε πνεῦμα προσαγορεύῃ. κἂν γὰρ τὸν προφορικὸν λόγον ἐν τῇ εἰκόνι ταύτῃ νοῶμεν, ἀλλ' ἐπείπερ ὁ ἔνδον λόγος προφέρεται, ὁ δὲ ἔνδον ἐστὶ τοῦ νοῦ, ἐκ τοῦ προφορικοῦ λόγου, διὰ τοῦ νοητοῦ, πρὸς τὴν τοῦ λόγου πηγὴν, ἄνιμεν ἀναγκαίως τῷ λογισμῷ· ἥ τις ἐστὶν ὁ νοῦς. καὶ αὖθις. ῥίζῃ μὲν, καὶ κλάδῳ, καὶ καρπῷ, παρεικάζουσι τὴν θείαν Τριάδα, εἴ τε παρὰ τῶν διδασκάλων τοῦτο λαμβάνοντες, εἴ τε ἀφ' ἑαυτῶν ἀνευρόντες, διὰ τὴν εὔτακτον αὐτῆς συμφυΐαν, ἵνα καὶ ἡ Σαβελλίου σύγχυσις, καὶ ἡ Ἀρείου φύγῃ πολυαρχία· ῥίζα γὰρ, καὶ κλάδος, καὶ καρπὸς, εὐτάκτως ἐκ μιᾶς ἀρχῆς συμπεφύκασι. Διονυσίου δὲ λέγοντος βλαστοὺς, ἢ ἄνθη, ἢ φῶτα, τὸν υἱὸν καὶ τὸ πνεῦμα, τὸν δὲ πατέρα πηγαίαν θεότητα, διὰ τὴν συμφυῆ πρὸς τὴν ἰδίαν αἰτίαν ἀναγωγὴν, προσαποιοῦνται κωφεύειν. καὶ σήθει μὲν, καὶ βραχίονι, καὶ δακτύλῳ. καὶ αὖθις, ἡλίῳ, καὶ ἀκτῖνι, καὶ φωτὶ, παρεικάζουσι τὴν μακαρίαν Τριάδα, διδασκάλοις τισὶν ἐκ τῆς αὐτῆς αἰτίας, ἢ καὶ ῥίζαν, καὶ κλάδον, καὶ καρπὸν, ἐστὶν εὐλόγως εἰπεῖν, πείθονται πάνυ, καὶ πρὸς τὰς λοιπὰς αὐτῶν θέσεις προσχωροῦντες, χρῶνται τῷ ὑποδείγματι. ἀκούοντες δὲ ἑτέρων βραχίονάς τε καὶ χεῖρας τοῦ Θεοῦ τὸν υἱὸν καὶ τὸ πνεῦμα καλούντων, διὰ τὴν συμφυᾶ τε καὶ πάντοθεν ἴσην πρὸς τὴν ἰδίαν αἰτίαν ἀναγωγὴν, καὶ τὴν ἐκεῖθεν αὐτοῖς καθήκουσαν συμφυΐαν τε καὶ ἰσοθεΐαν, ὡσαύτως δὲ καὶ ἀκτῖνας διδύμους τοῦ πατρὸς, καὶ διῤῥύτους ποταμὸν, τὰς ὑποστάσεις ἀνυμνούντων ἐκείνας, οὐ βούλονται προσέχειν τοῖς ὑποδείγμασι, διὰ τὸ μὴ συμφέρειν αὐτοῖς ταῦτα πρὸς τὴν πρώτην τε καὶ δευτέραν αἰτίαν, ἣν ἐρεύγονται οἴκοθεν. καὶ δέον ἁπάσας τὰς εἰκόνας ταύτας τιμᾶν, καὶ τῶν διδασκάλων πρὸς τὴν ἑκάστοτε χρείαν διαφόροις χρησαμένων εἰκόσιν, αὐτοὺς τὴν παροῦσαν χρείαν ἁπασῶν τῶν εἰκόνων δεῖσθαι νομίσαντας,

μίσαντας, καὶ ταύτας εἰς μέσον ἁπάσας παραγαγόντας, τὸ ἀληθὲς ἐκ πασῶν συναθροίζειν· οἱ δὲ, μιᾶς μόνον εἰκόνος, ἢ δυοῖν, ἃς οἴονται μόνας σφίσι συμφέρειν γεγενημένοις, τῶν τε ἄλλων ἁπασῶν, καὶ τῶν εἰπόντων αὐτὰς, καὶ τῆς δι' αὐτῶν φανερουμένης ἀληθείας, καταφρονοῦσι. καὶ διὰ τοῦτο οὐ καλῶς αὐτοῖς περὶ τῶν δογμάτων κρίνειν συμβέβηκεν. ὅπερ πάσχουσι οἱ μισθῷ ταῖς δίκαις συνηγοροῦντες, ὅτι νόμου τι τεμμάχιον παρασπάσαντες, τούτῳ τοὺς ἀδίκους ἰσχυροτέρους ἀποφαίνειν πειρῶνται· τούτου δὲ τοὐναντία οἱ ὀρθοὶ κριταὶ πράττουσιν, ἐκ πάντων τῶν νόμων τὴν ἀληθινὴν ἐκλέγοντες ψῆφον. καὶ πᾶσι τούτοις καθάπερ κανόσι τισὶ, τὴν προκειμένην ἐφαρμόττοντες ζήτησιν, οὕτως οἴονται δικάζειν ὀρθῶς.

ΚΕΦΑΛΑΙΟΝ ιϛ.

Ὅτι βέλτιον ἡμεῖς ταῖς εἰκόσι χρώμεθα. καὶ ὅπως ἡ τοῦ παναγίου πνεύματος πρόοδος, ἄρρητός ἐστι, καὶ ἀνερμήνευτος. καὶ διὰ τοῦτο οὐδὲ ἐστὶν αὐτῆς εἰκόνα εὑρεῖν. καὶ τί φασὶν οἱ διδάσκαλοι περὶ τῆς ἐκπορεύσεως, καὶ τῆς διαφορᾶς αὐτῆς, πρὸς τὴν γέννησιν.

Τοῦτο δὲ καὶ ἡμεῖς ποιοῦμεν, οἱ τὰ νέα ταῦτα μὴ προσιέμενοι. ταῖς γὰρ εἰκόσιν, αἷς οἱ διδάσκαλοι τῆς Ἐκκλησίας πρὸς φανέρωσιν τῆς ἀληθείας ἐχρήσαντο, χωρὶς ἕκαστος, ἡμεῖς χρώμεθα πάσαις, τοῦτο πλέον ἐκείνων εὐτυχηκότες, ὅτι πλείοσι τῆς ἀληθείας ἡγεμόσι χρῆσθαι δυνάμεθα· καὶ χρώμεθα δὲ, ὡς ἐκεῖνοι κέχρηνται, καὶ μέχρι τῆς ἐκείνων ἱστάμενοι γνώμης, καὶ περαιτέρω μηδὲν πολυπραγμονοῦντες. καὶ ἡμῖν ἐπειδ' ἂν συμβῇ πρὸς τὰς διαλέξεις ὑπόδειγμά τι τῶν προσκαίρων οἴκοθεν εὑρίσκειν, οὔτε πάντα θαρροῦμεν αὐτῷ, οὔτε πρὸς πάντα χρώμεθα· οὔτε δι' αὐτὸ πιστεύομεν τῇ τῆς πίστεως ὑποθέσει, ἧς ἕνεκα τῆς εἰκόνος χρῄζομεν. οὔτε ἂν ἡ κτιστὴ καὶ πρόσκαιρος ὑφηγοῖτο εἰκὼν, ταύ-

τῇ καθάπαξ ἑπόμεθα. οὔτε οὐδὲ μιᾶς ἡμῖν προϋποκειμένης ἐκ τῶν λογίων ἀνάγκης ἔκ τινων ἀνθρωπίνων εἰκόνων συνάγομεν, ἀλλὰ πιστεύειν ἡμᾶς. ὡς διὰ τοῦτο τῆς μακαρίας οὔσης Τριάδος. διότι ἐν ἡμῖν μνήμη ἐστὶ, καὶ νόησις, καὶ ἀγάπη, ὥσπερ ἐνίων ἀκούομεν τοῖς ἐρωτῶσι διατί τὸ πνεῦμα καὶ ἐκ τοῦ υἱοῦ πρόεισιν, ἀλλὰ μὴ ἐκ τοῦ πατρὸς προσεχῶς; οὕτως ἀποκρινομένων. διότι καὶ ὁ καρπὸς οὐκ ἀμέσως ἐκ τῆς ῥίζης πρόεισιν, ἀλλὰ διὰ τοῦ κλάδου. καὶ τοιαῦτα τινὰ τερατολογούντων. τοῖς τε τοίνυν παραδείγμασιν οὕτως ὡς εἴρηται χρώμεθα. καὶ τὴν τοῦ παναγίου πνεύματος πρόοδον, ἄρρητόν τε καὶ ἀκατανόητον εἶναι πιστεύομεν. ὥστε εἰ καὶ ὅλης τῆς μακαρίας Τριάδος, δυνατὸν ἐστὶν εὑρίσκεσθαι τινὰ ἐν τοῖς κτιστοῖς ὁμοιότητα, ἅτε πολλῶν ἐν τῇ φύσει πραγμάτων Τριάδι τεταγμένων ὁριζομένων, ἀλλὰ τὴν τοῦ παναγίου πνεύματος πρόοδον ἐκ τῆς πρώτης πάντων αἰτίας, οὐδενὶ τῶν ὄντων ἀφομοιοῦν πως δυνάμεθα. οὐ δὲ γὰρ ἰδικήν τινα πρόοδον τὸ τῆς ἐκπορεύσεως ὄνομα σημαίνειν δύναται καθ' αὑτὸ, ὥστε καὶ πρός τινα τῆς καθ' ἡμᾶς ὁμοιότητα, τὴν σημασίαν τοῦ ὀνόματος ἕλκειν. ἀλλὰ τὸ μὲν τῆς γεννήσεως ὄνομα, εἰδικόν τινα προόδου τρόπον σημαίνει, διὸ καὶ τὴν ἀνθρωπίνην παραλαμβάνομεν γέννησιν, ἢ καθάπερ ἄνθρωπον ἐξ ἀνθρώπου. ἢ καθάπερ λόγον ἐκ νοῦ, νοοῦντες ἐκεῖ τὸν υἱὸν τοῦ Θεοῦ, ἐκ τοῦ Θεοῦ καὶ πατρὸς προϊέναι, ἀπορρίπτοντες μόνον ὕλην, καὶ ῥοήν, καὶ πάθος, καὶ τὸ πρότερόν τε καὶ ὕστερον, καὶ τὸ τέλειον καὶ τὸ ἀτελὲς, καὶ ὅσα ἄλλα τῇ ἀνθρωπίνῃ φύσει παρέπεται. ὡσαύτως δὲ καὶ τὸ ἀπρόσωπον ἐκ τῆς εἰκόνος τοῦ νοῦ καὶ τοῦ λόγου μὴ προσλαμβάνοντες, καὶ ἔτι τούτοις ἀπᾷδον ἔνεστι πρὸς τὸ ὑπερφυᾶ καὶ ἀληθινὸν καὶ ἄπειρον νοῦν καὶ λόγον ἐκεῖνον. ἐκπόρευσις δὲ οὐδεμίαν εἰδικὴν σημαίνει πρόοδον. πῶς γὰρ εἰδικῶς πρόοδόν τινα σημαίνει, ὅπερ ἐκ τῆς ἰδίας φύσεως καθόλου τί ἐστι μᾶλλον περὶ τὴν γέννησιν; ἀλλ' ὅμως εἰδικῶς ἐκ τοῦδε νοοῦμεν τοῦ ὀνόματος, ὅπερ εἰδικῶς αὐτὸ σημαίνειν οὐ δύναται. νοοῦμεν δὲ ἐν τῇ αὐτῇ τῆς θεότητος ἑνότητι καὶ ἁπλότητι, ὑφιστάμενον ἐκ τοῦ Θεοῦ καὶ ἐν τῷ Θεῷ τὸ πνεῦμα τὸ ἅγιον, ἄλλον τινὰ τρόπον, ἢ ὁ υἱὸς ὑφίσταται. καὶ οὕτω τῷ γενικῷ τοῦ ὀνόματος, ἐκ τῆς γραφικῆς αὐθεντίας, ὡς εἰδικῶς χρώμενοι, τὸ ἐκ-

πορεύεσθαι τὸ πνεῦμα, ἀντὶ τοῦ ὁμοουσίως ὑφίστασθαι, καὶ τὴν ὕπαρξιν
ἔχειν ἐκ τοῦ Θεοῦ καὶ πατρὸς, πλὴν οὐ γεννητῶς ὡς ὁ υἱὸς ἐννοοῦμεν. Εἰ τοί-
νυν οὐδὲ εἰδικήν τινα πρόοδον ἡ τοῦ ὀνόματος ἡμῖν ἐμφαίνῃ δύναμις, εἰ μὴ
ἐκ τῆς γραφικῆς ἐξουσίας. καὶ ὅτι μὲν εἰδικήν τινα διδασκόμεθα πρό-
οδον νοεῖν, ἔχομεν. πῶς δὲ εἰδικὴν, καὶ ποίαν τινὰ, οὔθ' ἡ γραφὴ διδάσ-
κει, οὔθ' ἡμῖν ἔξεστι φαντάζεσθαι οἴκοθεν, ὡς μηδὲ τῷ σημαινομένῳ τοῦ ὀ-
νόματος ἔχουσιν ὁπωσοῦν ἐρεισθῆναι, σχολῇ γε εἰκόνα τινὰ τῆς προόδου
ταύτης ἐκ τῶν κάτω παραληψόμεθα. ἥτις ἂν ἡμῖν τὸ ἄρρητόν τε καὶ
ἀκατανόητον ἐκεῖνο χρῆμα δηλώσειε. καὶ εἰ τὴν τοῦ υἱοῦ γέννησιν οὐκ
ἔξεστιν ἡμῖν περιεργάζεσθαι καὶ ζητεῖν, περὶ ἧς ἐκ τῆς εἰδικῆς τοῦ ὀνόματος
σημασίας, ἔχομέν τι νοεῖν. πῶς τὴν ἄρρητον τοῦ πνεύματος πολυπραγμο-
νήσωμεν πρόοδον; περὶ ἧς οὐδὲ τοσοῦτον γνῶναι, ὁπόσον περὶ τῆς γεννή-
σεως εἰκάσαι δυνάμεθα; καὶ διὰ τοῦτο καλῶς οἱ τῆς Ἐκκλησίας δι-
δάσκαλοι, ἐπειδὰν τὴν προόδων ἐκείνην διαφορὰν ἐκ τῆς τῶν λόγων
ἀναχθῶσι φορᾶς, καθάπερ πυρός τινος ἀποδυσπετοῦσιν. ὁ γὰρ Διονύ-
Διονύσ. „ σιος φησὶν, Ὅτι ἐστὶ μὲν πηγαία θεότης ὁ πατήρ· ὁ δὲ υἱὸς, καὶ τὸ πνεῦμα, τῆς
„ θεογόνου θεότητος (εἰ οὕτω χρὴ φάναι) βλαστοὶ θεόφυτοι, καὶ οἷον ἄνθη, καὶ
„ ὑπερούσια φῶτα, πρὸς τῶν ἱερῶν λογίων παρειλήφαμεν. ὅπως δὲ
„ ταῦτα ἐστὶν, οὔτ' ἐννοῆσαι, οὔτ' εἰπεῖν δυνατόν. καίτοι περὶ τῆς θείας
φύσεως οὕτω ποιεῖσθαι τοὺς λόγους, αὐτός τ' ἐπαγγέλλεται, καὶ τοῖς ἄλ-
λοις προτρέπεται, ὡς αὐτὴ φησὶ περὶ ἑαυτῆς ἐν τοῖς λογίοις ἑαυτῆς
παρέδωκε· Γρηγόριος δὲ ὁ θεολόγος ἐν τοῖς περὶ πνεύματος λόγοις
Γρηγ. θεο. „ φησὶν, Εἰπὲ σὺ τὴν ἀγεννησίαν τοῦ πατρὸς, κἀγὼ τὴν γέννησιν τοῦ υἱοῦ φυ-
„ σιολογήσω, καὶ τὴν ἐκπόρευσιν τοῦ πνεύματος. καὶ παραπληκτίσωμεν ἄμ-
„ φω, εἰς Θεοῦ μυστήρια παρακύπτοντες. καὶ πάλιν ὁ αὐτὸς ἐν τῷ πρὸς
„ Ἥρωνα λόγῳ. Εἰ δὲ τὸν τρόπον ἐπιζητεῖς, τί καταλήψεις τοῖς μόνοις γι-
„ νώσκειν ἄλληλα, καὶ γινώσκεσθαι ὑπ' ἀλλήλων μαρτυρουμένοις; καὶ πά-
„ λιν ὁ αὐτός. Ἀκούεις γέννησιν, τὸ πῶς μὴ περιεργάζου· ἀκούεις πνεῦμα
„ τὸ προϊὸν ἐκ τοῦ πατρὸς, τὸ ὅπως μὴ πολυπραγμόνει. Ὁ δὲ μέγας Βα-
Βασίλ. „ σίλειος· Εὐσεβοῦς ἐστὶ διανοίας (φησὶ) τὰ ἀποσιωπηθέντα ἐν ταῖς ἁγί-

αις

ταῖς γραφαῖς, εὐλαβεῖσθαι καὶ ἐπιφυμίζειν τῷ ἁγίῳ πνεύματι. Καὶ ὁ Κύριλλος, Παυσώμεθα (φησὶ) κακῶς ἀνιχνεύοντες τὴν τοῦ πνεύματος πρόοδον, καὶ ζητοῦντες μαθεῖν, ἃ μόνῳ πατρὶ καὶ υἱῷ καὶ ἁγίῳ πνεύματι γνώριμα. καὶ ἡ .ϛ. Σύνοδος ἐν ταῖς ἑαυτῆς πράξεσι. Τῶν αἱρετικῶν φησὶν ἴδιον, τρόπον περιεργάζεσθαι καὶ ζητεῖν τῆς προόδου τοῦ υἱοῦ καὶ τοῦ πνεύματος. οἷς πᾶσι καὶ Δαμασκηνὸς ὁ θεῖος ἑπόμενος, ἐν τῷ περὶ Τριάδος κεφαλαίῳ φησί. Ὅτι μὲν ἐστὶ διαφορὰ γεννήσεως καὶ ἐκπορεύσεως, μεμαθήκαμεν. τίς δὲ ὁ τρόπος τῆς διαφορᾶς, οὐδαμῶς. καὶ πάλιν. Εἰ γὰρ καὶ τὸ πνεῦμα ἐκ τοῦ πατρὸς, ἀλλ' οὐ γεννητῶς λέγομεν, ἀλλ' ἐκπορευτῶς. ἄλλος τρόπος ὑπάρξεως οὗτος, ἄρρητος καὶ ἀνέκφραστος. Καὶ Αὐγουστῖνος ἐν τῷ .κζ. κεφαλαίῳ τοῦ .ιε. βιβλίου. Ἀλλ' ἐπεὶ (φησὶν) ἐν τῇ συναϊδίῳ καὶ ἰσοτίμῳ καὶ ἀσυγκείτῳ καὶ ἀρρήτῳ καὶ ἀτρέπτῳ καὶ ἀδιαιρέτῳ Τριάδι, χαλεπώτατον ἐστὶ τὴν γέννησιν τοῦ υἱοῦ, καὶ τὴν ἐκπόρευσιν τοῦ πνεύματος διαστέλλειν, καὶ τὰ ἑξῆς. Τούτοις δὲ τοῖς διδασκάλοις καὶ ἡμεῖς ἑπόμενοι, τὰ τοιαῦτα δίκαια καὶ ἀληθῆ λέγουσι, καὶ τῆς γραφικῆς αὐθεντίας ἐχόμενοι, καὶ τοῖς τῶν ἱερῶν συνόδων ἔργοις ἀκολουθοῦντες, πειθόμενοι δὲ καὶ Αὐγουστίνῳ, μὴ δεῖν ἀναιδῶς πρὸς τὰ ἄνω καὶ θεῖα καὶ ἄρρητα ἐκκαίεσθαι τὴν τοῦ πιστοῦ εὐσέβειαν φάσκοντι. καὶ Κυρίλλῳ δὲ χρώμενοι συμβούλῳ ἐν τῇ πρὸς βασιλέα Θεοδόσιον ἐπιστολῇ, περὶ τῆς ὀρθῆς πίστεως λέγοντι. Ὅτι τῆς πρώτης πίστεως τὸν τύπον ἀρχαιοτάτην καὶ ἐξ αὐτῶν τῶν ἁγίων ἀποστόλων διήκουσαν εἰς ἡμᾶς παράδοσιν, οὐ ταῖς ὑπερμέτροις ἀκριβείαις καταλύειν ἄξιον. οὔτε μὴν ταῖς εἰς ἄκρον ἐρευναις ὑπερφέρειν τὰ ὑπὲρ νοῦν. ἀλλ' οὐδὲ ἥκειν εἰς μέσον οἷάπερ τινὲς ὁρίζεται ῥιψοκινδύνως λέγοντες, ὡς τόδε μὲν ὀρθῶς, τὸ δ' αὖ ἑτέρως ἔχει ἐχρῆν δήπου. Τούτοις τοίνυν πᾶσι πειθόμενοι, οὐ βουλόμεθα ἄρρητα καὶ ἀκατανόητα πρὸς τὴν χθαμαλότητα τῶν καθ' ἡμᾶς ἕλκειν πραγμάτων, ἃ καὶ νοεῖν καὶ λέγειν δυνάμεθα. οὐδὲ ταῖς εἰκόσι πάντα πιστεύομεν ὅ, τι ἂν ὑφηγῶνται ἡμῖν περὶ τῶν θείων. καὶ Αὐγουστῖνον τὴν ἐκ τῶν ἡμετέρων εἰκόνα οὕτω νοοῦμεν, ὡς αὐτὸς νοεῖν βούλεται καὶ διδάσκει. τουτέστιν ἐκλεγόμενοί τε τὸ χρησιμεῦον, καὶ τὸ λοιπὸν ἅπαν ῥίπτοντες. κἀπειδὰν ὁρῶμεν μὴ σφόδρα

Κύριλ.

Συνοδ. ϛ.

Δαμασ.

Αὐγυς.

Κύριλ.

τὰς εἰκόνας ἡμῖν λυσιτελούσας, ἀλλὰ προσιστάμενα· πῆ τῇ ἐκ τῶν γραφῶν καὶ τῶν διδασκάλων ὑποπλώσει, ἀποπηδῶντες μὲν παντάπασι τῶν εἰκόνων, πρὸς δὲ τὰ ἐν ταῖς γραφαῖς εὑρισκόμενα, καθάπερ εἰς ὅρμον τινὰ καταντῶντες, καὶ τούτοις μᾶλλον πιστεύοντες.

ΚΕΦΑΛΑΙΟΝ ιζ.

Πῶς ἐχρήσαντο ταῖς εἰκόσι πάσαις οἱ διδάσκαλοι. καὶ πρὸς τίνα χρείαν, ὅτι κατὰ τῆς Σαβελλιανῆς συγχύσεως, καὶ κατὰ τῆς Ἀρειανῆς διαιρέσεως, οὐ τῶν προόδων ἕνεκα. καὶ ὅτι ἐξ οὐδεμιᾶς τῶν εἰκόνων τούτων, δείκνυσθαι δυνατὸν, τὸν υἱὸν αἴτιον εἶναι τοῦ πνεύματος. καὶ ἐπίστασία καὶ ἐπιδρομὴ πρὸς ἑκάστην εἰκόνα.

Ἐπεὶ καὶ συνίσμεν τοῖς διδασκάλοις, οὐχ ὡς ἀληθιναῖς εἰκόσι τῆς ὑψηλοτάτης Τριάδος ταύταις χρωμένοις. ἅιγε μηδὲ τριάδες εἰσὶν ὁμολογουμένως, ἀλλ' ὡς πρότερον εἴρηται, τὴν συμφυᾶ τάξιν τῶν θείων ἡμῖν παραδίδουσι προσώπων. ποῦ μὲν τὴν ἐν τῷ βαπτίσματι παραδιδομένην, ἣν ἀπαιτεῖ καλῶς ἡ τῶν θείων ὀνομάτων οἰκονομία. ποῦ δὲ τὴν τῶν αἰτιατῶν πρὸς τὴν ἰδίαν αἰτίαν. φύσιν δὲ οὐδὲ μίαν αὐτὸ τοῦτο τριάδα οὖσαν, ἀποδεικνύουσιν· οὐδὲ γὰρ ἔχουσι ταύτην εὑρεῖν. ἀλλ' ἐφ' ἑκάστης φύσεως ἐν τρισὶν ἰδιότησιν, ἢ μέρεσιν, ἢ δυνάμεσι, τεταγμένοις πως, πρὸς ἄλληλά τε, καὶ τὴν ἰδίαν ἀρχὴν, εἰκασίαν τινὰ τῆς συντάξεως τῆς ἀληθινῆς καὶ ἀϊδίου Τριάδος ἡμῖν ἐντιθέασιν. ἢ ποῦ Τριὰς ἐστὶ τὸ στῆθος, καὶ οἱ βραχίονες; οὐ γὰρ δείξεται τὶς φύσις ἐν τοῖς τρισὶ τούτοις μόνοις, ἀλλὰ τρία μέρη τοῦ ἀνθρώπου ταῦτα εἰπεῖν. ἐν ᾧ πρὸς τούτοις καὶ ἄλλα εἰσὶ μέρη. ποῦ δὲ Τριάς ἐστιν, ἡ ῥίζα, ὁ κλάδος, καὶ ὁ καρπός; οὐ γὰρ τὸ σύμπαν δένδρον, ῥίζῃ καὶ κλάδῳ μεμέρισται καὶ καρπῷ, οὔτε μόνον, οὔτε ἀεί. εἰ δὲ τούτοις ἐμερίζετο μόνον, οὐκ ἂν ἦν ταῦτα Τριάς. ἀλλ' ἢ μόνον Τριὰς μερῶν, ἐν τῷ δένδρῳ. αἱ δὲ θεῖαι ὑπο-

ὑποστάσεις οὐ μέρη εἰσὶ τῆς θεότητος. λέγωμεν δὲ τὸν υἱὸν καὶ τὸ πνεῦμα καρποὺς τοῦ πατρὸς, ὥσπερ καὶ κλάδους καὶ ἄνθη, πάντες λέγουσιν οἱ διδάσκαλοι. τὸ δὲ τῆς ῥίζης, καὶ τοῦ κλάδου, καὶ τοῦ καρποῦ παραδείγματι, τῶν διδασκάλων οὐδεὶς (ὅσα γε ἡμεῖς ἴσμεν) κέχρηται. εἰ δὲ ἐστί τις, ὁ καὶ ταύτῃ τῇ εἰκόνι χρησάμενος, τὸν εἰρημένον ἂν δήπου τρόπον ἐχρήσατο. καὶ πηγὴν, καὶ ποταμὸν, καὶ ὕδωρ, οὐ πάντες οἱ διδάσκαλοι λέγουσιν, ὁπόσοι τῇ τοιαύτῃ φύσει, πρὸς ὑπόδειγμα τοῖς ἐν τοῖς θείοις συμφυοῦς εὐταξίας ἐχρήσαντο. ἀλλ᾽ ὁ θεολόγος, ὀφθαλμὸν (φησὶ) πηγὴν καὶ ποταμὸν ἐννενόησα, „ Γρηγ. θεο. πρὸς τὴν ἀφανεστέραν μὲν ἀνατρέχων ἀρχήν. τὸ δὲ ὕδωρ παραιτησάμενος· ἤρκεσε γὰρ αὐτῷ τὰ τρία ἐκεῖνα πρὸς τὸν προτεθειμένον αὐτῷ σκοπόν. ἄλλως δὲ καὶ εἰς πλείω ἂν διελεῖν ἐξῆν. ἔστι γὰρ εἰπεῖν ὀφθαλμὸν, καὶ πηγὴν, καὶ ποταμὸν, καὶ ὕδωρ. ἔστι δ᾽ ὅτε καὶ ἐκ τοῦ ποταμοῦ καὶ ῥύακα. ταῦτα δήπου, οὐ τριὰς εἴη. ἀλλ᾽ οὐδὲ ἡ ἀνθρωπίνη ψυχὴ, μνήμην καὶ νόησιν ἔχει μόνον καὶ θέλησιν, εἰ καὶ ταῦτα διαφερόντως ἔχει. οὐδὲ ἕκαστον τούτων ἁπλοῦν ἐστίν. ἀλλ᾽ ἥ τε νόησις, ποικίλον ἐστὶ καὶ πολυσχιδὲς, ἥ τε θέλησις. Καλῶς ἄρα πρότερον εἴρηται, ὡς οἱ τῆς Ἐκκλησίας διδάσκαλοι, οὐχ ὡς εἰκόσι τῆς Τριάδος, ταῖς εἰκόσιν ἐκείναις χρῶνται· ἀλλὰ τὴν συμφυΐαν καὶ τὴν τάξιν τῶν θείων ὑποστάσεων, ἐκ τῶν φυσικῶν πραγμάτων ὥσπερ ἐπ᾽ ὄψιν ἡμῖν τιθέντες, ἐπεὶ πολλὰ τοιαῦτα ἐν τοῖς οὖσιν εὑρίσκονται. ἐν οἷς ἐκ μιᾶς ἀρχῆς πλείω προΐασι μετά τινος τάξεως. καὶ διὰ τοῦτο ἔχονται μὲν ἀλλήλων, ἀρχὴν δὲ μίαν τῆς ὑπάρξεως ἔχουσι· λαμβάνουσι μὲν ἐφ᾽ ἑκάστου τρία, εἰ καὶ ἐν τῷ πράγματι πλείω ᾖ· τοσούτων γὰρ δέονται. δεικνύουσι δὲ ἐπὶ τούτων, τό, τε συμπεφυκέναι τὰς τρεῖς ὑποστάσεις ἐκείνας· τό, τε ἔχεσθαι, καὶ μὴ συναλοιφεσθαι. ὥσπερ ῥίζα, καὶ στέλεχος, καὶ κλάδος· συμπεφύκασί τε ἀλλήλοις, καὶ ἀλλήλων ἔχονται. εἰ καὶ ταῦτα τοῖς ἐσχάτοις αὐτῶν συμπεφύκασι μόνοις, καὶ ἄλλο μετ᾽ ἄλλο μόνον διὰ τοῦτο εἰσί. τὰ δὲ θεῖα πρόσωπα, καὶ ἔχονται ἀλλήλων, καὶ εἰσὶν ἐν ἀλλήλοις ὑπερφυῶς. καὶ ταύταις ταῖς εἰκόσιν, εἴργουσιν ἀπὸ τοῦ ἡμετέρου νοῦ τὰς φαντασίας ἐκείνας, αἷς ὁ μὲν Ἄρειος διῄρει τὰ θεῖα πρόσωπα κατὰ τὴν φύσιν. ὁ δὲ Σα-

βέλλεις τὴν ὑποστατικὴν αὐτῶν διάκρισιν, καὶ τὴν τάξιν, ἐν ἐπινοίαις μόνον τ' αὐτὰ τιθείς. οὐκοῦν οὐδὲ δύναταί τις ἀναγκαίως συμπεραίνειν ἐκ τῶν τοιούτων ὑποδειγμάτων, ὡς ἄρα τὸ πνεῦμα τὸ ἅγιον ἐξ υἱοῦ τὴν ὕπαρξιν ἔχει, διά τε τὴν αὐτῶν φύσιν ἀσθενῶς ἔχουσαν πρὸς τὸ τὰ τοιαῦτα δεικνύναι. καὶ διὰ τὸ πρὸς ἄλλην χρείαν ὑπὸ τῶν διδασκάλων ταῦτα εἰλῆφθαι. καὶ διότι τὰ πλείω τούτων, τοὐναντίον δεικνύναι βούλεται, ὅτι τὸ πνεῦμα τὴν ὕπαρξιν ἐκ τοῦ πατρὸς ἔχει μόνον, καὶ προσεχῶς, καθάπερ καὶ ὁ υἱός. εἰ καὶ καθ' ἕτερον προάγηται τρόπον. καὶ τό γε μεῖζον, ὅτι τὰ δοκοῦντα τῇ δόξῃ ταύτῃ βοηθεῖν ὑποδείγματα, βιαίως ἑλκόμενα καθάπερ ὑπὸ πικρῶν δεσποτῶν, οὕτω δοκοῦσι τῇ δόξῃ συνίστασθαι, δικαίως δ' ἐξεταζόμενα τὸν πατέρα μόνον καὶ ταῦτα δεικνύουσι τοῦ πνεύματος αἴτιον. διόπερ οὐδὲ ὑπὸ ταύτην τὴν χρείαν ὑπὸ τῶν διδασκάλων παρείληπται τὴν ἀρχὴν (ὅπερ ἔφθην εἰπών)· οὔτε ἠδύναντο γνησίως παραλαμβάνεσθαι. οἷον ἐστὶ τὸ τοῦ ἡλίου, καὶ τῆς ἀκτῖνος, καὶ τοῦ φωτός· ἢ τὸ τῆς ῥίζης, καὶ τοῦ κλάδου, καὶ τοῦ καρποῦ. δῆλον γάρ ἐστιν, ὅτι καὶ ὁ κλάδος, καὶ ὁ καρπός, ἐκ τῆς ῥίζης εἰσί, πλὴν μετά τινος τάξεως. ὅτι μετὰ τὸν κλάδον, ὁ καρπός ἐστι· προσεχῶς μὲν, τῆς ζωτικῆς δυνάμεως ἐκ τῆς ῥίζης τῷ κλάδῳ χορηγουμένης. μετ' αὐτὸν δὲ, καὶ δι' αὐτοῦ, καὶ εἰς καρπὸν ἐκτεινομένης. τίς ἂν οὖν εἴποι (νοῦν ἔχων) τὴν ζωτικὴν ἐκείνην τοῦ καρποῦ δύναμιν, ὡς ἀπ' αἰτίας εἶναι τοῦ κλάδου; καὶ οὐ λέγω πρώτης, ἀλλ' αἰτίας ὅλως προακτικῆς; οὐ γὰρ ἀποτετμημένως τὴν τοῦ προάγειν δύναμιν ἐκ ῥίζης ὁ κλάδος παρειληφώς, ταύτῃ προάγει τὸν καρπὸν, ὡς ἀρχὴ προσεχὴς αὐτοῦ, καθάπερ ἐπὶ πάντων ἔχει τῶν ὁμοειδῶς ποιούντων· ἅπαν δὲ προάγον φυσικῶς οὕτω προάγει, τουτέστι τῆς παρ' αὐτῷ δυνάμεως τοῦ προάγειν, ἣν ἑτέρωθεν ἐνδεδομένην ἔχει, ἐὰν μὴ πρῶτον ᾖ, ἐκβαινούσης τε εἰς ἔργον. καὶ τοῦτο οὐ τοῦ τὴν δύναμιν ἐκδεδωκότος ἐκείνῳ, ἀλλ' αὐτοῦ μᾶλλον εἶναι ποιούσης, ἐξ οὗ προῆκται, ἢ γέγονε προσεχῶς. ὥσπερ ὁ ἐμὸς πατήρ, ἐμοῦ κυρίως ἀρχὴ γέγονε, τῇ παρ' αὐτῷ ὑπαρκτικῇ δυνάμει, ἣν ἀποτετμημένην ἐκ τοῦ πατρὸς παρειληφώς, ὡς ἰδίαν χρῆται, καὶ ὡς

αὐτῷ

αὐτῷ μόνῳ προσούσῃ. καὶ ὥσπερ ὁ τὴν γεωμετρίαν ἐμὲ διδάξας, τὴν ἕξιν ἐκείνου ἣν εἰληφὼς ἔχει παρ' ἄλλου προχειρισάμενος, προσεχὴς καὶ κυρία καὶ μόνη τῆς ἐπιστήμης ἀρχή μοι γέγονε. καὶ οὐκ ἄν ποτε εἴποιμι τὴν γεωμετρίαν παρ' ἐκείνου μεμαθηκέναι, ὅς τῷ ἐμῷ διδασκάλῳ τὴν ταύτην ἐνέθηκε. καὶ ὅλως ἄν τε φύσει ἄν τε τέχνη προάγῃ τὰ προάγοντα ὁμοειδῶς, οὕτω προάγει ἄλλο ἄλλῳ τὸ τῆς φύσεως ἢ τῆς τέχνης εἶδος ἐνδίδωσι. καὶ ἕκαστον ἀρχὴ κυρία καὶ μόνη τοῦ μετ' αὐτὸ γίνεται, καὶ ἕκαστον ἐκ τῆς προσεχοῦς αἰτίας κυρίως ἐστὶν, εἰ καὶ οὗ εἴδους ἁπλῶς ἀρχὴ ἐστὶν, ὃ πλειόνων ἀρχὴ γέγονεν ἐκ διαδοχῆς. καὶ ἔτι μᾶλλον τὸ πρῶτον. ὥσπερ ὁ Ἀδὰμ, ἀρχὴ τῆς ἀνθρωπότητος ἐστὶν· οὕτω δὲ καὶ ἐμοῦ. ἐμοῦ δὲ οὐκ ἔτι. οὐδὲ γὰρ ἡ ἔστιν ἐν ἐμοὶ τὸ τῆς ἀνθρωπότητος εἶδος, ἀρχὴ ἐστὶν ὁ Ἀδὰμ ἐμοῦ. ἀλλ' ἢ ὁ τὸ εἶδος τοῦτο μοι ἐνδεδωκὼς, ἐξ ἄλλου τοῦτο παρείληφεν, ὁμοίως κἀκεῖνος ἑτέρωθεν. ἀρχὴ δὲ τούτων πάντων γέγονεν ὁ Ἀδὰμ. ἐξ οὗ πρῶτον τὸ εἶδος ἐνδίδοσθαι ἤρξατο. τούτῳ δὲ καὶ Μακεδόνιος τῷ λογισμῷ κεχρημένος, ἐκ τοῦ υἱοῦ μόνου τὸ πνεῦμα ἔλεγε προϊέναι. τὴν γὰρ προαρκτικὴν δύναμιν ἅπασαν ἔλεγε παρὰ τοῦ Θεοῦ καὶ πατρὸς εἰς τὸν υἱὸν κενωθῆναι, κἀντεῦθεν ἐνεργεῖν ἀρξαμένην, τὸ πνεῦμα προαγαγεῖν. προστιθεὶς μὲν τῇ βλασφημίᾳ, ὅτι καὶ δημιουργικῶς, οὐ φυσικῶς. ὅμως δὲ προσεχῆ τὸν υἱὸν ἀρχὴν ἔλεγε τοῦ πνεύματος εἶναι· ὥσπερ ἐγὼ τοῦ ἐξ ἐμοῦ γεννωμένου παιδὸς, ἢ τοῦ σκίμποδος ὃν τεκταίνομαι· καίτοι ἑτέρωθεν ἐνδεδομένου κἀμοὶ τοῦ εἴδους, ἢ τῆς ἕξεως. εἰ δὲ ἐνταῦθα μὲν πρότερον τὸ εἶδος ἐνδίδοται, ὕστερον δὲ κατ' αὐτὸ ἐν ἄλλῳ ἐνεργεῖ ὁ λαβὼν. οἷον πρότερον μὲν ἐγὼ γεγέννημαι, ὕστερον δὲ γεγέννηκα ἕτερον, καὶ οὐχ ἅμα. ἐκεῖ δὲ ἅμα τε ἡ προαρκτικὴ τοῦ πνεύματος ἐνδέδοται δύναμις τῷ υἱῷ, καὶ ἅμα τὸ πνεῦμα προῆκται ἐκ τοῦ υἱοῦ, οὐδὲν ἔλεγε διαφέρειν. ταύτῃ λέγων καλῶς· ὅτι καὶ ἡμεῖς, τὰ ἐν ἡμῖν μετὰ χρόνον συμβαίνοντα, ἐκεῖ ἄνευ χρόνου νοοῦμεν. τοῦτο μόνον ζητοῦντες, εἰ ἀληθῆ τε εἰσὶ καὶ ἀληθῶς λέγεται περὶ τῶν θείων. Οὐ τοίνυν καθ' ὁμοιότητα τούτων, ὁ κλάδος τὸν καρπὸν προάγει· οὐδὲ αἴτιος ἐστὶν αὐτοῦ. ἀλλὰ μόνον πρό-

τερος

τερος ἐστὶν αὐτοῦ. καὶ ἐπειδὰν ἅμα ὦσιν ἄμφω, πρότερος αὐτὸς τῆς ζωτικῆς δυνάμεως μετασχὼν, δι' ἑαυτοῦ ταύτην τῷ καρπῷ διαπέμπει. καὶ ὥσπερ οὐκ ἔστι κλάδον ἕνα, ἑτέρῳ κλάδῳ αἴτιον ἀποφήνασθαι, οὕτως οὐδὲ τῷ καρπῷ τὸν κλάδον, εἰ μὴ ὡς ἔστι μέρος τι τοῦ δένδρου ὁ κλάδος· ὃ δὴ δένδρον αἴτιον ἐστὶ τοῦ καρποῦ. ἄλλως δὲ, οὐδαμῶς. ἀλλὰ συμφυῆ ταῦτα μόνον, καὶ τάξιν ἔχοντα, λέγεσθαι χρή. ὅμως δὲ εἴγε δεῖ ἀκριβείας πλείονος περὶ τούτων σκοπεῖν, ῥίζα μὲν, ἀρχὴ τοῦ δένδρου, ἀλλ' ὡς μέρος. καὶ στέλεχος ὡσαύτως, καὶ κλάδος, μέρη αὐτοῦ εἰσι. καὶ τὸ ἐκ τούτων ἐστὶ τὸ δένδρον ὥσπερ κεφαλή· ἢ μᾶλλον εἰπεῖν καρδία, καὶ τὰ λοιπὰ μέρη τοῦ σώματος, καὶ τὸ ἐκ τούτων ἐστὶ τὸ ζῶον. ταῦτα δὲ αὔξει μὲν κατὰ τὴν ποσότητα πάντα ὁμοῦ, ἕως ἂν τοῦ εἴδους ἐνδεᾶ ᾖ. ὥσπερ ἡ φύσις προύργου σκοπεῖ, ἐκ τῆς ἀρχῆς προσλαμβάνοντα τὴν τροφήν. δένδρον μὲν, ἐκ τῆς ῥίζης· ζῶον δ', ἐκ τῆς καρδίας, ὑπουργοῦντος αὐτῇ τοῦ φάρυγγος· ἐπειδὰν δὲ τελειωθῇ, τὸ μὲν, ζῶον ποιεῖ· τὸ δὲ, καρπόν. καὶ γίνεται ζῶον τε ἐξ ὅλου ζώου. καὶ ἐξ ὅλου δένδρου καρπός. διὸ καὶ τοῦ δένδρου λέγεται, οὐ τῆς ῥίζης οὐδὲ τοῦ κλάδου. καὶ ζῶον ὡσαύτως, οὐκ ἀπὸ τῆς καρδίας, ἢ τῶν νεφρῶν, ἀλλ' ἐκ τοῦ ζώου λέγεται γίνεσθαι. οὕτως οὖν τὸν πατέρα δεῖ μᾶλλον ἐν τοῖς θείοις εἶναι τὸ δένδρον. τὸν δὲ υἱὸν, καὶ τὸ πνεῦμα, καρπούς. ἐκβαλλομένης τῆς ἐννοίας τοῦ μέρους, ἢ τῶν μερῶν, καὶ τῆς αὐξήσεως, ἢ τῆς ποσότητος, καὶ τῆς κατὰ τὸν χρόνον διαφορᾶς. ἀλλὰ μόνον τῆς φυσικῆς λαμβανομένης προαγωγῆς. διὰ τοῦτο βλαστοὺς, καὶ ἄνθη, καὶ καρποὺς, οἱ διδάσκαλοι τὸν υἱὸν καὶ τὸ πνεῦμα λέγουσι τοῦ πατρὸς, ὡς δὴ δένδρου· ῥίζαν δὲ, κατ' ἄλλην ἔννοιαν λέγουσι τὸν πατέρα. ἐπειδὰν ὅλην τὴν θεότητα, δένδρῳ τινὶ παρεικάζουσιν. ἐν ᾧ, ῥίζα, καὶ στέλεχος ἐστὶ, καὶ κλάδος. ὅτε δὲ πᾶσαν μὲν ἀνομοιότητα τοῦ παραδείγματος ἀπορρίπτουσι· τὴν εὔτακτον μέν τοιγε συμφυΐαν τῶν τριῶν ὑποστάσεων, ὅσον ἔξεστιν ἐκ τοῦδε τοῦ ὑποδείγματος παριστῶσιν. ὅτι κἀκεῖναι εὐτάκτως ἀλλήλαις συμπεφυκυῖαι εἰσὶν ἀπ' ἀρχῆς τοῦ πατρὸς, ὥσπερ κλάδος, καὶ στέλεχος, καὶ ῥίζα, συμπεφύκασι ἀλλήλοις, ὡς ἀπ' ἀρχῆς τῆς ῥίζης τοῦ δένδρου. ὡς δὲ περὶ τῆς

ἀκτῖνος λέγειν δεῖ καὶ τοῦ φωτός. οὐ γὰρ ἡ ἀκτὶς προάγει τὸ φῶς ἐν ἡμῖν. ἀλλὰ παρουσίαν μᾶλλον ἄμφω ἐκ τοῦ ἡλίου, διήκει δὲ (οἷον εἰπεῖν) διὰ τῆς ἀκτῖνος τὸ φῶς συνόν τε διόλου, καὶ ὡς ἂν ἐκείνη παρῇ, τοῦτο καὶ τούτῳ παραγινόμενον. εἰ καὶ ἡ πρὸς τὸ φῶς τῆς ἀκτῖνος τάξις, οὐχ οὕτως σαφής ἐστιν, ὥσπερ ἡ τοῦ κλάδου πρὸς τὸν καρπόν, διὰ τὸ μηδὲ τοῖς ἐσχάτοις ταῦτα συναπλεθῇ καθάπερ ἐκεῖνα. ἀλλ᾽ ἐκ τῆς ἐνεργείας μόνον εἶναι δήλην τὴν τάξιν τούτων καὶ τὴν διάκρισιν. ἐκδηλοτέρα δ᾽ ἂν εἴη ἡ διαφορά, εἴπερ ἥλιον καὶ φῶς καὶ θέρμην παρελάμβανον οἱ διδάσκαλοι. ἀλλ᾽ ὅμως ἥλιον καὶ φῶς καὶ ἀκτῖνα παρειλήφασιν, ὡς ἂν διὰ τῶν τριῶν τούτων, ἡ φυσικὴ κοινωνία παραδειχθῇ. ἅτε τῆς φωτιστικῆς ἐνεργείας ἑκάστῳ τούτων φυσικῶς ἐνεργούσης. Εἰ δέ τις ἔν τε τοῖς μέρεσι τῶν φυσικῶν, ἔν τε ταῖς ἐξ αὐτῶν ἐνεργείαις, τάξιν εἶναι λέγοι τινά, δι᾽ ἣν ἕτερον ἑτέρου πρότερον ἐστί, καὶ ἐξ ἀνάγκης αἴτιον. ὥσπερ ἐν ταῖς τοῦ πυρὸς ἐνεργείαις, προτέρα μὲν, ἡ τοῦ θερμαίνειν. δευτέρα δὲ, ἡ τοῦ ξηραίνειν. καὶ ἐν τῷ δένδρῳ, στέλεχος πρότερον κλάδου. ἐν οἷς πᾶσι τὰ πρότερα τῶν ὑστέρων αἴτια δοκοῦσιν εἶναι. οὕτω δὲ ἔχειν καὶ ἐπεὶ τῶν θείων προσώπων βιάζοιτο, τάξεως τινὸς ἐνυπάρχειν αὐτοῖς ὁμολογουμένης. ἡμεῖς περὶ μὲν τῆς ἐν ταῖς θείαις ὑποστάσεσι τάξεως, ὕστερον ἐροῦμεν, ὑφ᾽ ἡγεμόνι Θεῷ. ἅπερ οὐχ ὁ ἀνθρώπινος ἡμᾶς ἐκδιδάσκει λόγος, ἀλλ᾽ ἡ θεόπνευστος ὑφηγεῖται διδασκαλία. Περὶ δὲ τῶν μερῶν, ἢ τῶν ἐνεργειῶν τῶν φυσικῶν πραγμάτων, εἰ καὶ δυνάμεθα καθάπαξ τοῦτο ἀρνεῖσθαι. ἀλλ᾽ ἐπειδὴ πρὸς τὸ προκείμενον οὐδὲν ἡμᾶς ζημιοῖ, καὶ συγχωροῦμεν πῶς ὅπερ ἀξιοῦσιν αὐτοί. οἷον συγχωροῦμεν τὴν ἀκτῖνα αἰτίαν εἶναι τοῦ φωτός, ἀλλ᾽ ὡς ἐνέργειαν τοῦ ἡλίου, ὡς αὐτοί φασιν ἄλλης ἐνεργείας προτεταγμένην. καὶ τοῦ κλάδου στέλεχος, ἀλλ᾽ ὡς μέρος. ἀλλ᾽ οὔτε σύνθετον ἐστὶ τὸ θεῖον ἐκ μερῶν. οὔτε ἐνέργειαι εἰσὶν ἀνυπόστατοι τοῦ πατρὸς, ὁ υἱὸς, καὶ τὸ πνεῦμα. ἵνα δὴ τὰ ταῖς ἐνεργείαις συμβαίνοντα καὶ τοῖς μέρεσι, καὶ τοῖς θείοις προσώποις αὐτοῖς ὁμοίως συμβαίνῃ. τοὐναντίον γάρ. ἵνα μηδὲν τοιοῦτον καὶ περὶ τῶν θείων ἐκ τῶν ὑποδειγμάτων τούτων ὑποπτευθῇ, παραιτεῖται τὴν ἐκ τῶν ὑποδειγμάτων

μάτων τύπων βοήθειαν ὁ θεολόγος· καὶ αὐτῷ πρὸς ἑτέραν χρείαν παρέ- Γρηγ. θεο. „ χηται. φησὶ γὰρ ἐν τῷ περὶ τοῦ πνεύματος λόγῳ. Πάλιν ἥλιον, ἐνεθυ- „ μήθην, ἀκτῖνα, καὶ φῶς. ἀλλὰ κἀνταῦθα δέος. πρῶτον μὲν, μὴ σύνθε- „ σις τις ἐπινοῆται τῆς ἀσυνθέτου φύσεως, ὥσπερ ἡλίου, καὶ τῶν ἐν ἡλίῳ. „ δεύτερον δὲ, μὴ τὸν πατέρα μὲν οὐσιώσωμεν, τἄλλα δὲ μὴ ὑποστήσωμεν· ἀνυπόστατα γάρ εἰσιν ἥ τε ἀκτὶς καὶ τὸ φῶς, ὡς δὴ ἐνέργειαί τινες καὶ ποιότητες· ἔπειτα καὶ ἐν αὐτοῖς τοῖς φυσικοῖς, εἰ καὶ αἴτιόν ἐστι, τὸ μέρος τοῦ μέρους, καὶ τῆς ἐνεργείας ἡ ἐνέργεια, ἀλλ' οὐχ ἁπλῶς, ἀλλ' ἢ μόνον ὡς πρότερα. ὥσπερ ἔχει κἀπὶ τῶν τεχνιτῶν· ὅτι πρότερον μὲν τοίχου θεμέλιος, καὶ ὡς δὴ πρότερον αἴτιον·* ὅτι οὐκ ἂν γένοιτο ἄνευ κλάδου ἐν τοῖς φυτοῖς, οὐδὲ κλάδος ἄνευ στελέχους· οὐδὲ ξηράνοι ἄν τις θερμὸν ὄν, μὴ πρότερον θερμάνας. ἀλλ' οὐκ ἔστιν ἁπλῶς τοῦ τοίχου αἴτιος ὁ θεμέλιος, ἀλλὰ μᾶλλον ὁ τεχνίτης, ἢ ἡ ἐν αὐτῷ οἰκοδομική. καὶ τοῦ ξηρανθῆναι τί, πυρὶ, ἢ ἡλίῳ, ὅ, τε ἥλιος, καὶ τὸ πῦρ, τῇ θέρμῃ μέντοι. καὶ τοῦ καρποῦ τὸ δένδρον πεφυκέναι αἴτιον. τοιοῦτον γὰρ αἴτιον ἐπὶ τοῦ προκειμένου ζητοῦμεν. τουτέστι παρακτικόν. ἢ εἴγε δεῖ καθόλου κατ' Ἀριστοτέλη λέγειν, ποιητικόν. περὶ γὰρ τῶν θείων προσώπων ὁ λόγος ἡμῖν ἐστιν. ἅπερ ἰδιοσυστάτως ὑφέστηκε. καὶ ὃ ἂν αὐτῶν ἐνεργεῖ ἔνδον, ὡς ὑπόστασις ἂν ἐνεργείη. τουτέστιν ὡς φύσις, καὶ πρᾶγμα ὑφεστηκὸς ἰδιοσυστάτως. Ὅτι δὲ οἱ διδάσκαλοι, εἰ καὶ συνεώρων τινὰ λόγον αἰτίας ἐν τῇ ἀκτῖνι πρὸς τὸ φῶς, ἀλλ' οὐ βουλόμενοι τοῦτο δεικνύναι καὶ τῷ υἱῷ πρὸς τὸ πνεῦμα ἐνυπάρχειν, τούτῳ τε καὶ τοῖς ὁμοίοις ἐχρήσαντο παραδείγμασι, δῆλον ἐστί. πρῶτον μὲν ἐξ αὐτῆς τῆς τῶν λόγων προθέσεως. οὐδαμοῦ γὰρ προθέμενοι δεῖξαι ὅτι ὁ υἱὸς αἴτιος ἐστὶ καὶ ἀρχὴ τοῦ πνεύματος, καθάπερ ὁ πατὴρ τοῦ υἱοῦ, ἢ καὶ ἕτερόν τινα τρόπον, ταῦτ' ἐπάγουσι τὰ παραδείγματα. ἀλλὰ τοῖς βουλομένοις συγχέειν τὰς ὑποστάσεις ἀντεξιόντες, ἢ τὴν θείαν φύσιν τοῖς προσώποις συνδιαιρεῖν, τῇ συμφυΐᾳ τῶν θείων ὑποστάσεων καὶ τῇ τάξει, ἐκ τούτων βοηθοῦσι τῶν παραδειγμάτων. μᾶλλον δὲ βοηθοῦσι τοῖς παχυτέροις τὸν νοῦν, πρὸς τὴν τῆς ἀληθείας κατάληψιν, καὶ τοὺς ἐναντίους ἐλέγχουσιν. ὁ γὰρ μέγας Γρηγόριος ἐν τῷ περὶ τοῦ πνεύ-

ματος λόγῳ, πρὸ τοῦ θεῖναι τὸ παράδειγμα τοῦ ἡλίου καὶ τῆς ἀκτῖνος καὶ τοῦ φωτός, τὸ τοῦ ὀφθαλμοῦ, καὶ τῆς πηγῆς, καὶ τοῦ ποταμοῦ, τίθησιν, ὡς δὴ [Γρηγ. θεολ.] καὶ ὑπ᾽ ἄλλων πρῶτον ἀνευρημένον. καί φησιν οὕτως. Ὀφθαλμὸν καὶ πηγὴν καὶ ποταμὸν ἐνενόησα. καὶ γὰρ καὶ ἄλλοι· μὴ τῷ μὲν ὁ πατήρ, τῷ δὲ ὁ υἱός, τῷ δὲ τὸ πνεῦμα τὸ ἅγιον ἀναλόγως ἔχῃ. ταῦτα γὰρ οὔτε χρόνῳ διέστηκεν, οὔτε ἀλλήλων ἀπέρρηκται τῇ συνεχείᾳ· κἂν δοκῇ πως τρισὶν ἰδιότησι τέμνεσθαι. Ἐν τούτοις ἡ τοῦ παραδείγματος ὁμοιότης πρὸς τὸ προκείμενον. εἶτα τίθησι τὴν ἀνομοιότητα, καὶ φησίν. Ἀλλ᾽ [Ὁ αὐτός.] ἔδεισα πρῶτον μέν, ῥύσιν τινὰ θεότητος παραδέξασθαι, στάσιν οὐκ ἔχουσαν. δεύτερον δέ, μὴ τὸ ἐν τῷ ἀριθμῷ διὰ τῆς εἰκασίας ταύτης εἰσάγηται. Οὐκοῦν σαφές ἐστιν, ὅτι κατὰ τοῦ Ἀρείου καὶ Σαβελλίου λέγηται τούτῳ τῷ παραδείγματι. ἡ γὰρ ὁμοιότης τοῦ παραδείγματος, πρὸς τὴν διάκρισιν αὐτῷ καὶ τὴν ἕνωσιν τῶν θείων προσώπων, καὶ λίαν ἔδοξε συντελεῖν. καθ᾽ ὧν ἡ τῶν αἱρετικῶν ἐκείνων θρασύτης ἐστράτευσεν· ὀφθαλμὸς γὰρ (φησὶ) πηγὴ καὶ ποταμός, οὐ διέστηκε χρόνῳ. οὐκοῦν πολλῷ μᾶλλον οὐδὲ πατὴρ καὶ υἱὸς καὶ πνεῦμα χρόνῳ διεστήκασιν, ὡς Ἄρειος ἐλήρει. καὶ διὰ τοῦτο καὶ φύσει διενηνόχασι. καὶ αὖθις, ὀφθαλμὸς πηγὴ καὶ ποταμός, οὐκ ἀπέρρηκται ἀλλήλων τῇ συνεχείᾳ, κἂν δοκῇ πως τρισὶν ἰδιότησι τέμνεσθαι. οὐκοῦν πολλῷ μᾶλλον πατὴρ καὶ υἱὸς καὶ πνεῦμα ἅγιον συμπεφύκασί τε ἀλλήλοις, καὶ ἔχονται ἀλλήλων, καὶ οὐδὲν ἧττον τρισὶν ἰδιότησι τέμνονται, καὶ οὐχ ἕν εἰσι πάντα ἀριθμῷ, ὡς ὁ Σαβέλλιος ἐφλυάρει. τοῦτο δὲ δῆλον ὁ θεολόγος οὗτος πεποίηκεν ἐν τῇ τοῦ λόγου προτάσει. προὔτεινε γὰρ ὡς ἴσον ἐστὶν εἰς ἀσέβειαν, καὶ σαβελλίως συνάψαι, καὶ ἀρειανῶς διαστῆσαι. τὸ μέν, τῷ προσώπῳ. τὸ δέ, ταῖς φύσεσιν. εἶτα ἐπήγαγε τὰ παραδείγματα ταῦτα. Ἀλλ᾽ οἱ τῆς καινοτομίας προϊστάμενοι ταύτης, οὔτε τὴν χρείαν, οὔτε τὸν σκοπὸν τοῦ διδασκάλου συνορᾶν ἐθέλοντες, πρὸς τὰς προόδους τῶν θείων προσώπων, καὶ τὴν αἰτίαν, βιάζονται ταῦτα τὰ ὑποδείγματα. οὐδὲν δὲ τοιοῦτον, οὔτ᾽ ἐκείνῳ λέγεται, οὔτ᾽ ἐξ ἀνάγκης ἕπεται. ἀλλ᾽ ἡ μόνον ἡ κατ᾽ οὐσίαν συνέχεια, μᾶλλον δὲ συνάφεια τῶν τριῶν· καὶ ἡ

τοῦ ἑνὸς κατὰ τὰς ἰδιότητας ἐν ἑαυτῷ διάκρισις, καὶ τὸ πλῆθος. πρὸς δὲ τούτοις, εἰ τὸν υἱὸν ἔμελλον λέγειν αἴτιον τοῦ πνεύματος, ἀκολούθως ἐκείνοις τοῖς παραδείγμασιν, ὑλικὴν αἰτίαν τοῦτον ἐτίθουν ἢ ὀργανικήν. τὰ γὰρ οὐκ ἄνευ τούτων, ὑπὸ τὸ γένος τῆς ὑλικῆς αἰτίας ἀνάγονται, ὡς τὸ διὰ τὴν ὕλην ἀναγκαῖον μιμούμενα. ἢ ὀργανικά εἰσιν ὡς συνέργα καὶ συναίτια. ἀλλ' ὁ υἱὸς τοῦ Θεοῦ, οὔθ' ὑλικὴ αἰτία ἐστὶ τοῦ πνεύματος, οὔθ' ὡς ὑλική. οὔτε συνεργὸς ἐστὶ καὶ συναίτιος. οὐθ' ὅλως ἔχει ταῦτα καὶ τὰ τοιαῦτα, χώραν ἐν τοῖς θείοις τινά. εἰ δὲ καὶ ἀληθὲς ἐστὶ λέγειν, τὸ πνεῦμα οὐκ ἄνευ τοῦ υἱοῦ προῆχθαι ἐκ τοῦ πατρὸς, ὡς δὴ τάξει προτέρου τε καὶ συμπεφυκότος. ἀλλὰ πᾶσαν φαντασίαν ὑλικοῦ τινὸς πράγματος, ἢ ὡς ὑλικοῦ πρῶτον ἐκβάλλοντας, τὸν δὲ τῆς τάξεως καὶ τῆς συμφυΐας λόγον καταλειπόντας μόνον, οὕτω δεῖ τοῦτο λέγειν τε καὶ νοεῖν. οὐκοῦν καὶ τὸν τῆς αἰτίας λόγον, οὐδ' ὅλως ἠβούλοντ' ἂν συγχωρεῖν· ᾧ καὶ ὁ τρόπος συνεισήγετ' ἂν ἐξ ἀνάγκης. ἐπεὶ τῷ τῆς αἰτίας ὀνόματι καὶ τὸ γένος δεῖ συνεπινοεῖσθαι. ὥσπερ τὸ γένος τῆς ποιητικῆς αἰτίας, εἴτουν πρακτικῆς, ἐν τῷ τὸν πατέρα λέγειν υἱοῦ καὶ πνεύματος αἴτιον, συνεισάγεται τὰ μὲν ἄλλα οὐχ ὁμοίως, τοῖς τε θείοις καὶ τοῖς ἄλλοις ἀποδιδόμενον πράγμασι· ταύτῃ δ' ὁμοίως, ὅτι ἐπί τε τῶν ἄλλων πραγμάτων τὰ λοιπὰ τῆς αἰτίας γένη χωρίζεται, ᾧ ἂν ὁ λόγος τῆς ποιητικῆς αἰτίας ἀποδοθῇ· οὐ γὰρ ἐστὶ τὸ αὐτὸ, καὶ τοῦ αὐτοῦ, ποιητικόν τε ἅμα εἶναι καὶ ὑλικὸν αἴτιον καὶ εἰδικόν. κἀνταῦθα εἰ ἀληθέστερον τὸν πατέρα πρακτικὴν ἀρχὴν καὶ αἰτίαν τοῦ υἱοῦ καὶ τοῦ πνεύματος, ἢ ἄλλως πῶς λέγειν, οὐδὲ μία λοιπὸν τοῖς ἄλλοις τῶν αἰτίων τρόποις καταλείπεται χώρα. εἰ δὲ καὶ οἷόν τ' ἦν καθ' ὁμοιότητα τῶν παραδειγμάτων ἐκείνων, τὸν υἱὸν τοῦ πνεύματος λέγειν αἴτιον, ὡς λέγοιτ' ἂν αἴτιον τὸ οὐκ ἄνευ αὐτοῦ, ἀλλ' οὐκ ἂν συνήνεγκε τῇ ἄκρᾳ καὶ ἁπλουστάτῃ ἑνότητι τῆς θείας φύσεώς τε καὶ δόξης. ἄλλως μὲν αἴτιον τὸν πατέρα τοῦ υἱοῦ λέγειν, ἄλλως δὲ τὸν υἱὸν τοῦ πνεύματος. οὔτε γὰρ ἑνοειδῶς ἂν ὁ πατὴρ προῆγε τὸ πνεῦμα καὶ ὁ υἱός. καὶ ἅμα χεῖρον ἂν ὁ υἱὸς ἢ ὁ πατὴρ, ὅσῳ καὶ τὸ γένος τῆς πρακτικῆς αἰτίας. ἧς ἄνευ οὐ δύναται εἶναι τὸ ἐξ αὐτῆς τιμιώτε-

ρόν

ρόν τε καὶ βέλτιον, τοῦ οὐκ ἄνευ αὐτοῦ. εἴθ' ὑπὸ τὸ τῆς ὑλικῆς αἰτίας, εἴθ' ὑπὸ τὸ τῆς ὀργανικῆς γένος ἀνάγοιτο. εἴτε καὶ αὐτὸ τὶ γένος τῆς αἰτίας ἐστὶ τῶν ἄλλων διῃρημένων καθάπαξ· εἰ δὲ τὸν υἱὸν ἀρχὴν καὶ αἴτιον τοῦ πνεύματος δεικνῦναι βουλόμενοι, καθάπερ καὶ τὸν Θεὸν καὶ πατέρα, οἱ τῆς Ἐκκλησίας διδάσκαλοι, οὔτε τοῦτο προσετίθεσαν, ἵνα δὴ καὶ σαφὲς ἦν ὃ λέγειν ἐβούλοντο, καὶ διὰ τῶν παραδειγμάτων ἐμφαίνειν, παραδείγμασί τε ἐχρῶντο. ἐξ ὧν ἡ μηδαμῶς αἴτιος εἶναι τοῦ πνεύματος ὁ υἱὸς καταφαίνεται, ἢ οὔτοιγε τὸν αὐτὸν τρόπον τῷ πατρὶ, ἀλλὰ καὶ χείρω τῷ γένει. τοῦτ' ἂν τῆς τῶν διδασκάλων σοφίας καὶ ἀκριβείας ἀνάξιον. Περὶ μὲν οὖν τῶν εἰκόνων, ἐξ ὧν ὁ μακάριος Αὐγουστῖνος τὴν δόξαν ταύτην συλλέξαι δοκεῖ, ἀρκείτω τοσαῦτα. δῆλον γὰρ ἐστὶν ἐκ τῶν εἰρημένων, ὡς οὔτε πάσαις ἀνάγκαις τὰς εἰκόνας ταύτας ἐπὶ τῶν θείων, οὔτε καθάπαξ δεῖ κρατεῖν. ὅθεν εἰ βουλοίμεθα πρὸς τὴν δόξαν τοῦ διδασκάλου ταύτην ἐνίστασθαι, καὶ μηδαμῶς αὐτῇ συγχωρεῖν, καίτοι διδάσκαλον αὐτὸν εἰδότες, καὶ τοῖς ἄλλοις διδασκάλοις συνανακηρυγμένον, καὶ τῶν παρὰ τῆς Ἐκκλησίας ἠξιωμένον γερῶν, τοσαῦτα καὶ πλείω λέγειν ἔξεστιν, ὃ ποῦ περὶ Δαμασκηνοῦ φασὶν οἱ Λατῖνοι. περὶ δὲ τοῦ Γρηγορίου τοῦ Νύσσης ἕτεροι λέγουσι. καὶ οὐδεὶς ἡμᾶς ἀναγκάσει λόγος, πλέον αἰδοῦς Αὐγουστίνῳ νέμειν, ἢ αὐτὸς ἑαυτῷ δεῖν φησὶ νέμειν, καὶ τοῖς ἄλλοις ἐκεῖνος δίδωσι, καὶ οἱ Λατῖνοι τοῖς ἡμετέροις, καὶ ἡμεῖς τῶν ἡμετέρων ἐνίοις, καὶ οἱ παρ' ἡμῖν ἅγιοι ἀλλήλοις, ὡς πρότερον ἀποδέδεικται. ἅμα δὲ καὶ ἐπὶ τοῖς ὑποδείγμασι τῶν παρ' ἡμῖν διδασκάλων, οἷς ἐκεῖνοι πρὸς ἑτέραν χρείαν ἐχρήσαντο, κακούργως οἱ Λατῖνοι χρῶνται. καὶ οὔτε τοῖς διδασκάλοις αὐτοῖς, οὔτε τοῖς κανόσι τῆς ἱερᾶς θεολογίας, οὔτ' αὐτοῖς τοῖς πράγμασι δι' ὧν ἀξιοῦσι, συνᾴδουσι· καὶ ὡς ἀδύνατον ἐστὶν ἐκ τῶν τοιούτων παραδειγμάτων, τὸν υἱόν τε δειχθῆναι τοῦ πνεύματος αἴτιον ἀληθῶς. καὶ τοὺς διδασκάλους ἡμῶν οὕτω φρονοῦντας, ἐκ τῶν εἰρημένων γέγονε δῆλον.

Τμῆμα τρίτον. ἐν ᾧ προκατάστασις τῶν πρὸς τὴν ἔνστασιν λόγων, καὶ ἔκθεσις τῶν ῥητῶν τῶν διδασκάλων τῶν παρ' ἡμῖν. ἃ τὴν ἡμετέραν βεβαιοῦσι δόξαν, τὴν δὲ τῶν Λατίνων ἐλέγχουσιν. ὅτι ἀνάγκη καὶ Αὐγουστῖνον, καὶ ἕκαστον τῶν διδασκάλων, πρὸς τὴν κοινὴν ἐπισπᾶσθαι πίστιν. καὶ ὅτι ῥᾴδιον ἐστὶ τοῦτο ποιεῖν.

ΚΕΦΑΛΑΙΟΝ ιη.

Ἀλλ' ἔνεστιν ἡμῖν ἔνεστι καὶ συμφωνοῦντα ἀποδεῖξαι τῇ κοινῇ πίστει τὸν μακάριον Αὐγουστῖνον, εἴγε βουλοίμεθα· καὶ τὸ μὴ δύνασθαι τοῦτον συνᾴδειν, ἐκ τοῦ μηδὲ ἡμᾶς τοῦτο βούλεσθαι, συναντήσεται. οὐδὲ γὰρ τὸν θεῖον Δαμασκηνὸν συνῆψεν ἄν τις τοῖς ἄλλοις διδασκάλοις ῥᾳδίως, εἴπερ ἐβούλετο πρόῤῥιζον πάντων αὐτὸν ἀποδιϊστᾶν, ἐν οἷς ἐπινοίᾳ φησὶ τὴν τῶν θείων προσώπων εἶναι διάκρισιν, τῶν ἄλλων πραγματικῶς διακεκρίσθαι ταῦτα βοώντων, καὶ τὴν τῆς ἐπινοίας διάκρισιν, εἰς τὸν Λίβυν ἀποῤῥιπτούντων Σαβέλλιον. ἀλλ' ὅτι καλῶς τε καὶ δικαίως ἀκούειν τοῦ διδασκάλου βουλόμεθα, καὶ τὸν τρόπον ᾧ συναπτέον ἂν εἴη πᾶσι τοῖς διδασκάλοις αὐτὸν, ῥᾳδίως εὑρίσκομεν. ἢ τί χρῆναι ἄλλο ποιεῖν πρὸς Θεοῦ, τοσαύτης οὔσης τῆς φαινομένης διαφωνίας ἐν αὐτῷ καὶ τοῖς ἄλλοις, οὐδ' ἐν τῷ τυχόντι πράγματι, μόνον τὸν Δαμασκηνὸν ἀληθεύειν οἴεσθαι, τὰ θεῖα πρόσωπα κατ' ἐπίνοιαν διακρίνοντα, τοὺς δὲ ἄλλους μηδὲ εἰδέναι ὃ λέγουσιν, αἱρετικοὺς δὲ εἶναι, καὶ τοὺς αὐτοῖς πειθομένους; ἀλλὰ τοῦτο, οὐδ' ἂν αὐτὸς ὁ Δαμασκηνὸς βουληθείη. ταῖς γὰρ κοιναῖς τῶν διδασκάλων γνώμαις ἀκολουθεῖν ἰσχυρίζεται, καὶ μηδὲν λέγειν οἴκοθεν, μηδὲ ἀρέσκον αὐτῷ μόνῳ. ὅθεν εἴ τινι τὴν τοῦ ψεύδους καὶ τῆς ἀπάτης αἰτίαν προσάπτειν ἔχρην, τούτῳ μᾶλλον ἔχρην μόνῳ προσάπτειν, ἢ πᾶσιν ἐκείνοις ὁμοῦ, καὶ παρ' αὐτῷ δικαστῇ. ἀλλ' εἴποιμεν

ἂν

ἂν τῷ Δαμασκηνῷ τὰ Σαβελλίου νοσεῖν; ἀλλὰ τοῦτο ψεῦδος ἐστὶ καὶ ἀγνώμον· νοσεῖεν δ' ἂν πάντως, εἰ μὴ συμφωνοίη τοῖς ἄλλοις· ἀλλ' ἅπερ ἐκεῖνοι σαφῶς εἰς τὸν Σαβέλλιον ἀπορρίπτουσι, ταῦτα τολμῴη λέγειν αὐτός. νοσοίημεν δ' ἂν καὶ ἡμεῖς τὴν αὐτὴν νόσον, εἰ πιστεύοντες ἐπινοίᾳ, καὶ οὐ πράγματι, τὰ θεῖα πρόσωπα διακρίνεσθαι. καὶ μαχόμενοι τοῖς τοὐναντίον λέγουσι, καὶ νομίζοντες αὐτοὺς πεπλανῆσθαι, ἀντ' ἀσπίδος τὸν Δαμασκηνὸν προβαλλοίμεθα. καὶ ἡγοίμεθα μὲν αὐτὸν ἀπεναντίας λέγειν τῶν ἄλλων, ἐλπίζοιμεν δ' ἐπ' ἀσφαλοῦς βεβηκέναι τῷ Δαμασκηνῷ μόνῳ προσέχοντες. καίτοι μεγίστης ἀσφαλείας ἐστὶ δήπου τῷ Δαμασκηνῷ προσέχειν, καὶ οὐδεὶς ἂν κινδυνεύσειε προσέχων αὐτῷ· ἀλλὰ δεῖ πρῶτον αὐτὸν σύμφωνον ὑποτιθέναι τοῖς ἄλλοις· ἂν δὲ διαφωνεῖν αὐτὸν τοῖς ἄλλοις πᾶσιν ὑποτιθέμενοι, οὕτω μόνον προσέχειν αὐτῷ διὰ φιλονικείαν βουλόμεθα. ὁ μὲν, καὶ οὕτως ἅγιος ἔσται καὶ θεῖος καὶ ταῖς ἀληθείαις ἀδελφὰ τοῖς ἄλλοις ἐρεῖ. καὶ οὕτως ὑπὸ τῶν νοῦν ἐχόντων, ὑγιᾶ λογισθήσεται. ἡμεῖς δὲ, οὐκ ἔσθ' ὅπως ταῖς τοῦ Λίβυος εὐθύναις οὐχ ὑποκεισόμεθα. Ὅτι δὲ εἰ καὶ οἷόν τ' ἐστὶν ἕνα τινὰ τῶν διδασκάλων τῆς ὀρθῆς ἀπενεχθῆναι γνώμης, περὶ ὁτινοσοῦν τῶν ζητημάτων τῆς πίστεως, ὅπερ ἂν μήπω διωρισμένον παρὰ τῆς Ἐκκλησίας εἴη, ἀλλ' ἡμῖν οὐ μετὰ τοιαύτης γνώμης χρὴ τοῖς διδασκάλοις προσφέρεσθαι, πάσῃ δὲ μηχανῇ πρὸς τὴν κοινὴν τῆς Ἐκκλησίας δόξαν τὰ ἑκάστου μετοχετεύειν, πρῶτον μὲν αὐτόθεν ἐστὶ σαφὲς, τοῖς βουλομένοις μετ' εὐγνωμοσύνης σκοπεῖν. οὕτω γὰρ ἥ τε ὀφειλομένη παρὰ πάντων αἰδὼς τοῖς διδασκάλοις περισωθήσεται. καὶ τὰ τῆς ἀληθείας βέβαια ἔσται. ἂν δὲ τοὐναντίον τὴν περὶ τοῦ ψεύδους καὶ τῆς πλάνης ὑπόνοιαν, ῥᾳδίως περὶ ἑκάστου τῶν διδασκάλων ἐν ἡμῖν αὐτοῖς λαμβάνοντές τε, καὶ βεβαιοῦντες, οὕτω δὴ τὰ περὶ τῶν δογμάτων βουλώμεθα διαιτᾶν, ἐπ' οὐδενὸς ἡμῖν τὰ τοιαῦτα βεβαίως στήσεται. καὶ ἡ ἱερὰ ἡμῖν διδασκαλία, συγχύσεως ἔμπλεως ἔσται. τῶν ἐπὶ ταύτην ἡγεμόνων καὶ ὁδηγῶν ἡμῖν, ἀπιθάνων καθισταμένων· ἢ ἔν τισι μὲν πιθανῶν, ἐν ἄλλοις δὲ ἀπιθάνων, καθὼς ἂν ἑκάστῳ δόξειε χρῆσθαι· καὶ ἡ μὲν πίστις ἀληθὴς οὐ-

δὲν

δὲν ἢ ποῖ ἔσται καὶ οὕτω· (οὐ γὰρ τῷ ψεύσασθαί τινα τῶν διδασκάλων ἐν [illegible]φοιῶ, ἀνθρώπινόν τι παθόντα, αἶσχός τι σαθρότητος τῇ ταύτης περιτριβήσεται βεβαιότητι·) ἡμεῖς δὲ περὶ αὐτὴν κινδυνεύσωμεν, οὕτως εὐκόλως τὰ κατὰ τοὺς διδασκάλους ἀποφαινόμενοι· καὶ τοὺς μὲν, προϊέμενοι. τοὺς δὲ, ἀποδοκιμάζοντες· ἅμα δὲ καὶ τὴν τῆς Ἐκκλησίας εἰρήνην σπαράξωμεν διηνεκῶς, ὑπὸ τῷ τῶν διδασκάλων προκαλύμματι· ἄλλως γὰρ ἄλλῳ πειθόμενοι τῶν διδασκάλων, καὶ ταῖς ἡμετέραις γνώμαις ἐκείνους συνδιαιρούμενοι, σὺν ἀπαραλλάκτῳ τῇ παρ' ἐκείνων ῥοπῇ τε καὶ συμμαχίᾳ, κατ' ἀλλήλων στρατεύσωμεν. καὶ ἢ [illegible]σώμεθα μὲν πάντες ὁμοίως νικᾶν. τοῦτο δ' ἀδύνατόν ἐστιν· ἀλλὰ τῆς τε ἀληθείας καὶ τῆς εἰρήνης ἐχθροῖς κεῖσθαι συμβήσεται, τοῖς ἐκ τοῦ μὴ δικαίως βούλεσθαι διαιτᾶν, πρὸς τὴν τοῦ ψεύδους καὶ τοῦ πολέμου τούτου συνηγορίαν ἀποχρησαμένους τῶν διδασκάλων τινί. ὧν ἕκαστος καὶ τῆς ἀληθείας καὶ τῆς εἰρήνης πάνυ προὐνόησε. παραδείγματα δὲ τῆς οὕτω καλῆς περὶ τοὺς διδασκάλους οἰκονομίας, ἐξ αὐτῶν δυνάμεθα τῶν διδασκάλων λαβεῖν. Ἢ τίς ἀγνοεῖ τὸν ἱερὸν Μάξιμον, τὰ τοῦ Νύσσης περὶ τῆς ἀποκαταστάσεως δόγματα, μηχαναῖς τισι θεραπεύοντα; οὐ πρὸς ἐξαπάτην μᾶλλον τῶν ἁπλουστέρων, ἢ πρὸς ὠφέλειαν αὐτῶν, καὶ νου-

Μάξιμ. περὶ Γρηγ. Νύσ. » θεσίαν· οὕτω γὰρ φησὶν ἐκεῖνος. Τρεῖς ἀποκαταστάσεις οἶδεν ἡ Ἐκκλη-
» σία. μίαν μὲν, τὴν ἑκάστου κατὰ τὸν τῆς ἀρετῆς λόγον, ἐν ᾗ ἀποκαθίσταται
» τὸν ἐν αὐτῷ λόγον τῆς ἀρετῆς ἐκπληρώσας. δευτέραν δὲ, τὴν τῆς ὅ-
» λης φύσεως ἐν τῇ ἀναστάσει εἰς ἀφθαρσίαν καὶ ἀθανασίαν ἀποκατάστασιν.
» τρίτη δὲ, ᾗ καὶ μάλιστα καταχέχρηται ἐν τοῖς αὐτοῦ λόγοις ὁ Νύσ-
» σης Γρηγόριος, ἐστὶν αὕτη· ἡ τῶν ψυχικῶν δυνάμεων τῇ ἁμαρτίᾳ ὑπο-
» πεσουσῶν εἰς ὅπερ ἐκτίσθησαν πάλιν ἀποκατάστασις. δεῖ γὰρ ὥσπερ τὴν
» ὅλην φύσιν ἐν τῇ ἀναστάσει, τὴν τῆς σαρκὸς ἀφθαρσίαν χρόνῳ ἐλπιζο-
» μένην ἀπολαβεῖν, οὕτω καὶ παρατραπείσας τὰς τῆς ψυχῆς δυνά-
» μεις, τῇ παρατάσει τῶν αἰώνων ἀπολαβεῖν. τὰς ἐντεθείσας αὐτῇ τῆς
» κακίας μνήμας ἀποθεμένους, καὶ περάσαντας πάντας αἰῶνας, καὶ μὴ εὑ-
» ρίσκοντας στάσιν, εἰς τὸν Θεὸν ἐλθεῖν τὸν μὴ ἔχοντα πέρας. καὶ οὕτω τῇ

ἐπι-

ἐπιγνώσει, οὐ τῇ μεθέξει τῶν ἀγαθῶν, ἀπολαβεῖν τὰς δυνάμεις, καὶ τὸ ἀρχαῖον ἀποκαταστῆναι, καὶ δεικνῦναι τὸν δημιουργὸν ἀνα… ς ἁμαρτίας. Χαλεπὸν ἂν εἴη πιστεύειν, ὅτι Μάξιμος τὸν Νύσσης πεπίστευκεν ὅτω, καὶ ἐκ τοιούτων αἰτιῶν κινηθέντα, ἐγκαταπεῖραι τοῖς πλείοσιν αὐτοῦ σχεδὸν τῶν λόγων τὸ δόγμα. οὐδεὶ γὰρ σχεδὸν (τῷ γε συνορᾶν δυναμένῳ) κοινὸν πρὸς τὴν Μαξίμου θεραπείαν, ἢ τοῦ Νύσσης κέκτηται λέξις. οὕτω σαφῶς, οὕτως ἐπεξειργασμένως, τὴν πρός τἀγαθὸν καὶ τὴν εὐδαιμονίαν ἐπάνοδον, μετὰ δίκας χρόνων μακρῶν, πᾶσι τοῖς νοεροῖς ἐγνωσμένην τοῦ Θεοῦ κτίσμασιν. ἀλλ' οὖν οὕτως ἔδοξεν αὐτῷ χρῆναι ποιεῖν. καί τοιγε ἐξῆν αὐτῷ τῶν τῆς αἱρέσεως ἐγκλημάτων ἀπαλλάττειν, οὐ μόναις ταῖς ὑπὲρ ἐκείνου ψήφοις τῆς Ἐκκλησίας ἁπλῶς, ἀλλὰ καὶ εὐλόγως πάνυ· πρὶν γὰρ ὀβελισθῆναι παρὰ τῆς Ἐκκλησίας τὸ δόγμα φανερῶς οὑτωσί, τοῦθ' ὁ ἱερὸς Νύσσης πεφρόνηκεν. οὐδὲ πρὸς τὸ κοινὸν τῆς Ἐκκλησίας φρόνημα, καὶ τὴν κοινὴν ἁπάντων ἐφιλονείκησε πίστιν. ἔτι γὰρ ἐν μοίρᾳ ζητήματος τοῦτ' ἦν· καὶ ἐξῆν ἑκάστῳ περὶ αὐτοῦ θέσιν ἰδίαν διαφυλάττειν, οὐδὲν ἀναισχυντοῦν τι πρὸς οὓς ἥκιστ' ἐξῆν. τοῦτο δ' ἂν ἦν καὶ ὑπὲρ τῆς ἱερᾶς Ἐκκλησίας ἀπολογία, ἣ τὸν Νύσσης τοῖς μακαρίοις συνέταξεν. ἐξῆν δὲ καὶ τόλμημα τινῶν τῆς ἀληθείας ἐχθρῶν, τὴν τῶν δογμάτων ἐκείνων λέγειν παρενθήκην, βουληθέντων οὕτω τὴν διδασκάλου δόξαν λυμήνασθαι, ἢ συνηγόρους καὶ τὰς ἐκείνου βίβλους οὕτω σφίσιν αὐτοῖς ἔχειν προσδοκησάντων. ἀλλὰ τοῦτο οὔτε ῥᾳδίως εἶχε δεικνῦναι Μάξιμος, καὶ ἅμα σοφίας καὶ ἀρετῆς, οὐκ ἂν τοσαύτην ἐντεῦθεν δόξαν ἠνέγκατο. οὕτω γὰρ πάντα ῥᾴδιον ἐστὶ λύειν. ἀλλ' ὅμως ἐκεῖνα παραδραμών, πρὸς τὴν κοινὴν πίστιν τοὺς τοῦ Νύσσης λόγους ἕλκειν ᾤετο δεῖν. διδάσκων ἡμᾶς ὅπως ἂν δέοι χρῆσθαι τοῖς διδασκάλοις· εὐλαβῶς δηλονότι καὶ εὐγνωμόνως, καὶ ὡς αὐτὸς ἄντικρυς· τὰ αὐτὰ δὲ καὶ πολλοῖς ἄλλοις τῶν διδασκάλων ἤρεσε πράττειν· ἀλλ' ἀρκεῖ Μάξιμος ἡμῖν ὡς ἐν παραδείγματος τάξει, περὶ τὴν παροῦσαν χρείαν ὁ ἱερός. Θωμᾶς δὲ ὁ τῶν Λατίνων διδάσκαλος, (πρὸς Θεοῦ) οὐχ οὕτω πανταχοῦ ποιεῖ; καὶ πρὸς τὴν ἐπικρατοῦσαν δόξαν τῆς Ἐκκλησίας,

τι τῶν διδασκάλων ἐπισπᾶσαι ῥητὰ, πάσαις μηχαναῖς ταῦτα μεταρρυθμί[illegible] καίτοι γ' ἔνια μετὰ πολλῆς ἕλκει τῆς δυσχερείας, καὶ πολλοῖς ἱδρῶσι τοῦτο ἐξεργάζεται. ἀλλ' ὅμως οὔτ' ἀνεξετάστους παρίησι τὰς ἐκ τῶν ῥητῶν ἐκείνων ἐνστάσεις· οὔτε δεῖν οἴεται τὴν ἑνός τινος διδασκάλου γνώμην κρατεῖν, τῶν τῇ κοινῇ πᾶσι δοξάντων· οὔτε δεῖ φησὶ τούτου ἢ ἐκείνου τοῦ διδασκάλου καταφρονεῖν, ἐναντία φρονήσαντος γνώμῃ. ἀλλὰ ταύτην προθεὶς, καὶ φανερῶς πρότερον ἀποδείξας,* οὕτω δὴ καὶ Ἰλάριον καὶ Αὐγουστῖνον εἴπου δοκῇ τι λέγειν ὑπεναντίον, ὥσπερ τις ἀγαθὸς διαλλακτὴς συμβιβάζει ταύτῃ καλῶς. καὶ μηχαναῖς τισὶν εὐφυέσι τὸ τῆς λέξεως παραλλάττον, εἰς νοημάτων συνελαύνει ταυτότητα. οὕτω δὲ καὶ τὰ περὶ τὴν ἐκπόρευσιν τοῦ ἁγίου πνεύματος καλῶς ἂν διήτησεν, εἰ πρὸ τοῦ σχίσματος ἦν. καὶ Αὐγουστῖνον, καὶ Ἰλάριον, καὶ Ἱερώνυμον, εἰς τὴν κοινὴν ἂν μετερρύθμισε δόξαν. τοῦτο δὲ νῦν οὐ ποιεῖ· ἀλλὰ μᾶλλον αὐτοὺς εἰς τὴν νέαν τῆς Ῥωμαϊκῆς Ἐκκλησίας δόξαν βιάζεται· συγγνωστὰ πράττων ἴσως, εἴγε τῆς θρεψάσης αὐτὸν Ἐκκλησίας ὑπερασπίζειν προείλετο. τὸ γὰρ τἀληθῆ προτιμᾶν, τῆς παρὰ κρείττονος χορηγίας ἂν ἦν. καὶ πρὸς τούτῳ, χαλεπὸν ἦν αὐτὸν διαιτητὴν ἀκριβῆ τοῦ ζητήματος καθεσθῆναι, μὴ καὶ τὰ ἡμέτερα καλῶς ἐπεγνωκότα. καθάπερ ἡμεῖς νῦν σχεδὸν, ταῖς ἑκατέρων συστάσεσιν, ὑπό τε φιλοτιμίας καὶ ἀνάγκης ἐγγεγυμνάσμεθα. οὐδὲν γὰρ ἐστὶ παρὰ Λατίνοις ῥητὸν, ἢ ἐπιχείρημα, πρὸς τὴν αὐτῶν δόξαν ταύτην, ὃ μὴ καὶ πρὸς τὴν τῶν ἡμετέρων μετελήλυθεν εἴδησιν· Εἰ μηδενὶ ἄλλῳ τοίνυν, Θωμᾷ γοῦν ἑπομένους κατ' ἴχνος ἡμᾶς, πρὸς τὴν κοινὴν τῆς Ἐκκλησίας δόξαν (ἧς ἡμεῖς τῇ τοῦ Θεοῦ χάριτι, ἔτι πάνυ βεβαίως ἀντιποιούμεθα) καὶ Αὐγουστῖνον, καὶ Δαμασκηνὸν, καὶ πάντα διδάσκαλον, ἐπισπᾶσθαι χρὴ πάσαις μεθόδοις· καὶ μήτε τῆς φαιδρᾶς καὶ κοινῆς ἀληθείας, Αὐγουστῖνον, ἢ Δαμασκηνὸν, ἢ τινα ἄλλον τῶν διδασκάλων, ὑπερτιθέναι. μήτε ῥᾳδίως τούτου καταφρονεῖν, καὶ τὴν τῆς αἱρέσεως αὐτῷ καὶ τοῦ ψεύδους δόξαν περιτρίβεσθαι, ἐξὸν αὐτὸν σύμφωνον πᾶσιν ἐπιδεικνύναι. πάρεστι γὰρ ἡμῖν ὁ τῆς ἀληθείας κανών. πρὸς ᾧ τιθεμένοις τὰ τῶν διδασκάλων, ἐκείνους τε τιμᾶν πάντας

ὁμοίως,

ὁμοίως, καὶ ἡμῖν ἀσφαλέστερῳ δήπου διάγειν ἔξεσται. οὗτος δ' ἂν εἴη τὰ ἱερὰ εὐαγγέλια· καὶ τὰ κοινῇ παρὰ πᾶσι τοῖς ὀρθοδόξοις γεγενημένα καὶ κεκρατηκότα δόγματα μέχρι τοῦ νῦν. καὶ χαλεπὸν οὐδὲν ἐστὶ, πάντα τὰ τῶν διδασκάλων, τῷ κανόνι τούτῳ προσάγειν. οὔτ' εἴ τις προσάγοι δήπου καλῶς, τοῦτον εἰκὸς ἐστὶ τῆς ἀληθείας, ἢ τοῦ γε πρέποντος ἁμαρτεῖν, παρὰ Θεῷ δικαστῇ. σκοπῶμεν οὕτω τοίνυν καὶ τὸν Αὐγουστῖνον, ὅπως τοῖς ἄλλοις διδασκάλοις ἕξωμεν σύμφωνον. πρότερον δὲ τί πάντες οἱ παρ' ἡμῖν διδάσκαλοι περὶ τοῦ παναγίου πνεύματος λέγουσιν, ἐκθησόμεθα. καὶ τί πεφρόνηκεν ἡ τοῦ Χριστοῦ Ἐκκλησία κοινῶς· ὡς ἂν τούτων ἀμφοτέρων φανερωθέντων καλῶς, καὶ τῆς ἀληθοῦς δόξης ἐπιγνωσθείσης, ῥαδίως αὐτοῖς ὁ μακάριος Αὐγουστῖνος προσαρμοσθῇ. ἐπείπερ ἀναγκαῖον ἡγούμεθα, καὶ συμφέρον, πάσαις μηχαναῖς αὐτὸν προσαρμόττεσθαι· καὶ αὐτὸς γὰρ ἠθέλη γ' ἂν μᾶλλον ἐκείνοις, ἢ τοῖς τῶν νεωτέρων ἐφευρεταῖς προστιθέμενος· κἂν μέλλοι τοῦτο μὴ, βίᾳ καὶ χαλεπῶς. ἐκεῖνο δὲ, συμβαίνειν αὐτῷ ῥαδίως. προχωρήσουσι δὲ καὶ ἡμῖν οἱ τῆς ἐνστάσεως λόγοι, μετὰ τῆς αὐτῆς μὲν ἀληθείας. οὐ γὰρ ἀγῶνος χάριν καὶ διαλέξεως, τῇ ἀντιπαραστάσει συνέστημεν. ἀλλὰ καὶ λίαν ἀληθευτικῶς, ὡς ἐν ἀντιπαραστάσει γνῶ. ἥδιον δὲ καὶ ἡμῖν, καὶ τοῖς ἐντυγχάνουσιν, ὅτι καὶ Αὐγουστῖνον, καὶ τοὺς ἄλλους εὐρωπαίους πατέρας, συνῳδοὺς ἀποφανοῦμεν τοῖς ἡμετέροις πατράσι καὶ καθηγεμόσι τῆς πίστεως, τὴν μάχην τρέψαντες πᾶσαν ἐπὶ Λατίνους. οἱ τῶν ἰδίων καταψευδόμενοι διδασκάλων, τὴν αἰτίαν αὐτοῖς τῆς ἰδίας καινοτομίας ἀνατιθέασιν.

ΚΕΦΑΛΑΙΟΝ ιθ.

Τί κρατεῖ ἡ καθολικὴ ἐκκλησιαστικὴ πίστις, περὶ τῆς προόδου τοῦ πνεύματος. καὶ ὅτι τῆς χρονικῆς προόδου τοῦ πνεύματος, αἴτιος ἐστὶν ὁ υἱός.

ΤΟ πνεῦμα τοίνυν τὸ ἅγιον, τὸ πνεῦμα τῆς ἀληθείας, ὁ Παράκλητος, ὁ εἷς τῆς ὁμουσίου Τριάδος, τῆς θείας φύσεως ἐστὶν, ἀγα-

τὸν ἐνυπόστατόν τε καὶ ὑφεστὼς, καὶ καρπὸς ἐκείνης (ὡς οὕτως εἰπεῖν) συμ-
φυές τε καὶ συναΐδιος. καθάπερ δὴ καὶ ὁ λόγος ἕτερόν τινα τρόπον. ἐχρῆν
γὰρ ἀληθινὸν Θεὸν νοῦν ὄντα (οὕτω γὰρ ἀναλογικῶς αὐτὸν ἀνυμνοῦμεν,
ὡς παράδειγμά τι ζῶον καὶ ὑπερφυὲς τοῦ τῶν ὄντων ἀρίστου) καὶ λόγον
ἔχειν, καὶ πνεῦμα. καὶ τοῦτ᾽ εἶναι καθάπερ εἶδος αὐτοῦ καὶ ἐντελέχειαν τρό-
πῳ τινὶ, τὴν ὑποστατικὴν τῶν ἐξ αὐτοῦ προφυόντων ὑπερφυᾶ σύν-
ταξιν, δι᾽ ἣν Μονάς ἐστιν ἡ αὐτὴ καὶ Τριὰς τὸ παρὰ τῶν εὐσεβῶν ἡμῶν λα-
τρευόμενον. εἴτε γοῦν καθ᾽ ὁμοιότητα τῆς ἐν ἡμῖν ζωτικῆς κινήσεως, εἴτε
καθάπερ ὁρμήν τινα τῆς νοερᾶς ἐν ἡμῖν θελήσεως, τὸ πνεῦμα τὸ ἅγιον νοοίη
τις ἐν τῷ Θεῷ. ὥσπερ καὶ τὸν υἱὸν νοοῦμεν καθ᾽ ὁμοιότητα τῆς ἐνδοτέρας
τοῦ λόγου συλλήψεως, ἤτοι προφερομένου τούτου καὶ ἐξαγγελτικοῦ. ἀεὶ
νοοῦμεν τὸν Θεὸν λόγον ἔχειν καὶ πνεῦμα, ὥσπερ πιστεύομεν καὶ ἀεὶ νοοῦμεν
εἶναι Θεόν. αὐτὸν γὰρ εἶναι πιστεύομεν τὸν ἀληθινὸν Θεὸν, πνεῦμά τε, καὶ λό-
γον, καὶ τὴν αὐτῶν πηγὴν, τὸν ἄπειρον ἐκεῖνον καὶ ἀγέννητον νοῦν. τού-
των δὲ ἡμῖν αὐτὴ ἡ ἀλήθεια διδάσκαλος γίνεται. περὶ μὲν ἑαυτῆς φησί.
Ιωάν. ιζ. „ Δόξασόν με σὺ πάτερ παρὰ σεαυτῷ, τῇ δόξῃ ᾗ εἶχον πρὸ τοῦ τὸν κόσ-
„ μον εἶναι παρὰ σοί. τουτέστιν ἀϊδίως καὶ χρονικῆς ἁπάσης ἐννοίας ἐπέ-
κεινα. ἐπείπερ ἡ αὐτὴ ἐστὶν ἀρχὴ κόσμου τε καὶ χρόνου. περὶ δὲ τοῦ
Ιωάν. ιε. „ πνεύματός φησιν. Ὃ παρὰ τοῦ πατρὸς ἐκπορεύεται. οὐ γὰρ ὅτε ἤξη
πεμπόμενον, τότε καὶ ἐκπορεύσεσθαι εἶπε. τουτέστι τὸ εἶναι ἕξειν, καὶ
ὑποστήσεσθαι. ἀλλὰ πέμψειν μὲν αὐτὸς εἶπεν ὕστερον, διὰ τὸ μετ᾽
αὐτὸν ἀνεληλυθότα, καὶ αὐτοῦ συνευδοκοῦντος ἀφίξεσθαι. καὶ αὐτὸ δὲ
οἴκοθεν ἥξειν, διὰ τὴν ἐλευθερίαν καὶ τὸ ἀξίωμα τῆς θεότητος. ἐκπο-
ρεύεσθαι δὲ εἶπεν αὐτὸ ἐκ τοῦ πατρὸς, ὡς ἐκεῖθεν προϊὸν ἀϊδίως, καὶ
αὐτῷ τῷ προϊέναι, ὑφιστάμενόν τε, καὶ τῆς ἰδίας αἰτίας διακεκρινό-
μενον, ἐν ἄκρᾳ καὶ ἁπλουστάτῃ τῆς οὐσίας ἑνότητι. ἡ δὲ πρόοδος αὕτη
τοῦ πνεύματος, μέχρι μὲν τῶν τῆς θείας οἰκονομίας καιρῶν, ἐλάνθανε τοὺς
ἀνθρώπους, συνεπτυγμένως τε καὶ σκιωδῶς, καὶ ὡς ἐν τύπῳ μόνῳ, ἐν τοῖς
τῶν προφητῶν λογίοις προδεικνυμένη. ἐν δὲ τοῖς καιροῖς ἐκείνοις, ἤρξατο
φανεροῦσθαί τε καὶ πιστεύεσθαι, ἐν οἷς καὶ ἡ τοῦ υἱοῦ τοῦ Θεοῦ πρόοδος ἐφα-

νερώθη

ἱερώθη τοῖς πρώτοις ἀκολούθοις τῆς ἀληθείας, καὶ δι᾽ αὐτῶν πᾶσι τοῖς πιστοῖς πεφωτισμένοις τοὺς νοεροὺς ὀφθαλμούς. καὶ ἡ τῆς τοιαύτης προόδου φανέρωσις, δευτέρα καὶ χρονικὴ πρόοδος λέγεται, ὡς εἰς ἡμᾶς τε οὖσα καὶ δι᾽ ἡμᾶς· οὐ μεταβατικῶς κινηθέντος τοῦ πνεύματος πρὸς ἡμᾶς· ἀλλ᾽ ἡμῶν πρὸς τὴν γνῶσιν τῆς ἀϊδίου προόδου τούτου ἐκ τοῦ Θεοῦ, καὶ τὴν ἐκεῖθεν ἡμῶν βελτίωσιν, διατεθέντων πως ἐκ τῆς πρὸς τὸν υἱὸν τοῦ Θεοῦ, καὶ τὰ ἐκείνου δόγματα, πιστῆς εὐλαβείας. ὥσπερ εἴ τις τυφλὸς ὢν ἐκ γενέσεως σήμερον ἀναβλέψειεν, ἀληθὲς ἐστὶ λέγειν, σήμερον αὐτῷ λάμψαι τὸν ἥλιον, καίτοιγε ἀεὶ λάμποντα ἁπλῶς· ἐπεὶ δὲ καὶ ἐν εἴδει σωματικοῦ τινος πράγματος ἐφάνη τὸ πνεῦμα τὸ ἅγιον πρὸς βεβαίωσιν τῆς θείας οἰκονομίας (ὥσπερ ἀληθὲς ἐστὶν εἰπεῖν, καὶ τὸ πνεῦμα κατελθεῖν τὸ διὰ τῶν γλωσσῶν φανερούμενον, ὡσαύτως δὲ καὶ καταβῆναι ἐν εἴδει περιστερᾶς λέγεται, διὰ τὸ τὴν περιστερὰν ἔνδειξιν οὖσαν τοῦ πνεύματος φαίνεσθαι καταβαίνουσαν αἰσθητῶς· ἀλλὰ μὴν καὶ ἐμφυσᾶσθαι λέγεται, τουτέστιν ἐμπνεῖσθαι. ὅτι ὑπὸ τῷ τύπῳ τῆς τοῦ στόματος διαπνοῆς, ἐκ τοῦ Χριστοῦ προῆλθε τοῖς μαθηταῖς. ὁ γὰρ αὐτὸς ἦν, ὁ καὶ αἰσθητῶς ἐμφυσῶν, καὶ ἐμπνέων ἀοράτως τὴν χάριν τοῦ πνεύματος· καὶ δίδοσθαι λέγεται, καὶ λαμβάνεσθαι, καὶ ἐκχεῖσθαι, καὶ τῶν τοιούτων ὀνομάτων ἁπάντων) οὐ πρὸς τὴν ἀΐδιον τοῦ πνεύματος ὕπαρξιν, οὐ πρὸς τὴν ἀμέθεκτον ἐκείνην ὑπόστασιν, ἀλλὰ πρὸς τὰς τοῦ πνεύματος δωρεάς, δι᾽ ὧν ἡ τῶν ἀνθρώπων πίστις ἐβελτιώθη, τοῦ υἱοῦ τοῦ Θεοῦ ταύτας διανέμοντος, ὡς ἰδίας ἀναφερομένων, εἰ καὶ περὶ τῆς ἀμεθέκτου καὶ ἀπείρου φύσεως τοῦ πνεύματος λέγονται. τῆς μὲν οὖν χρονικῆς ταύτης προόδου τοῦ πνεύματος, ἀρχὴν καὶ αἴτιον ἐπιγινώσκουσιν οἱ παρ᾽ ἡμῖν διδάσκαλοι, τὸν υἱὸν τοῦ Θεοῦ ἐν τῷ προσλήμματι φανερωθέντα, καὶ δι᾽ ἑαυτοῦ τὸ πνεῦμα γνωρίσαντα. καὶ ἅμα τῶν τοῦ πνεύματος χαρισμάτων γενόμενον αὐτουργόν, οὐδὲν ἧττον, ἢ αὐτὸ τὸ πνεῦμα, καὶ ὁ ἀΐδιος αὐτοῦ προβολεύς. καὶ τοῦτο σαφῶς ἐκ τῶν ἱερῶν παρειλήφασι λογίων, ἑκάστην τῶν τριῶν ὑποστάσεων ἐνεργητικήν τε καὶ ἐνεργὸν τῆς ὠφελείας ἐκείνης καὶ τῆς ἐμπνεύσεως ἀποφηναμένην. περὶ μὲν γὰρ τοῦ πατρός, αὐτή φησιν ἡ ἀλήθεια, Ὃν πέμψει

Ἰωάν. ιδ. „ ὁ πατὴρ ἐν τῷ ὀνόματί μου. καὶ ἄλλον παράκλητον δώσει ὑμῖν· καὶ ὁ
πρὸς Τίτον „ [illegible] ἀπόστολος. Ἔσωσεν ἡμᾶς (φησὶ) διὰ λουτροῦ παλιγγενεσίας, καὶ
γ. „ ἀνακαινώσεως πνεύματος ἁγίου, οὗ ἐξέχεεν ἐφ' ἡμᾶς πλουσίως, διὰ Ἰη-
„ σοῦ Χριστοῦ. ὁ δὲ μακάριος Πέτρος ἐν ταῖς πράξεσιν εἰπεῖν λέγεται
Πράξεις β. „ περὶ τοῦ Χριστοῦ, Ὅτι τῇ δεξιᾷ τοῦ Θεοῦ ὑψωθεὶς, τήν τε ἐπαγγελίαν
„ τοῦ ἁγίου πνεύματος λαβὼν παρὰ τοῦ πατρὸς, ἐξέχεε τοῦτο, ὃ νῦν ὑμεῖς
„ βλέπετε καὶ ἀκούετε. καίτοιγε οὐ τὴν ὑπόστασιν τοῦ πνεύματος ἔβλεπόν
τε καὶ ἤκουον. οὐ δὲ τὴν δρᾶσιν ἐκείνης τῆς ὑποστάσεως, ὡς διετίθει τότε
τοὺς μαθητάς. οὐδὲ τὴν ἕξιν τὴν ἐγγινομένην σφίσιν ἀπὸ τῆς δρά-
σεως. ἀλλὰ τὴν ἐν τοῖς ἀποστόλοις διαπρέπουσαν χάριν, τοῦ τε λόγου, καὶ
τῶν θαυμάτων. ἣ τοῦ μὲν πνεύματος ἦν, ὡς δὴ ἐκεῖθεν ἐγγενομένη. πά-
θος δὲ τῶν ἀποστόλων, ἢ ἔργον ἦν, ὡς δι' αὐτῶν ἐνεργουμένον. οὗ δὴ χά-
ριν ἐβλέπετό τε καλῶς καὶ ἠκούετο, καὶ τῶν ὁρώντων τοῖς νοῦν ἔχουσιν, ἔν-
νοιάν τινα τῆς ἀφανοῦς καὶ πρώτης αἰτίας τῶν δρωμένων εἰσῆγε. περὶ δὲ
Κορινθ. α. „ τοῦ θείου πνεύματος, ὁ θεῖος Παῦλος φησί. Ταῦτα δὲ πάντα ἐνεργεῖ ἓν
κεφ. ιβ. „ καὶ τὸ αὐτὸ πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ καθὼς βούλεται. Ἐπειδὴ
τοίνυν ἐκχέει μὲν τὸ πνεῦμα, τουτέστι τὰς τοῦ πνεύματος δωρεὰς, ὁ πα-
τήρ. ἐκχέει δὲ ταύτας καὶ ὁ υἱός. ἐνεργεῖ ταύτας τὸ πνεῦμα καὶ διαι-
ρεῖ καθὼς βούλεται. ὡς δὴ φυσικοῦ τινος ἔργου καὶ κοινοῦ πρὸς τὴν κτί-
σιν, ὁμοτίμως τε καὶ ὁμονοητικῶς περιϊσταμένον, εἰκότως αὐτουργὸν τῆς δευ-
τέρας ἐκείνης περιόδου καὶ χρονικῆς, καὶ τὸν υἱὸν τοῦ Θεοῦ κηρύττουσιν οἱ
διδάσκαλοι. καίτοι καὶ ταύτης ἀρχή τις ἄναρχος ἐστὶν ὁ πατήρ· ὃς
διὰ Ἰησοῦ Χριστοῦ τὸ πνεῦμα ἐξέχεε. καθάπερ καὶ τῶν ὄντων αἰτία τις
ἀναίτιός τε καὶ ἄναρχος αὐτὸς ἐστὶν ὁ πατήρ. ὃς δι' υἱοῦ τὰ ὄντα δεδημι-
ούργηκε. καὶ ἐν πνεύματι δὲ, καθάπερ ἡ κτίσις ἐδημιουργήθη, οὕτω καὶ
τὰς θαυματουργίας ἐκείνας ὁ ἡμέτερος δεσπότης ἐποίει. ἐν γὰρ δακτύ-
λῳ Θεοῦ τοὺς δαίμονας ἐξέβαλεν. ἀλλ' οὐδὲν ἧττον ἀρχὴ πρώτη τῶν ἀ-
γαθῶν ἐκείνων ὑπόστασις ἑκάστη γέγονεν. ὥσπερ ἄρα καὶ τῆς πρώτης τῶν
ὄντων δημιουργίας, τῆς τάξεως ἣν ἔχουσιν αἱ ὑπερφυεῖς ὑποστάσεις ἐν ἑ-
αυταῖς καὶ πρὸς ἑαυτὰς, κἂν αὐτῷ τῷ δημιουργεῖν, κἂν τοῖς ἔργοις τῆς

οἰκο-

οἰκονομίας, οὔτε πρὸς τὴν δημιουργίαν ἐπερειδομένης, ὥστε ταύτην συν-
διαιρεῖν. οὔτε πρὸς τὰς ἐκ τῆς θείας οἰκονομίας ἐπι[illegible] ὠφε-
λείας. ἀλλὰ ταύτης μὲν ἀπαραποιήτου μενούσης, διαπρεπούσης δ᾽ ἐν
αὐταῖς οὐδὲν ἧττον τῆς ἄκρας ἑνότητος. ἥτις ἔν τε τῷ δημιουργεῖν, καὶ πᾶσι
τοῖς οὐσιώδεσιν ἔργοις καὶ κοινοῖς, ἐκείναις ταῖς ὑπερφυέσιν ὑποστάσεσι
πρόσεστιν. ἐντεῦθεν ὁ μέγας Βασίλειος ἐν τῇ πρὸς τὸν ἀδελφὸν Γρηγό-
ριον ἐπιστολῇ, φησί. Ζητοῦντες δὲ εἰ ἐκ μόνου τοῦ ἁγίου πνεύματος ἡ τῶν » Βασίλ.
ἀγαθῶν χορηγία τὴν ἀρχὴν λαβοῦσα, οὕτω παραγίνεται τοῖς ἀξίοις, »
πάλιν ἀπὸ τῆς θείας γραφῆς ὁδηγούμεθα, εἰς τὸν τῆς χορηγείας τῶν ἀγα- »
θῶν τῶν διὰ τοῦ πνεύματος ἡμῖν ἐνεργουμένων, ἀρχηγὸν καὶ αἴτιον τὸν μο- »
νογενῆ Θεὸν εἶναι πιστεύειν. πάντα γὰρ δι᾽ αὐτοῦ γεγενῆσθαι, καὶ ἐν αὐ- »
τῷ συνεστάναι, παρὰ τῆς ἁγίας γραφῆς ἐδιδάχθημεν. ὅταν τοίνυν καὶ »
πρὸς ἐκείνην ὑψωθῶμεν τὴν ἔννοιαν, πάλιν ὑπὸ τῆς θεοπνεύστου χει- »
ραγωγίας ἀναγόμενοι διδασκόμεθα. ὅτι ἐξ ἐκείνης μὲν πάντα τῆς δυνά- »
μεως ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παράγεται. οὐ μὴν καὶ ἐξ ἐκείνης ἀ- »
νάρχως. ἀλλά τις ἔστι δύναμις, ἀγεννήτως καὶ ἀνάρχως ὑφεστῶσα. ἥτις »
ἐστὶν αἰτία τῆς πάντων τῶν ὄντων αἰτίας. ἐκ γὰρ τοῦ πατρὸς ὁ υἱὸς, δι᾽ οὗ »
τὰ πάντα. ᾧ τὸ πνεῦμα τὸ ἅγιον ἀχωρίστως συνεπινοεῖται. Ὁ δὲ Κύριλ- »
λος ἐν τῷ δευτέρῳ τῶν προσφωνητικῶν. Ὁρᾷ φησὶ σαφῶς τε καὶ ἐναρ- » Κύριλ.
γῶς ἐν τούτοις τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, δεχόμενον μὲν ἀνθρωπί- »
νως τὸ πνεῦμα διὰ τὴν μετὰ σαρκὸς οἰκονομίαν. πλούσιος γὰρ ὤν, »
ἐπτώχευσε δι᾽ ἡμᾶς. βαπτίζοντα δὲ θεϊκῶς ἐν τῷ ἁγίῳ πνεύματι. τίνι »
γὰρ ἂν πρέποι, τὸ χορηγεῖν δύνασθαι τὴν τοῦ πνεύματος χάριν, πλὴν »
ὅτι τῷ φύσει τε καὶ ἀληθῶς ὄντι Θεῷ; καὶ οὐ μόνον δι᾽ υἱοῦ τοῦτο χο- »
ρηγεῖσθαι φησὶν ἐκ τοῦ πατρός. ἀλλὰ καὶ αὐτὸν τὸν υἱὸν τοῦτο χορηγεῖν.
τουτέστι τὴν αὐτοῦ χάριν τοῖς ἀξίοις λαβεῖν ἐπιδαψιλεύεσθαι. καὶ πολ-
λαχοῦ χορηγὸν τοῦ πνεύματος ἀποκαλεῖ τὸν υἱόν. ὥσπερ ὁ θεῖος Βασίλειος,
ἀρχηγὸν τῆς χορηγίας, τῶν διὰ τοῦ πνεύματος ἐνεργουμένων ἡμῖν ἀγα-
θῶν. ἀρκέσει δὲ ἀντὶ πάντων εἰς μαρτυρίαν, ὅ φησιν ἐν τῷ εἰς τὰς Βα-
σιλίδας προσφωνητικῷ λόγῳ. ἐν ᾧ σαφέστατα αὐτουργὸν τῶν τοῦ πνεύμα-

τος

τῆς δωρεῶν ἀποφαίνεται τὸν υἱόν. κἀντεῦθεν εἰς τὸν ἀληθῆ Θεὸν συμπεραί-
Βασίλ. „νει ὡς τοῦ Θεοῦ ἔργον πράττοντα· φησὶ γάρ. Καίτοι τὸ μετόχους ἀπο-
„τελεῖν δύνασθαι τοῦ ἁγίου πνεύματος, πρέποι ἂν οὐκ ἀνθρώπῳ, πόθεν;
„Θεῷ δὲ μᾶλλον τῷ κατὰ φύσιν, ἐνηργεῖ μὲν τὰ τοῦ Θεοῦ καὶ πατρὸς ὁ υἱός,
„τὸ πνεῦμα διδοὺς αὐτός· ἀνθρωπίνη τοίνυν ἡ λῆψις. θεοπρεπὲς δὲ καὶ ὑπὲρ
„ἄνθρωπον, τὸ ἐξ ἰδίου πληρώματος καὶ εἰς ἕτερον ἐκχεῖν τὴν τοῦ πνεύμα-
„τος δόσιν. Θεὸς ἄρα ἐστὶν ἐν ἀνθρωπείᾳ μορφῇ πεφηνὼς ὁ λόγος. συνέ-
„δρός τε διὰ τοῦτο τῷ Θεῷ καὶ πατρί. καὶ ἔτι ὅ φησιν ἐν τῇ ἀναιρέσει τῶν
Ὁ αὐτός. „Νεστορίου βλασφημιῶν. Λόγου γάρ ἐστι δοτὴρ ὡς λόγος καὶ πνεύματος
„χορηγός, ὡς ἴδιον ἔχων αὐτὸ φυσικῶς, καθὰ καὶ αὐτὸς ὁ πατήρ. ἅτε γοῦν τῆς
ἐγχρόνου ταύτης προόδου τοῦ πνεύματος, διὰ υἱοῦ τοῦτον γενομένης τὸν τρόπον, καὶ διὰ
τοῦ υἱοῦ καὶ ἐκ τοῦ υἱοῦ, φασὶ τὸ πνεῦμα προελθεῖν οἱ παρ' ἡμῖν διδάσκαλοι.
ἐπειδὰν τῆς θεότητος τοῦ υἱοῦ, καὶ τῶν δι' αὐτῆς ἔργων, ἢ τῆς τοῦ παναγίου πνεύματος
δόξης, πρὸς τοὺς θρασυμάχους ἐκείνους ὑπερμαχῶσι τῷ λόγῳ. ὧν οἱ μὲν,
τοῦ υἱοῦ τοῦ Θεοῦ ποίημα τὸ πνεῦμα ἐλήρουν, καὶ πάντῃ χεῖρον αὐτοῦ. καὶ
διὰ τοῦτο οὐκ ἐκ τῆς οὐσίας αὐτοῦ προϊόν. ἀλλ' ἀποτελέσματι τῆς
ἐκείνου θελήσεως, ὃν τρόπον ἐκ τῆς πρώτης αἰτίας, ἡ κτιστὴ σύμπασα γέ-
γονε φύσις. οἱ δὲ τὸν Χριστὸν χωρίζοντες τοῦ υἱοῦ τοῦ Θεοῦ, κρεῖττον ἔλεγον
τοῦ Χριστοῦ τὸ πνεῦμα, καὶ ἐμπνέον αὐτὸν καὶ τελειοῦν ἔκ τινος ὑψηλο-
τέρας καὶ κρείττονος μοίρας, οὐκ ἔνδοθεν ἐνεργοῦν, καὶ διάκονον αὐτὸν ἐ-
ποίουν τῶν ἔργων τοῦ πνεύματος, οὐκ αὐτουργόν τε καὶ αἴτιον, καθάπερ αὐ-
τὸ τὸ πνεῦμα ἐστίν· ὡς ἁρμόττει τοῖς φυσικῶς τε καὶ οὐσιωδῶς συνημμένοις
καὶ ὁμοτίμοις. τούτων τοίνυν τῶν θεομάχων ἀναιροῦντες τοὺς λήρους, οὐσιω-
δῶς ἐκ τοῦ υἱοῦ φασὶ προϊέναι τὸ πνεῦμα, καὶ διὰ τοῦ υἱοῦ· καὶ τῆς ἐν πνεύ-
ματι χορηγίας τῶν ἀγαθῶν, ἀρχηγόν τε καὶ αἴτιον τὸν υἱὸν ἀποφαίνονται,
καθάπερ καὶ τὸν πατέρα. τοῦτο πλέον νέμοντες τῷ πατρὶ, ὅτι τὴν πρὸς
τὸν υἱὸν αὐτοῦ τάξιν, κἂν τοῖς τοιούτοις διαφυλάττουσι, καθάπερ ἐν πᾶσι
τοῖς κοινοῖς τῆς φύσεως ἔργοις. καὶ ἐκ πατρὸς δι' υἱοῦ ἐν πνεύματι, τὴν
ἀνακαίνωσιν ἡμῶν καὶ τὴν παλιγγενεσίαν γεγονέναι φασὶ, τῷ θείῳ Παύ-
λῳ πειθόμενοι. καθάπερ ἄρα καὶ τὴν πρώτην ἡμῶν εἰς τὸ εἶναι παρα-

γωγὴν

γωγὴν καὶ πάντων τῶν ὄντων, καὶ τῆς τοιαύτης τάξεως σωζομένης, ἐκ τοῦ
πατρὸς μὲν καὶ τοῦ υἱοῦ φασὶν ὁρμηθῆναι πρὸς τὴν ἡμετέραν εὐεργεσίαν τὸ
πνεῦμα· ὡς δὴ ἐκείνοις συνὸν ἀχωρίστως, καὶ ἐξ αὐτοῦ δὲ οὐδὲν ἧττον.
ὡς δὲ φύσει, καὶ ἀξιώματι, καὶ βουλήσει, μηδαμῶς αὐτὸ ἐλαττούμενον. καὶ
οὕτω τὴν ἡμετέραν ἀνάπλασιν, ὅλης τῆς θείας φύσεως ἔργον εἶναι κη-
ρύττουσιν· εἰ καὶ τὴν οἰκονομίαν τῆς ἀναπλάσεως ταύτης ὁ θεῖος ὑπέστη
λόγος, μόνος αὐτὸς προσωπικῶς συναφθεὶς τῷ προσλήμματι· καὶ τὸν
αὐτὸν περὶ τοῦ υἱοῦ τοῦ Θεοῦ καὶ τοῦ ἡμετέρου δεσπότου Χριστοῦ λόγον ποι-
οῦνται· ἕνα καὶ τὸν αὐτὸν εἰδότες υἱὸν τοῦ Θεοῦ Χριστὸν, ἀπεναντίας τοῖς τοῦ
Νεστορίου ληρήμασιν. ὅθεν καὶ ἐπὶ τοιαύτης χρείας τῶν λόγων, ἀδια-
φόρως ταῖς προθέσεσι χρῶνται. κοινὸν ὅλης τῆς τριάδος ἔργον εἶναι τὴν
ἡμετέραν σωτηρίαν εἰδότες· οἰκειότερον δὲ καὶ συνηθέστερον, τὴν διὰ
πρόθεσιν τῷ υἱῷ τοῦ Θεοῦ νέμουσι. τὴν τάξιν τῶν θείων τιμῶντες προσώ-
πων, κἂν τοῖς κοινοῖς ἔργοις, ὡς εἴρηται· διὰ τοῦτο φησὶν ὁ ἱερὸς Κύριλ-
λος, Ὅτε τοίνυν τὸ πνεῦμα τὸ ἅγιον ἐν ἡμῖν γενόμενον, συμμόρφους ἡ- » Κύριλ.
μᾶς ἀποδεικνύει Θεοῦ, πρόεισι δὲ ἐκ πατρὸς καὶ υἱοῦ, εὔδηλον ὅτι τῆς »
θείας οὐσίας ἐστὶν, οὐσιωδῶς ἐν αὐτῇ καὶ ἐξ αὐτῆς προϊόν. Ἐνταῦθα γὰρ »
δῆλον, ὅτι τὸ μὲν συμπέρασμα, περὶ τῆς τοῦ πνεύματος Θεότητος καὶ δό-
ξης ἐστὶ, κατὰ τῶν αὐτῇ μαχομένων. ἡ δὲ πρότασις, τὴν ἐν ἡμῖν ἐπι-
δημίαν τοῦ πνεύματος ἔχει, καὶ τὴν ἐξ αὐτῆς γινομένην ἡμῖν ἀναμόρφωσιν·
καὶ ἐν πρώτῳ τῶν πρὸς Παλλάδιον φησὶν ὁ αὐτός. Ἆρ' οὖν ψυχὴ τῷ » Ὁ αὐτός.
ἀνθρώπῳ τὸ θεῖον ἐγένετο πνεῦμα; καὶ πῶς οὐκ ἄτοπον κομιδῆ τὸ τῆδε »
νοεῖν; ἢ γὰρ ἂν ἄτρεπτος καὶ αὐτὴ που διαμεμένηκεν ἡ ψυχὴ, νῦν δὲ »
ἐστὶ τρεπτή. τρεπτὸν δὲ οὔτι που τὸ πνεῦμα ἐστίν. ἢ εἴπερ τὸ τρέπεσθαι »
νοσεῖ, ἐπ' αὐτὴν ὁ μῶμος ἀναδραμεῖται τὴν θείαν οὐσίαν, εἴπερ ἐστὶ τοῦ »
Θεοῦ καὶ πατρός. καὶ μὴν καὶ τοῦ υἱοῦ οὐσιωδῶς ἐξ ἀμφοῖν· ἤγουν ἐκ πατρὸς »
δι' υἱοῦ προχεόμενον πνεῦμα. Πόθεν οὖν ἔλαβε τὴν τοῦ προχεῖσθαι λέ- »
ξιν ὁ Κύριλλος; ἐκ τῶν ἀποστολικῶν ῥητῶν, ὧν ἔναγχος ἐμνημόνευσα. διὰ
τοῦτο καὶ ἐξ ἀμφοῖν φησίν. ἐκεῖ γὰρ καὶ ὁ πατὴρ ἐκχέαι τὸ πνεῦμα λέγε-
ται, καὶ ὁ υἱός. καὶ πρὸς μείζω σαφήνειαν ἐπήγαγεν, ἤγουν ἐκ πατρὸς

Παῦλ. πρὸς Τίτον γ. δι᾽ υἱοῦ. ὡς ἐκεῖ φησὶν ὁ θεῖος ἀπόστολος. Οὗ ἐξέχεεν ἐφ᾽ ἡμᾶς πλουσίως
» διὰ Ἰησοῦ Χριστοῦ. οὐσιωδῶς δέ φησιν ἐκχεῖσθαι. τουτέστιν, οὐ κατὰ τὸν
τῆς θελήσεως τρόπον ἐξ αὐτῶν προϊέναι, καθάπερ τὰ κτίσματα. ἀλλὰ
συμφυῶς, καὶ ὥσπερ τινὰ καρπὸν τῆς θείας οὐσίας. ὃ ποιῶν ἐν θησαυ-
Ὁ αὐτός. » ροῖς ἐκδηλότερον ἔλεγεν. Οὐκοῦν εἴπερ ἐστὶ κατὰ φύσιν ἅγιον, οὐκ ἔξω-
» θεν ἔχει τὸ εἶναι τοιοῦτον. μᾶλλον δὲ αὐτὸ τῆς θείας οὐσίας ὑπάρχον ἐνέρ-
» γεια φυσική τε καὶ ζῶσα καὶ ἐνυπόστατος, προστίθησιν ἀεὶ τῇ κτίσει τὸ τέ-
» λειον, δι᾽ ἁγιασμοῦ, καὶ τῆς πρὸς αὐτὸ μετοχῆς. Εἰ δὲ πρὸς τὸν υἱὸν
ἀποβλέπων, οὐσιωδῶς ἔλεγεν ἐξ αὐτοῦ καὶ δι᾽ αὐτοῦ προχεῖσθαι τὸ πνεῦμα,
τῇ τοῦ υἱοῦ πάλιν συνειργάζετο δόξῃ τῷ λόγῳ τούτῳ. οὐ γὰρ κατὰ μέθεξιν
ἐνυπάρχον αὐτῷ φησίν, ἐξ αὐτοῦ καὶ δι᾽ αὐτοῦ προχεῖται (καθὼς ἡ τῶν
αἱρετικῶν εἰπεῖν ἐτόλμησεν ἄνοια, ὀθνεῖόν τε καὶ ἐπείσακτον τὸν ἐκ τοῦ
πνεύματος ἁγιασμὸν τῷ Χριστῷ, καθάπερ τινὶ τῶν ψιλῶν ἀνθρώπων, δι-
δοῦσα.) ἀλλ᾽ οὐσιωδῶς ἐνυπάρχον αὐτῷ φησὶ καὶ συμπεφυκὸς καθάπερ
καὶ τῷ πατρί, καὶ οὐσιωδῶς ἐξ αὐτῶν προχεόμενον ἐνεργεῖ. ὥσπερ ἄρα
καὶ ἐν θησαυροῖς, τὴν τοῦ υἱοῦ θεότητα συμπεραίνων, οὕτω φησίν. Ὅτε
Ὁ αὐτός. » τοίνυν τὸ τοῦ πατρὸς πνεῦμα, καὶ τοῦ υἱοῦ πνεῦμά ἐστι, πῶς οὐ κατὰ φύσιν
» Θεὸς ἔσται, ὁ τοῦ κατὰ φύσιν ὄντος Θεοῦ καὶ πατρὸς ἔχων οὐσιωδῶς τὰ ἴδια
» καὶ ἐξαίρετα; καὶ ὅ φησιν ἐνταῦθα οὐσιωδῶς, ἑτέρωθι φυσικῶς λέγει,
Ὁ αὐτός. » φάσκων περὶ τοῦ πνεύματος, Ὅτι φορέσει μᾶλλον φυσικῶς τὸ τῆς θείας
» οὐσίας ἀξίωμα. καὶ πολλαχοῦ δὲ ἄλλοθι τὰ τοιαῦτα φησίν. ἀλλὰ μὴν
καὶ καθάπερ ἐπὶ τῆς τῶν ὄντων δημιουργίας, οὐκ ἀποκληροῦται ἡ. διά.
πρόθεσις τῷ υἱῷ, ἡ δὲ. ἐκ. τῷ πατρὶ δίδοται. (ἀντιμεθίστανται γὰρ κατά τε
τὴν φωνὴν ὁμοῦ καὶ τὴν σημασίαν αἱ προθέσεις αὗται, δεικνύντος τοῦτο
καλῶς τοῦ ἱεροῦ Βασιλείου, γραφικαῖς ἀποδείξεσιν, ἐν πέμπτῳ τῶν πρὸς
Ἀμφιλόχιον αὐτοῦ κεφαλαίων.) οὕτω κἀπὶ τῆς τοῦ πνεύματος χορηγίας
αἱ προθέσεις αὗται, καλῶς τε καὶ ἀληθῶς ἐπαλλάττονται. καθάπερ ὁ
Ὁ αὐτός. » Κύριλλος ἐν τῷ ῥηθέντι προσφωνητικῷ φησίν. Ὅτι πρόεισι δι᾽ ἀμφοῖν
» καὶ τὸ πνεῦμα τὸ ζωοποιοῦν. καίτοι πρότερον ἔλεγεν, ἤγουν ἐκ τοῦ πα-
τρὸς διὰ υἱοῦ. ἀλλ᾽ ἐκεῖ μέν, ἵνα τὴν τάξιν τῶν θείων προσώπων δηλώσῃ

κἂν

κἀν αὐτῇ τῇ τοῦ πνεύματος χορηγίᾳ· δι᾽ ἧς ὁ υἱὸς τοῦ Θεοῦ μετὰ τοῦ πατρὸς καὶ τοῦ πνεύματος ἐνήργει τὰ τῆς ἡμετέρας φύσεως τὴν ζωήν. ἐνταῦθα δέ, ἵνα τὸ ἀδιάφορον δηλώσῃ τῆς ἐνεργείας, ὅτι μίαν καὶ αὐτὴν ἀπαραλλάκτως ἐνήργουν ἄμφω ἐνέργειαν. κοινὴν οὖσαν πρὸς ἡμᾶς εὐεργεσίαν τοῦ ἑνὸς τρισυποστάτου Θεοῦ. καὶ ἡ τῶν προθέσεων τούτων ἀντιμετάστασις, ἀληθής ἐστιν ἐπὶ τῆς τοῦ πνεύματος χορηγίας, καθάπερ ἐπὶ τῆς πρώτης τῶν ὄντων δημιουργίας. διότι τοῦ αὐτοῦ καθόλου λόγου καὶ γένους ἐστίν, ἥ τε πλάσις ἡμῶν, καὶ ἀνάπλασις, καὶ ἡ πρὸς τὸ ἡμέτερον γένος κηδεμονία, καὶ ἡ τοῦ παντὸς δημιουργία καὶ σύστασις. ἑκατέρωθι γάρ, ἥ τε θεία φύσις ἐνεργεῖ κατὰ τὴν ἑαυτῆς πανάγαθον βούλησιν, καὶ ἑκάστη τῶν ὑποστάσεων ὁλικῶς ἐνεργεῖ, καὶ ἐπίσης ταῖς ἄλλαις, καὶ πᾶσαι ὁμοῦ μία εἰσὶν ἀρχὴ τῆς ἑκατέρωθεν ἡμῖν ἡκούσης εὐεργεσίας ἐπίσης· τοῦτο δέ, οὐκ ἂν εἴη ἀληθές, ἐπὶ τῆς τοῦ πνεύματος ὑπάρξεως· οὐσιωδῶς γὰρ ἡ τοῦ πνεύματος ὕπαρξις, καὶ ἡ διὰ τοῦ πνεύματος ἡμῖν ἀνακαίνωσις, ἡ πλάσις τὴν ἀρχὴν καὶ ἐμψύχωσις, διενηνόχατον.* καὶ εἴ τις ἐστὶ τούτου τοῦ τρόπου τῆς διακρίσεως ἰσχυρότερος. ταῦτα δὲ πάντα καὶ ὁ Νύσσης Γρηγόριος, ἐν τῷ πρὸς Ἀφλάβιον λόγῳ καλῶς βεβαιοῖ.

Πᾶσαν γάρ φησιν ἐνέργειαν ἡ θεόθεν ἐπὶ τὴν κτίσιν ἡμῖν διήκουσα, καὶ Γρήγ. Νύσ.
κατὰ τὰς πολυτρόπους ἐννοίας ὀνομαζομένην, ἐκ πατρὸς ἀφορμᾶται, καὶ »
διὰ τοῦ υἱοῦ πρόεισι, καὶ ἐν τῷ πνεύματι τῷ ἁγίῳ τελειοῦται. διὰ τοῦ- »
το εἰς τὸ πλῆθος τῶν ἐνεργούντων, τὸ ὄνομα τῆς ἐνεργείας οὐ διασχίζε- »
ται. ὅτι οὐκ ἀποτετμημένη ἑκάστου καὶ ἰδιάζουσά ἐστιν, ἡ περί τι »
σπουδή· ἀλλ᾽ ὅπερ ἂν γένηται τῶν εἴτε εἰς τὴν ἡμετέραν πρόνοιαν φθα- »
νόντων, εἴτε πρὸς τὴν τοῦ παντὸς οἰκονομίαν καὶ σύστασιν, διὰ τῶν τριῶν μὲν γίνεται· »
οὐ μὴν τρία ἐστὶ τὰ γινόμενα· καὶ μετ᾽ ὀλίγα. Εἰ δὲ πᾶν ἀγαθὸν πρᾶγμα » Ὁ αὐτός.
καὶ ὄνομα τῆς ἀνάρχου δυνάμεώς τε καὶ βουλῆς ἐστιν ἐξημμένον ἐν τῇ δυνάμει »
τοῦ πατρός. διὰ δὲ τοῦ μονογενοῦς Θεοῦ, ἀχρόνως τε καὶ ἀδιαστάτως εἰς τελείωσιν »
ἄγεται. οὐδὲ μιᾶς παρατάσεως ἐν τῇ τοῦ θείου βουλήματος κινήσει ἀπὸ τοῦ »
πατρὸς διὰ τοῦ υἱοῦ ἐπὶ τὸ πνεῦμα γινομένης, ἢ νοουμένης. καὶ τὰ ἑξῆς. »
Ἐπὶ δὴ τῆς τοιαύτης χρείας (ὅπερ ἔφθην εἰπών) καὶ Κύριλλος ὁ ἱερός, »

καὶ σύμπας ὁ τῶν ἱερῶν διδασκάλων κύκλος, καὶ διὰ τοῦ υἱοῦ, φασὶ προϊέναι τὸ πνεῦμα, καὶ ἐκ τοῦ υἱοῦ, καὶ δι᾽ ἀμφοῖν. καὶ ἀδιαφόρως ταῖς προθέσεσι χρῶνται. καὶ ἀρχηγὸν καὶ αἴτιον τὸν υἱὸν νοοῦσι τῆς τοιαύτης προόδου, οὐδὲν ἧττον, ἢ τὸν πατέρα. καὶ μίαν ἐκ τῆς τοιαύτης τοῦ πνεύματος χορηγίας ἡμῖν ἐγγίνεσθαι χάριν, ἐκ τῶν τριῶν ὑποστάσεων λέγουσι· καὶ οὕτω τὰς τῶν αἱρετικῶν ἀντιθέσεις λύουσιν. ὡς ἐκ τῆς οἰκονομίας ἐκεῖνοι, πρὸς τὴν θεολογίαν ἐκείνου τοῖς ἀνθρωπίνοις τε καὶ σωματικῶς εἰρημένοις, ἢ πεπραγμένοις, περὶ τοῦ υἱοῦ καὶ πνεύματος διὰ τὴν τῆς οἰκονομίας ἀνάγκην, τὰς θεοπρεπεῖς περὶ τῶν θείων ὑποστάσεων ἐννοίας ἐκβάλλοντες.

ΚΕΦΑΛΑΙΟΝ κ.

Ὅπως ἐλέγχονται οἱ τὸν σκοπὸν τῶν διδασκάλων οὐ συνορῶντες. καὶ διὰ τοῦτο τὴν χρονικὴν ἀποστολήν, καὶ τὴν ἀΐδιον πρόοδον, τὴν αὐτὴν εἶναι λέγοντες.

Ἣν δὲ χρείαν οὐ συνορῶντες ἔνιοι, οὐδὲ τῷ σκοπῷ παρακολουθοῦντες τῶν διδασκάλων, εἰς τὴν ἀΐδιον τοῦ πνεύματος ὕπαρξιν τὰς τοιαύτας ἕλκουσι ῥήσεις. οἱ μὲν, ὑπ᾽ ἀγνοίας. οἱ δ᾽, ἐθελοκακοῦντες. ὧν τῇ τε ἀγνοίᾳ βοηθοῦντες, καὶ τὴν πονηρίαν ἐλέγχοντες, τὸν παρόντα λόγον ἐνεστησάμεθα. τί γάρ φασιν; ἡ χρονικὴ πρόοδος, καὶ ἡ ἀΐδιος, ἕν ἐστι. καὶ διὰ τοῦτο, ἐξ οὗ ἂν τὸ πνεῦμα πρόεισι χρονικῶς, καὶ ἀϊδίως ἐξ αὐτοῦ πρόεισιν. ὢ τῆς ματαιότητος. καὶ πῶς ἂν οἷόν τ᾽ εἴη, τὸ ἔγχρονον ταὐτὸν εἶναι τῷ ἀϊδίῳ; εἰ μὴ καὶ τὸ πεπερασμένον, τῷ ἀπείρῳ, ταὐτὸν εἶναι λέγουσι. καὶ τῷ προδήλῳ, τὸ ἀφανές. καὶ τῷ καταληπτῷ, τὸ ὑπὲρ κατάληψιν. ἀλλ᾽ ἑνός φησιν ὄντος τοῦ πνεύματος, ὃ χρονικῶς τε πρόεισι καὶ ἀϊδίως, ἀνάγκη καὶ τὰς προόδους, μίαν εἶναι. οὐκ ἀνάγκη, ἕως ἂν καὶ ὁ υἱὸς τοῦ Θεοῦ ὁ Χριστὸς, εἷς ὤν, δυσὶ γεννήσεσιν, οὐ ταῖς αὐταῖς γεγεννῆσθαι πιστεύηται. μᾶλλον δὲ καὶ

παντε-

παντάπασι διαφόροις. ὅτι ἡ μὲν, ἡ ψιλή τε, καὶ πρώτη, καὶ ἀΐδιος, καὶ
τῆς θεότητος εἶναι λέγεται. δι' ἣν εἴρηται, καὶ ἐν ἀρχῇ εἶναι πρὸς τὸν ,, Ἰωάν. α.
Θεὸν, καὶ Θεὸς εἶναι· καὶ πρὸ τοῦ τὸν κόσμον εἶναι, δεδοξάσθαι παρὰ τῷ ,, Ἰωάν. ιζ.
πατρί. ἡ δὲ, ταπεινὴ, καὶ δευτέρα, καὶ ἔγχρονος, καὶ τῆς σαρκὸς εἶναι λέ-
γεται, καὶ δι' οἰκονομίαν γεγενημένη. περὶ ἧς εἴρηται, σάρξ γεγενῆσθαι ὁ ,, Ἰωάν. α.
λόγος. καὶ περὶ ἧς φησὶν ὁ Σωτὴρ αὐτὸς πρὸς τὸν Θεὸν καὶ πατέρα· ὅτι σύ ,, Ἰωάν. ιζ.
με ἀπέστειλας· καὶ ἐξ ἧς ἀνεληλυθέναι λέγεται καὶ πεπίστευται, ἐπεὶ καὶ ,, Ἐφεσ. δ.
ἐξ οὐρανοῦ καταβεβηκέναι. δι' αὐτὴν εἴρηται ἄρτος ζωῆς. καὶ συλλαμ- ,, Ἰωάν. ς.
βάνων αὖθις τὰς δύο γεννήσεις. ἐγὼ γὰρ ἐκ τοῦ Θεοῦ ἐξῆλθον φησὶ καὶ ἥ- ,, Ἰωάν. η.
κω. οὐ τὴν ἐκ μητρὸς ἀρνούμενος γέννησιν. οὐ δὲ κατὰ ταύτην τὴν γέν-
νησιν ἐκ τοῦ πατρὸς εἶναι δεικνεὶς, ἀλλὰ τὴν ἐν τῷ Θεῷ προΰπαρξιν,
καὶ ἀΐδιον ὕπαρξιν ἐπιδεικνύων ἡμῖν φυσικὴν οὖσαν, ὡς ἐν πατρί τε καὶ
ἐκ πατρός. μεθ' ἣν καὶ χρονικῶς ἧκε, τῇ κάτω γεννήσει πρὸς τὸ φανῆναι καὶ
γνωρισθῆναι καὶ τὴν ἄλλην οἰκονομίαν ἀληθῶς τελέσαι, χρησάμενος. Εἰ
τοίνυν ἑνὸς ὄντος τοῦ ἡμετέρου δεσπότου, δύο γεννήσεις εἰσὶ, καὶ οὕτω πα-
ρηλλαγμέναι. πῶς αἱ τοῦ πνεύματος πρόοδοι, μία ἔσονται, διὰ τὸ ἓν εἶ-
ναι καὶ τὸ πνεῦμα; εἰ δὲ τὴν διττὴν ἐν τῷ Χριστῷ φύσιν αἰτιῶνται τοῦ
πράγματος, οὐδὲν ἐστὶ πρὸς τὸν λόγον. οὐ γὰρ ἀνάγκη πάντως ἣν καὶ
γεννηθῆναι τὸ πνεῦμα, εἴγε μηδὲ ἀϊδίως γεγέννηται. ἀλλ' ἡμῖν ἀρκεῖ τὸ
πεμφθῆναι, καθάπερ ἐπέμφθη καὶ ὁ υἱὸς τοῦ Θεοῦ, καὶ κατελθεῖν, καὶ φανῆ-
ναι, καὶ καθίσαι, καὶ τὰ τοιαῦτα· ἃ περὶ αὐτοῦ, καθόσον ἐν εἴδει σωματι-
κῷ πεφανέρωται, λέγεται. εἰ καὶ μὴ γέγονεν ὅπερ ἐφάνη. καθάπερ ὁ λό-
γος σὰρξ ἐγένετο. κατὰ δὲ τὴν θεότητα αὐτοῦ καὶ τὴν φύσιν, οὐδὲν αὐ-
τῷ τῶν ῥημάτων ἐκείνων ἐπαληθεύεται, ἀλλ' οὐδ' ἀνάγκη τὸ πνεῦμα
ἀϊδίως ἐκ τοῦ υἱοῦ προϊέναι. διότι κατὰ τὴν χρονικὴν αὐτοῦ πρόοδον, ἐκ
τοῦ υἱοῦ προϊέναι λέγεται, κατὰ ταύτην τὴν πρόοδον. τοῦτο γὰρ τὸ ἔρ-
χεσθαι αὐτό. ἀλλὰ κατ' ἐκείνην τὴν πρόοδον καθ' ἣν ἔχει τὸ εἶναι ἀϊ-
δίως, οὐ πρόεισιν ἐξ ἑαυτοῦ. ἀλλ' αἰτιατόν ἐστι, καὶ ἐκ τοῦ πατρὸς ἐκπο-
ρεύεται. ἔτι δὲ καὶ ὁ υἱὸς ἐκ τοῦ πατρὸς προϊέναι καὶ πέμπεσθαι λέγεται
παρὰ τῆς γραφῆς χρονικῶς, ἀλλ' οὐκ ἂν καὶ ἀϊδίως λέγοιτο πέμπεσθαι.

Ὅτι δὲ ὁ υἱὸς τοῦ Θεοῦ καὶ ἐκ τοῦ πνεύματος ἀπέσταλται, ὁ μακάριος Ἀ-
ναστάσιος ἐν τῷ περὶ τῶν ὀρθῶν τῆς Ἐκκλησίας δογμάτων παραδίδωσι
Ἀναστάσ. „ λόγῳ. φησὶ γάρ. Ἐπεὶ καὶ αὐτὸν τὸν υἱὸν ἀπεστάλθαι μανθάνομεν, οὐ
„ μόνον παρὰ πατρὸς, ἀλλὰ καὶ παρὰ τοῦ ἁγίου πνεύματος. ὡς αὐτὸς ἔφη
Ἡσαΐ. „ διὰ Ἡσαΐου, καὶ νῦν κύριος ἀπέσταλκέ με καὶ τὸ πνεῦμα αὐτοῦ. Εἰ δὲ
διὰ τὴν οἰκονομίαν ἀπεστάλθαι λέγεται, δι᾽ ἣν καὶ ἡ τῆς σαρκὸς
πρόσληψις ᾠκονομήθη τῷ τοῦ Θεοῦ λόγῳ. καὶ τὸ πνεῦμα λοιπὸν διὰ
τὴν οἰκονομίαν ἐκ τοῦ υἱοῦ ἀπεστάλθαι λέγεται, δι᾽ ἣν καὶ ὡς περιστε-
ρὰ ὤφθη, καὶ ὡς πῦρ. κατὰ τοῦτο γὰρ ἀπεστάλθαι τὸ πνεῦμα εἴρηκεν ἡ
γραφὴ παρὰ πατρὸς καὶ υἱοῦ, καθ᾽ ὅσον αὐτὸ σωματικῷ εἴδει, νῦν μὲν,
ὡς περιστερὰ ἐν τῷ βαπτίσματι. νῦν δ᾽, ὡς πῦρ. καὶ τοῦτο οὐχ ἡμεῖς,
Αὐγουστῖνος ἐστὶν ὁ λέγων ἐν πέμπτῳ τοῦ περὶ Τριάδος δευτέρου. εἰ δὲ
Βασίλ. „ τὸν μέγαν ἡμῖν ἐπισείουσι Βασίλειον, οὐκ ἐν χρόνῳ λέγοντα πρόεισι τὸ
„ προϊὸν ἐκ Θεοῦ, κἂν ἐν χρόνῳ τὰς ἐνεργείας ἀποδιδῷ, λανθάνουσιν ἑαυ-
τοὺς τῷ τοῦ Βασιλείου κτείνοντες ξίφει. οὐ γὰρ ἀρνεῖται τὰς χρονικὰς ἐ-
κεῖ προόδους τῶν θείων ὑποστάσεων ὁ μέγας Βασίλειος. οὐδὲ ταὐτὸν εἶ-
ναι λέγει τὴν χρονικὴν ἀποστολὴν, καὶ τὴν ἀΐδιον ὕπαρξιν τοῦ θείου
προσώπου. ἀλλὰ τῶν αἱρετικῶν κτίσμα λεγόντων εἶναι τὸ πνεῦμα, καὶ
τὸν υἱὸν, διὰ τὸ χρονικῶς ἀπεστάλθαι, καὶ χρονικῶς τινὰ ἐνεργεῖν. καὶ
τοῖς ῥήμασιν ἐκείνοις, δι᾽ ὧν χρονικόν τι σημαίνεται ἐν τῇ γραφῇ περὶ τοῦ
υἱοῦ καὶ τοῦ πνεύματος, ἐπὶ ὑφέσει τῶν θείων προσώπων παραχρω-
μένων, αὐτὸς φησὶ τὴν χρονικὴν ἐκείνην ἀποστολὴν, μηδὲν προσίστασθαι
τῇ ἀχρόνῳ προόδῳ τῶν ὑποστάσεων, καὶ τῷ τῆς θεότητος ἀξιώματι.
καὶ αὐτὴ γὰρ ἡ χρονικὴ τῶν θείων προσώπων ἀποστολὴ, ἄχρονος ἐστὶ
τρόπον ἕτερον. ὅτι ὁ Θεὸς οὔτε ἐν χρόνῳ ἐστὶν, οὔτε χρόνου δεῖται οὐ
μόνον πρὸς τὸ εἶναι, ἀλλ᾽ οὔτε πρὸς τὸ δημιουργεῖν. ποιεῖ γὰρ καὶ αὐτὸν
τὸν χρόνον οὐκ ἐν χρόνῳ δήπου. καὶ τ᾽ ἄλλα δὲ οὕτως οὐκ ἐν χρόνῳ
ποιεῖ. εἰ καὶ ἕκαστον τῶν γινομένων ὑπὸ Θεοῦ, μετὰ τὸ ὑποστῆναι τὸν
χρόνον ἔγχρονον ἐστὶν, ὡς οὐ συναΐδιον τῷ Θεῷ, ἀλλ᾽ ἐν τοῖς τοῦ χρόνου καὶ
τῶν προσκαίρων πραγμάτων περιεχόμενον ὅροις, καὶ διὰ τοῦτο καὶ ὁ πατὴρ

ἀχρόνως

ἀχρόνως τὸν υἱὸν πέμπει. καὶ ὁ υἱὸς ἀχρόνως ἐκ τοῦ πατρὸς ἀποστέλλε-
ται. ὡσαύτως δὲ καὶ τὸ πνεῦμα. οὐ διὰ τὴν ἀΐδιον μόνον βουλὴν [illegible]
περὶ τῶν ἔργων τῆς αὐτοῦ ἀγαθότητος. ἀλλὰ δὴ καὶ κατ[illegible] τὴν
τῶν τοιούτων ἔργων προχείρισιν. ἀχρόνως γὰρ ποιεῖ πάντα ταῦτα ὁ
Θεός· οὐχ ὅτι ἀϊδίως ταῦτα εἰσὶν ἐν ἑαυτῷ, ἀλλ' ὅτι πρὸς τὸ ταῦτα ποι-
εῖν, οὐ δεῖται χρόνου. οὐδὲ συμπαρατεινομένην ἔχει τῇ συνεχείᾳ τοῦ
χρόνου, τὴν συνέχειαν τῆς κινήσεως, οὐδὲ συμμετρουμένην οὐδαμῇ οὐδα-
μῶς· ὥσπερ ὁ μέγας οὗτος αὖθις ἐν τοῖς αὐτοῖς περὶ τοῦ πνεύματος λέγει.
Ὅτι ἑκάστῳ τῶν ἀξίων δίδωσιν ἑαυτό, καὶ ἐν πᾶσι ὅλον ἐστίν, οὐ κατα- » Βασίλ.
κερματιζόμενον, ἐνεργεῖ μέντοι οὐκ ἐν πᾶσι ὁμοίως· καὶ ἐν ἑκάστῳ πάρεστι »
τόπῳ, καὶ πανταχοῦ ὁμοίως ἐστί. καὶ οὐδαμοῦ ἐστιν ὡς τὰ τοῦ τόπου δεό- »
μενα καὶ συντηρούμενα τόπῳ, ἢ ὁριζόμενα. διὰ τοῦτο φησίν, ὅτι τὸ προ- »
ϊὸν ἐκ Θεοῦ, κἂν ἐν χρόνῳ τὴν ἐνέργειαν ἀποδίδωσιν, οὐκ ἐν χρόνῳ πρό- »
εισιν ἐκ Θεοῦ. Τοῦτο δὲ καὶ ἡμεῖς φαμέν· ὅτι τὸ πνεῦμα τὸ ἅγιον προϊὸν »
ἐκ τοῦ Θεοῦ πρὸς ἡμᾶς, καὶ ἀποτελλόμενον, ἐν χρόνῳ τὴν ἐνέργειαν ἀπο-
δίδωσιν. ἡ γὰρ διὰ τῆς αὐτοῦ μετοχῆς ἀνακαίνισις ἡμῶν, καὶ ἀνάπλα-
σις, ἐν χρόνῳ δήπου ἐστίν· ὡς καὶ ἡμῶν ἐν χρόνῳ τε ὄντων, καὶ χρόνῳ
ταύτης ἀπολαυόντων. αὐτὸ μέντοιγε, ἐπειδὰν ἐκ τοῦ Θεοῦ πρὸς ἡμᾶς
προΐοι, οὐκ ἐν χρόνῳ πρόεισιν· οὐ γὰρ δεῖται χρόνου. ὥσπερ οὐ πρὸς
τὸ εἶναι, οὕτως οὐδὲ πρὸς τὸ ἐνεργεῖν. τὸ δὲ τὴν εἰς ἡμᾶς τοῦ πνεύματος
πρόοδον, ἥτις καινὴ ἐστὶν ὅλης τῆς θεότητος πρόοδος, ὡς μίαν τινὰ χάριν
ἐκ πατρὸς δι' υἱοῦ ἐν πνεύματι φέρουσα ἡμῖν καὶ διδοῦσα κατὰ τὸν ἱερὸν Ἀθα-
νάσιον. Τὸ τοίνυν ταύτην τὴν πρόοδον, αὐτὴν εἶναι λέγειν τὴν εἰς ἑ-
αυτὸ τοῦ πνεύματος πρόοδον ἐκ τοῦ πατρός, οὔθ' ὁ μέγας λέγει Βασίλειος,
οὔθ' ἡμεῖς λέγομεν, οὔτε τις εὐσεβεῖν φροντίζων ἐρεῖ.

ΚΕ-

ΚΕΦΑΛΑΙΟΝ κα.

Ὅτι περὶ τῆς ἀϊδίου καὶ ὑπαρκτικῆς προόδου τοῦ πνεύματος οἱ διδάσκαλοι λέγοντες, ἐκ τοῦ πατρὸς αὐτὸ διωρισμένως πάντες φασὶν ἐκπορεύεσθαι, καὶ οὐδεὶς ἐκ τοῦ υἱοῦ.

Ἐπεὶ μὲν οὖν τῆς χρείας ἐκείνης (ὅπερ ἔφθην εἰπὼν) τουτέστιν ἐπειδὰν τὴν χρονικὴν ἀποστολὴν τοῦ πνεύματος ἀνυμνῶσι, καὶ τὴν δι' ἐκείνης εὐεργεσίαν, ἐκεῖνα περί τε τοῦ υἱοῦ, καὶ τοῦ πνεύματος λέγουσιν οἱ διδάσκαλοι, ὅσα προλαβόντες εἰρήκαμεν. ἀλλ' ἐπειδὰν περὶ τῆς ἀϊδίου τῶν θείων προσώπων ὑπάρξεως, καὶ τάξεως αὐτῶν, καὶ ἰδιότητος, πραγματεύωνται, τὴν ἀληθῆ τῆς πίστεως ἐκτιθέμενοι δόξαν· (ἐπειδήπερ ἐχρῆν αὐτοὺς ποτὲ τῷ λόγῳ διδόναι σχολὴν τῶν πρὸς τοὺς ἐναντίους ἀγώνων, καὶ τὴν εἰλικρινῆ περὶ τῶν θείων δόξαν, τοῖς τῆς ἀληθείας φίλοις ἐκτίθεσθαι) τότε τὴν ἀΐδιον τοῦ πνεύματος ὕπαρξιν, οὐδαμῶς ἐκ τοῦ υἱοῦ μὲν λέγουσιν. ἀλλ' ἐκ τοῦ πατρὸς διωρισμένως εἶναι φασί· καίτοι δοκοῦσιν αὐτῶν ἔνιοι, καὶ τὴν ἀΐδιον ἐκ πατρὸς δι' υἱοῦ τιθέναι, καὶ ἀϊδίως ἐκ πατρὸς δι' υἱοῦ προϊέναι τὸ πνεῦμα θεολογεῖν. ἀλλὰ τὰς μὲν ῥήσεις ἐκείνας τῶν διδασκάλων, ἐν αἷς διὰ τοῦ υἱοῦ τὸ πνεῦμα κατὰ τὴν ἀΐδιον πρόοδον δοκεῖ προϊέναι, μετὰ ταῦτα προχειρισάμενοι, τὸν ἀληθῆ καὶ γνήσιον ὡς οἷόν τε καὶ ἐν ἐκείναις τῶν διδασκάλων ἀνιχνεύσωμεν νοῦν. νῦν δὲ τί περὶ τῆς τοῦ πνεύματος ὑπάρξεώς τε καὶ ὑποστάσεως, ἣν ἐκ τοῦ πατρὸς ἔχει, θεολογοῦσι κοινῶς οἱ διδάσκαλοι καὶ συμφώνως, ἐπισκεπτέον. τῆς γὰρ ἀϊδίου προόδου τοῦ πνεύματος, καθ' ἣν ἰδιοσυστάτως ὑφέστηκε, καὶ προσωπικῶς, ὅθεν τε ἔστι τὴν ἀρχὴν, καὶ πῶς ὁ υἱὸς πρὸς αὐτὴν ἔχει, παρ' αὐτῶν τῶν διδασκάλων φανερωθείσης ἡμῖν καθ' ὅσον δυνατὸν ἐγχωρεῖ, τότε δὴ λοιπὸν, καὶ πῶς ἐστι τὸ πνεῦμα δι' υἱοῦ καταμαθεῖν δυνησόμεθα. καὶ τῷ σκοπῷ τῶν τοῦτο εἰπόντων προσφῦναι καλῶς. Βασίλειος τοίνυν ὁ μέγας τῆς ἀληθείας

διδάσκα-

διδάσκαλος, ἐν τῇ πρὸς τὸν ἀδελφὸν ἐπιστολῇ, τὰς γνωριστικὰς ἰδιότητας τῶν θείων προσώπων παραδιδοὺς, ἀπὸ τοῦ πνεύματος ἀρξάμενος, οὕτω φησίν· Ἐπειδὴ τοίνυν τὸ ἅγιον πνεῦμα, ἀφ' οὗ πᾶσα ἡ τῶν ἀγαθῶν χορηγία πηγάζει, (Βασίλ.) τοῦ υἱοῦ μὲν ἤρτηται, ᾧ ἀδιαστάτως συγκαταλαμβάνεται, τῆς δὲ τοῦ πατρὸς οὐσίας ἐξημμένον ἔχει τὸ εἶναι, ὅθεν καὶ ἐκπορεύεται. τοῦτο γνωριστικὸν τῆς κατὰ τὴν ὑπόστασιν ἰδιότητος σημεῖον ἔχει, τὸ μετὰ τὸν υἱὸν καὶ σὺν αὐτῷ γνωρίζεσθαι, καὶ ἐκ τοῦ πατρὸς ὑφεστάναι. Ὁ δὲ υἱὸς τὸ ἐκ τοῦ πατρὸς ἐκπορευόμενον πνεῦμα, δι' ἑαυτοῦ καὶ μεθ' ἑαυτοῦ γνωρίζων, μόνος μονογενῶς ἐκ τοῦ ἀγεννήτου φωτὸς ἐκλάμψας, οὐδὲ μίαν κατὰ τὸ ἰδιάζον τῶν γνωρισμάτων τὴν κοινωνίαν ἔχει πρὸς τὸν πατέρα, ἢ πρὸς τὸ πνεῦμα τὸ ἅγιον, ἀλλὰ τοῖς εἰρημένοις σημείοις μόνοις γνωρίζεται. Ὁ δ' ἐπὶ πάντων Θεὸς ἐξαίρετόν τι γνώρισμα τῆς ἑαυτοῦ ὑποστάσεως, τὸ πατὴρ εἶναι, καὶ ἐκ μηδεμιᾶς αἰτίας ὑποστῆναι, μόνος ἔχει· καὶ διὰ τούτου πάλιν τοῦ σημείου, καὶ αὐτὸς ἰδιαζόντως ἐπιγινώσκεται. Τοῦτο μὲν οὖν τὸ ῥητὸν, οὐδὲ μιᾶς ἐπεξεργασίας δεῖται, οὐδὲ μιᾶς ἀναπτύξεως· αὐτόθεν γὰρ σαφές ἐστιν· ὅτι τὴν ὑπόστασιν τοῦ πνεύματος, εἴτ' οὖν ὕπαρξιν, ἐκ τοῦ πατρὸς εἶναι λέγει διωρισμένως, τοῦ δὲ υἱοῦ ἠρτῆσθαι μὲν αὐτὸ διὰ τὴν παραδεδομένην τάξιν καὶ τὴν διάκρισιν, καὶ μετὰ τὸν υἱὸν εἶναι· σὺν αὐτῷ δὲ γνωρίζεσθαι, καὶ ἀδιαστάτως αὐτῷ συγκαταλαμβάνεσθαι, διὰ τὴν ἄκραν τῆς οὐσίας ἑνότητα. καὶ ἵνα μηδεὶς ἔχῃ συκοφαντεῖν, δὶς ἐπαναλαμβάνει τὰ αὐτὰ περὶ τοῦ πνεύματος. πρῶτον μὲν, ὡς ὑποθέσεις τῆς πίστεως ἀναντιῤῥήτως ταῦτα τιθείς. εἶτα συνάγων ἐκ τούτων ἄθροον τὴν τοῦ πνεύματος ἰδιότητα, ᾗ τῶν ὁμοφυῶν προσώπων κεχώρισται, καὶ ἐκ τοῦ πατρὸς μὲν ὑφεστάναι διωρισμένως αὐτὸ φησί. διότι τῆς τοῦ πατρὸς αἰτίας ἐξημμένον ἔχει. οὕτω γὰρ ἤκουσεν ἐκεῖνος τὸ ἐκ πατρὸς ἐκπορεύεσθαι. μετὰ τὸν υἱὸν δὲ εἶναι, καὶ σὺν αὐτῷ. διότι τοῦ υἱοῦ ἤρτηται, ᾧ ἀδιαστάτως συγκαταλαμβάνεται. ἠρτῆσθαι δὲ καὶ συγκαταλαμβάνεσθαι τῷ υἱῷ τοῦτο λέγει, ἵνα καὶ τὴν τοῦ Σαβελλίου σύγχυσιν φύγῃ, καὶ τὴν τοῦ Ἀρείου διαίρεσιν. μᾶλλον δὲ ἵνα ἐκδιδάξῃ φεύγειν ἡμᾶς, ὡς ἐν αὐτῇ τῇ ἐπιστολῇ φησίν· Ὅτι

Ὁ αὐτός. ἀκολούθως μὲν κατὰ τὴν τάξιν, συνημμένως δὲ κατὰ τὴν φύσιν τῶν τριῶν καὶ τὴν συγκεκραμένην τὴν πίστιν ἀνατυπούμεθα. Τούτῳ σύμφωνα καθάπαξ καὶ ἀδελφὸς ὁ ἱερὸς λέγει Γρηγόριος ἐν τοῖς πρὸς Εὐνόμιον ἀντιρρητικοῖς, περὶ τῶν θείων προσώπων, καὶ τῆς ἑνώσεως αὐτοῖς ἀδιαστάτως μιᾶς οὐσίας, τὸν λόγον ποιούμενος· φησὶ γάρ.

Γρήγ. Νύσ. Εἰ οὖν ἐν τῇ ἀκτίστῳ φύσει νοεῖται τὰ θαυμαστὰ πράγματά τε καὶ νοήματα, ὁ πατὴρ, καὶ ὁ υἱὸς, καὶ τὸ πνεῦμα τὸ ἅγιον. πῶς ἔσται δυνατὸν, ὅσπερ ἐπὶ τῶν κάτω περιεργαζομένη καὶ πολυπραγμονοῦσα καταλαμβάνει ἡ ἔννοια, ἕτερον ἑτέρου συγκειτικῶς ὑπερτιθεῖσα διά τινος χρονικοῦ διαστήματος, τοῦτο καὶ ἐπὶ τῆς ἀκτίστου καὶ προαιωνίου νομίζειν οὐσίας εἶναι; ἐν ᾗ πατὴρ μὲν ἄναρχος καὶ ἀγέννητος καὶ ἀεὶ πατὴρ νοεῖται. ἐξ αὐτοῦ δὲ κατὰ προσεχὲς ἀδιαστάτως, ὁ μονογενὴς υἱὸς τῷ πατρὶ συνεπινοεῖται· δι' αὐτοῦ δὲ καὶ μετ' αὐτοῦ, πρὶν τι κενόν τε καὶ ἀνυπόστατον διὰ μέσου παρεμπεσεῖν νόημα, εὐθὺς τὸ πνεῦμα τὸ ἅγιον, διὰ τοῦ υἱοῦ συνημμένως καταλαμβάνεται. οὐχ ὑστερίζον κατὰ τὴν ὕπαρξιν μετὰ τὸν υἱόν. ὡς ποτὲ τὸν μονογενῆ, δίχα τοῦ πνεύματος νοηθῆναι. ἀλλ' ἐκ μὲν τοῦ Θεοῦ τῶν ὅλων, καὶ αὐτὸ τὴν αἰτίαν ἔχον τοῦ εἶναι, ὅθεν καὶ τὸ μονογενές ἐστι φῶς, διὰ δὲ τοῦ ἀληθινοῦ φωτὸς ἐκλάμψαν. καὶ πάλιν ἐν τῷ αὐτῷ λόγῳ. Οὐχὶ ἀκτῖνα ἐξ ἡλίου νοήσαμεν, ἀλλ' ἐξ ἀγεννήτου ἡλίου ἄλλον ἥλιον, ὁμοῦ τῇ πρώτῃ ἐπινοίᾳ γεννητῶς αὐτῷ συνεκλάμποντα, καὶ κατὰ πάντα ὡσαύτως ἔχοντα, κάλλει, δυνάμει, λαμπηδόνι, μεγέθει, φαιδρότητι, καὶ πᾶσιν ἁπλῶς τοῖς περὶ τὸν ἥλιον θεωρουμένοις· καὶ πάλιν. Ἕτερον τοιοῦτον φῶς κατὰ τὸν αὐτὸν τρόπον, οὐ χρονικῷ τινὶ διαστήματι τοῦ γεννητοῦ φωτὸς ἀποτεμνόμενον. ἀλλὰ δι' αὐτοῦ μὲν ἐκλάμπον, τὴν δὲ τῆς ὑποστάσεως αἰτίαν ἔχον, ἐκ τοῦ πρωτοτύπου φωτός. Ἰδοὺ καὶ οὗτος, ἐκ τοῦ Θεοῦ τῶν ὅλων τὴν αἰτίαν ἔχειν τὸ πνεῦμά φησιν, ὅθεν καὶ τὸ μονογενές ἐστι φῶς. καὶ πάλιν ἐκ τοῦ πατρὸς τὴν αἰτίαν τῆς ὑποστάσεως ἔχειν. καθάπερ ὁ θεῖος Βασίλειος, τῆς τοῦ πατρὸς αἰτίας ἐξημμένον ἔχειν τὸ εἶναι, καὶ ἐκ τοῦ πατρὸς ὑφεστάναι. ἅμα καὶ ἣν ἔχει τὸ εἶναι πρὸς τὸν υἱὸν τάξιν προστιθέντες. ὁ μὲν, τὸ δι' ἑαυτοῦ ἐκλάμπειν. ὁ δὲ, τὸ μετ' αὐτὸν εἶναι, καὶ

συν

τὴν αὐτῶν. οὐ γὰρ τὴν πρὸς τὸν πατέρα μόνου τάξιν εἰπόντες, ἀπέστησαν
(ἵνα καὶ τοῖς βουλομένοις παρεξηγεῖσθαι πρόφασις ἐκ τοῦ ἐλλείποντος ὑπάρ
τὴν εὐαγγελικὴν ἐκείνην παρεξηγοῦνται ῥῆσιν, ὡς ἐν ἀναμίξεως
σχήματι·) ἀλλ' οὕτως ἐναργῶς παριστῶσιν ἐκ μόνου τοῦ πατρὸς τὸ πνεῦμα
ὑφίστασθαι, τοῖς ἐπαΐειν δυναμένοις καλῶς, ὡς μηκέτι δεῖν τῆς διὰ
τοῦ μόνου ἀποκληρώσεως. Τίς δὲ, τῶν διδασκάλων οὕτως ἀναπτυσσόν-
των, καὶ τὴν τῶν θείων προσώπων τάξιν καὶ πρόοδον τεχνολογούντων
πάνυ καλῶς, βουληθείη προσέχειν (νοῦν ἔχων) τοῖς ἕτερον τινὰ τρόπον, μᾶλ-
λον δὲ ἐναντίον, ἀναπτύσσειν τολμῶσιν; Γρηγόριος ὁ θεολόγος ἐν τῷ
πρὸς Ἥρωνα τὸν φιλόσοφον λόγῳ· Ἓν δέ φησι πνεῦμα ἅγιον προελθὸν ἐκ ,, Γρηγ. θεολ.
τοῦ πατρὸς, ἢ προϊόν. Καὶ προελθὸν μὲν φησὶ, διὰ τὸ τέλειον τῆς προό- ,,
δου. προϊὸν δὲ, διὰ τὸ ἀΐδιον. Ἀλλὰ καὶ μόνον υἱὸν φησὶν εἶναι τὸν υἱὸν ἐν ,,
ἐκείνῳ τῷ λόγῳ, οὐ γὰρ πατήρ. πατὴρ δὲ ἐστὶν αὐτῷ γεννήτωρ, καὶ προ- ,,
βολεύς. καὶ ἐν τῷ περὶ υἱοῦ λόγῳ. Διὰ τοῦτο φησὶν ἐπὶ τῶν ἡμετέρων ὅ- ,, Ὁ αὐτός.
ρων ἱστάμενοι, τὸ ἀγέννητον εἰσάγομεν καὶ γεννητὸν, καὶ τὸ ἐκ τοῦ πα- ,,
τρὸς ἐκπορευόμενον, ὥς που φησὶν αὐτὸς ὁ Θεὸς λόγος. Ὅρον γὰρ ἐνταῦθα ,,
τῆς περὶ τοῦ πνεύματος θεωρίας, τοῦτ' αὐτὸ τὸ ἐκ τοῦ πατρὸς ἐκπορεύεσθαι
λέγει. καὶ τοσοῦτον ἀπέσχε τὸ ἐκπορεύεσθαι τὸ πνεῦμα καὶ πρὸς τὸν υἱὸν
ἀναφέρειν, ὥσθ' ἵνα μὴ δόξῃ τινὶ τοῦτο λέγειν, προσέθηκε τὸ ἐκ πατρὸς, τὴν
τῆς πρώτης Συνόδου ζηλώσας ἀσφάλειαν. ἐκείνη γὰρ φησί. Δέχου ,, Συνόδ. α.
μίαν θεότητα, τοῦ πατρὸς τοῦ γεννήσαντος τὸν υἱὸν ἀνεκφράστως, καὶ τοῦ υἱοῦ ,,
τοῦ γεγεννημένου ἐξ αὐτοῦ, καὶ τοῦ ἁγίου πνεύματος τοῦ ἐκπορευομένου ἐξ αὐ- ,,
τοῦ τοῦ πατρός. Κἀκεῖνοι γὰρ οἱ πατέρες ὡς ἔοικεν, ἵνα μὴ δόξῃ τὸ ἀνα- ,,
φορικὸν ἐκεῖνο, πρὸς τὸ προσεχὲς ὄνομα τάττεσθαι, προστεθήκασι, τῷ ἐξ
αὐτοῦ, τὸ πατρός. εἰ δὲ καὶ ἐκ τοῦ υἱοῦ τοῦτο ἤδεισαν ἐκπορεύεσθαι, ἢ
εἶπον ἂν ἐξ ἑαυτῶν, ἢ καὶ ἐξ αὐτοῦ εἰπόντες, ἀφῆκαν ἂν ἀδιορίστως περὶ
ἑκατέρας ὑποστάσεως τοῦτο νοεῖσθαι· ὡς μηδὲ μιᾶς ἐντεῦθεν βλάβης
συμβησομένης πρὸς ὁποτέραν ἂν τῶν ὑποστάσεων ἀναφέροιτο. ἐπεὶ καὶ
πρὸς ἀμφοτέρας ἀληθὲς ἔμελλεν εἶναι. οὕτω τοίνυν καὶ ὁ μέγας Γρηγό-
ριος τὸ ἐκ πατρὸς ἐκπορευόμενον λέγει, ἵνα Λατίνους ἐλέγξῃ, καὶ ἐκ τοῦ

υἱοῦ τοῦτο λέγοντας ἐκπορεύεσθαι, καὶ τὸν ὅρον ὃν ὁ μέγας διδάσκαλος τί-
θεται, καὶ ὁ δεσπότης ἡμῶν πρὸ αὐτοῦ, μετὰ πολλῆς ὑπερβαίνοντος
προπετείας. καὶ τῷ ἀεὶ τῆς ἐν ταῖς διαλέξεσιν εὐταξίας φησί.
Γρηγ. θεο. „Δέον ἕνα Θεὸν πατέρα γινώσκειν ἄναρχον καὶ ἀγέννητον. καὶ υἱὸν ἕνα, γε-
„γεννημένον ἐκ τοῦ πατρός. καὶ πνεῦμα ἕν, ἐκ Θεοῦ τὴν ὕπαρξιν ἔχον, πα-
„ραχωροῦν πατρὶ μὲν ἀγεννησίας, υἱῷ δὲ γεννήσεως, τὰ δ' ἄλλα, συμ-
„φυὲς, καὶ σύνθρονον, καὶ ὁμόδοξον, καὶ ὁμότιμον. ταῦτα δέ φησιν, ἐκ
Γρηγ. ὁ θαυμ. „τοῦ θαυματουργοῦ Γρηγορίου παρειληφώς. οὗ τινος ἐν τῇ ἀποκαλύ-
„ψει λέγεται, πνεῦμα ἐκ Θεοῦ τὴν ὕπαρξιν ἔχον, καὶ δι' υἱοῦ πεφηνὸς τοῖς
ἀνθρώποις. μᾶλλον δὲ πρὸ τούτου, τῷ θείῳ Παύλῳ συνᾴδων ἐν τῇ
Κορινθ. β. „πρὸς Κορινθίους λέγοντι, Τὸ πνεῦμα τὸ ἐκ τοῦ Θεοῦ. ἐκ τοῦ Χριστοῦ δὲ
ἢ ἐκ τοῦ υἱοῦ, οὐδέ ποτε λέγοντι. ἀλλὰ μόνον πνεῦμα υἱοῦ, καὶ πνεῦμα
Χριστοῦ. ἀλλὰ μὴν καὶ τὸ, τὰ μὲν ἄλλα συμφυὲς τῷ υἱῷ τοῦτο λέγειν,
παραχωροῦν δὲ υἱῷ τῆς γεννήσεως, τί δ' ἄλλο βούλεται, ἢ τὸ μὴ τὸν
υἱὸν προβολέα εἶναι τοῦ πνεύματος; τῆς γεννήσεως γὰρ αὐτῷ (φησὶ) μό-
νης παραχωρεῖ τῷ υἱῷ. ὥσπερ τῷ πατρὶ τῆς ἀγεννησίας. εἰ δὲ προβολεὺς
ἦν τοῦ πνεύματος, καὶ τῆς προβολῆς ἂν αὐτῷ παρεχώρει δήπου. εἴπερ
οὐχ οἷόν τ' ἐστὶ προβολέα εἶναι τὸ πνεῦμα. Ταῦτα δὲ λέγων, τῷ Βασι-
Βασιλ. „λείῳ συνᾴδει λέγοντι. Τὰ κοινὰ πατρὶ καὶ υἱῷ, κοινὰ εἶναι καὶ τῷ πνεύ-
„ματι. καὶ τῷ ἱερῷ Διονυσίῳ πρὸ Βασιλείου εἰρηκότι τοῦτο. καὶ ὁ Νύσσης,
Γρηγ. Νυσσ. Πνεῦμα φησὶ τὸ τῆς πατρικῆς ἐκπορευόμενον ὑποστάσεως. καὶ ὁ Βασί-
Βασιλ. „λειος αὖθις ἐν ἑρμηνείᾳ τοῦ λβ. ψαλμοῦ. Ὡς οὖν ὁ δημιουργὸς (φησὶ)
„λόγος ἐστερέωσε τὸν οὐρανὸν, οὕτω καὶ τὸ πνεῦμα τοῦ Θεοῦ. ὃ παρὰ τοῦ πα-
„τρὸς ἐκπορεύεται, τουτέστιν ἐκ τοῦ στόματος αὐτοῦ. ἵνα μὴ τῶν ἔξωθέν τι καὶ
„τῶν κτισμάτων αὐτὸ κρίνῃς. ἀλλ' ὡς ἐκ Θεοῦ ἔχον τὴν ὑπόστασιν δοξά-
Ὁ αὐτός. „ζῃς. καὶ ἐν τῇ πρὸς Εὐστάθιον ἐπιστολῇ, ὁ αὐτός. Τὸ δὲ πνεῦμα τῆς
„ἀληθείας ἐκ πατρὸς ἐκπορεύεσθαι διδαχθέντες, ἐκ τοῦ Θεοῦ εἶναι ὁμολο-
Ὁ αὐτός. „γοῦμεν ἀκτίστως. Καὶ πάλιν ἐν ·ις. τῶν πρὸς Ἀμφιλόχιον. Οὔτε ἀέ-
„ρος ὁ λόγος τύπωσις σημαντικὴ διὰ φωνητικῶν ὀργάνων ἐκφερομένη. οὔτε
„τὸ πνεῦμα στόματος ἀτμὸς ἐκ τῶν ἀναπνευστικῶν μερῶν ἐξωθούμενος. ἀλ-

λὰ

λα λόγος μὲν, ὁ πρὸς τὸν Θεὸν ὢν ἐν ἀρχῇ, καὶ Θεὸς ὤν. πνεῦμα δὲ στόματος Θεοῦ, τὸ πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ πατρὸς ἐκπορεύεται. ὁ δὲ μέγας Ἀθανάσιος τῷ ἐν εἴδει διαλέξεως, μακεδονιανοῦ, καὶ ὀρθοδόξου.

Ἀθανάσ.

Τῶν μὲν ἀνθρώπων (φησὶ) Πέτρου καὶ Παύλου καὶ Τιμοθέου, προϋπάρχουσιν ἄνθρωποι. καὶ τῶν περὶ αὐτῶν ἄλλοι. τοῦ δὲ Ἀδάμ, οὐ προϋπάρχει ἄλλος, ἀλλ' αὐτὸς ὁ Θεός. πατρὸς δέ, καὶ υἱοῦ, καὶ ἁγίου πνεύματος, οὐδεὶς προϋπάρχει. ἀλλ' ἐκ τοῦ πατρὸς ὁ υἱὸς γεγέννηται, καὶ τὸ πνεῦμα ἐκπορεύεται. Ὁ αὐτὸς ἐν τῷ εἴδει διαλέξεως μαντονισοῦ, καὶ ὀρθοδόξου.

Ὁ αὐτός.

Ὥσπερ οὐδεὶς ἐστὶ μέσον νοῦ, καὶ λόγου, καὶ πνοῆς, οὕτως οὐδὲ μέσον πατρός, καὶ υἱοῦ, καὶ ἁγίου πνεύματος. νοῆσαι δὲ δεῖ τὸ πνεῦμα τέλειον, ἐν τελεία ὑποστάσει παρὰ πατρὸς ἐκπορευόμενον. καὶ Κύριλλος ἐν τοῖς κατὰ Ἰουλιανοῦ.

Κύριλ.

Τὸ πνεῦμα ἀρρήτως ἐκ τοῦ πατρὸς ἐκπορεύεται, διὰ δὲ τοῦ υἱοῦ χορηγεῖται τῇ κτίσει. καὶ πάλιν. ἐκπορεύεται μὲν ἐκ τοῦ Θεοῦ καὶ πατρός. ἔστι δὲ οὐκ ἀλλότριον τοῦ υἱοῦ κατὰ τὸν τῆς οὐσίας λόγον. καὶ Ἰουστῖνος.

Ἰουστῖνος.

Ὡς ὁ υἱὸς (φησὶν) ἐκ τοῦ πατρός, καὶ τὸ πνεῦμα ἐκ τοῦ πατρός. πλὴν γε δὴ τῷ τρόπῳ τῆς ὑπάρξεως διοίσει. καὶ ἐν ταῖς περιόδοις τῶν ἀποστόλων, ἐκ τοῦ πατρὸς ἐκπορεύεσθαι διωρισμένως τὸ πνεῦμα λέγεται. τούτοις προσκείσθωσαν τὰ τοῦ Κυρίλλου ῥητά. ἐν οἷς ἀποδιαιρῶν οὕτω φησίν.

Κύριλ.

Ἐκπορεύεσθαι μὲν τὸ πνεῦμα ἐκ τοῦ πατρός, χορηγεῖσθαι δὲ τῇ κτίσει τοῦτο διὰ υἱοῦ. ἐξ ὧν ἐν τῷ προτέρῳ μέρει τοῦ παρόντος συγγράμματος ἐθήκαμεν ἔνια.

ΚΕΦΑΛΑΙΟΝ κβ.

Ὅτι καὶ ἐκ τῶν Συνόδων τὸ αὐτὸ δείκνυται. καὶ μάλιστα τῆς Δευτέρας καὶ Τρίτης.

Τούτοις προσκείσθωσαν οἱ τῶν Συνόδων θεσμοί. πᾶσαι γὰρ ἐκεῖναι ἐκ τοῦ πατρὸς ὡρίζοντο τὸ πνεῦμα ἐκπορεύεσθαι, καὶ οὐδὲν προσετίθουν τὰ κατὰ τὴν Τρίτην συμβάντα Σύνοδον. ἅπερ ἀντὶ ψή-

φιλοπρεπεῖ κρατεῖν. ἡ τῆς Δευτέρας ἀνάπτυξις, ἥτις ὅλον τὸ περὶ τοῦ πνεύματος ἀνέπτυξεν ἄρθρον, ἐκ τοῦ πατρὸς ἐκπορεύεσθαι μὲν τοῦτο εἰποῦσα, υἱῷ δὲ συμπροσκυνεῖσθαι καὶ συνδοξάζεσθαι. κατὰ τοῦ Μακεδονίου, ἐκ τοῦ υἱοῦ τε τοῦτο ὑφίστασθαι μόνου, καὶ δημιουργικῶς ὑφίστασθαι φλυαροῦντος, αὐτὴ τὸ μὲν δημιουργικῶς ἀνεῖλεν, ἀποφηναμένη συμπροσκυνεῖσθαι τοῦτο, καὶ συνδοξάζεσθαι, πατρὶ καὶ υἱῷ. τὸ δ' ὅλως ὑφίστασθαι πως ἐκ τοῦ υἱοῦ, διὰ τῆς εὐαγγελικῆς ἐξέβαλε ῥήσεως, ἐκ τοῦ πατρὸς ἐκπορεύεσθαι τοῦτο εἰποῦσα· εἰ δὲ πρὸς τὴν δημιουργίαν μόνον ἡ Σύνοδος ἐδυσχέραινεν, ἐκπορεύεσθαι ἂν ἐκ τοῦ υἱοῦ συνεχώρησεν, ἐπεὶ τὴν ὕφεσιν τῆς οὐσίας ἀνεῖλεν ἐκ τοῦ συμπροσκυνεῖσθαι καὶ συνδοξάζεσθαι. οὐδ' ἂν ἠξίωσε τῷ ψεύδει καὶ τἀληθῆ συνεκβάλλειν. πῶς δὲ καὶ συμπροσκυνεῖσθαι μὲν τοῦτο τῷ υἱῷ λέγουσα, οὐκ ὤκνησεν αὖθις τοὔνομα τοῦ πατρὸς ἐπαναλαβεῖν; ἵνα μὴ δόξῃ υἱῷ μόνῳ συμπροσκυνεῖσθαι, ἐκ τοῦ υἱοῦ δὲ ἐκπορεύεσθαι φρονεῖν καθάπερ ἐκ τοῦ πατρὸς, οὐ προστίθησι τοὔνομα τοῦ υἱοῦ, ὥσπερ ἐν τῷ συμπροσκυνεῖσθαι, τὸν πατέρα προσέθηκεν. οὐδὲ πιστεύσειεν ἄν τις ῥᾳδίως, τὴν ἱερὰν ἐκείνην Σύνοδον τῆς ἀληθείας, καὶ τῆς τῶν πιστῶν ὠφελείας, ἧττον φροντίσαι, ἢ οἱ Λατῖνοι μόνοι πεφροντίκασιν ὕστερον· εἰ δὲ ἐκ μόνου τοῦ υἱοῦ τὸ πνεῦμα ἔλεγεν ὁ Μακεδόνιος, τῆς πατρικῆς αἰτίας ἀποτέμνων αὐτό. τοῦτο δ' ἐδόκει τῇ Συνόδῳ παγχάλεπον. ψεῦδος γάρ ἐστι καὶ ἀδύνατον, εἰ καὶ τιθείη τις οὐσιωδῶς τε καὶ φυσικῶς ἐκ τοῦ υἱοῦ τοῦτο ἐκπορεύεσθαι. εἰ μὲν ἡ Σύνοδος ἐκ μόνου τοῦ πατρὸς εἶναι τοῦτο ἐπίστευεν, ἀπεναντίας Μακεδονίῳ καθάπαξ. καλῶς ἐποίει μόνον ἐκ πατρὸς ἐκπορεύεσθαι λέγουσα, καὶ μὴ χρωμένη πρὸς τὴν ἐκπόρευσιν τῷ ὀνόματι τοῦ υἱοῦ. εἰ δὲ καὶ ἐκ τοῦ υἱοῦ τοῦτο εἶναι πιστεύουσα, οὐ προστίθησι, τὰ αὐτὰ Μακεδονίῳ ἡμάρτανεν, ἕτερόν τινα τρόπον· ἢ εἴ τις ἄλλος ἐκ μόνου τοῦ υἱοῦ τοῦτο λέγειν ἐτόλμησεν ἄν. ἐξ ὧν γὰρ σιωπᾷ τὴν ἐκ τοῦ υἱοῦ πρόοδον, παντελῶς φαίνεται βουλομένη, ἐκ μόνου τοῦτο τοῦ πατρὸς ἐκπορεύεσθαι· καὶ χεῖρον ἂν ἡμάρτανε, τῶν ἐκ μόνου τοῦ υἱοῦ τοῦτο φρονούντων· εἴπερ ἐκεῖνοι μὲν οὕτως ἐφρόνουν, αὕτη δὲ φρονοῦσα ἐκ πατρὸς εἶναι τοῦτο καὶ τοῦ υἱοῦ, ὅμως ἐκ πατρὸς ἔλεγε μόνον, τύπον τοῖς ἀνθρώποις πᾶσι παρέ-

χουσα

χοῦσα πίστεως, ἀτελῆ τε, καὶ δεόμενον τηλικαύτης προσθήκης· οὐ ἔχει τις εἰπεῖν, ὅτι μηδεὶς ἐβλασφήμει περὶ τὸ πνεῦμα τοῦτο τὴν ἀλήθειαν οὐκ ἀναγκαῖον ἦν αὐτοῖς διορίζειν· εἰ δὲ ἐλάνθανεν αὐτὴν τἀληθές, τοῦτο καὶ χεῖρον ἂν ἦν. τοῦτο δὲ ἀξιοῦσι περὶ αὐτῆς, οἱ μὴ ταῖς ἐκείνης ψήφοις ἀρκούμενοι. μᾶλλον δὲ οὗτοι ταύτης τε τῆς Συνόδου, καὶ τῆς μετ' αὐτὴν εὐθὺς, σοφώτεροί τε εἶναι καὶ ἀληθέστεροι βούλονται. ὧν ἡ μὲν Μακεδονίῳ μαχομένη, ἐκ τοῦ υἱοῦ μόνου τὸ πνεῦμα λέγοντι πεποιῆσθαι, ἀντὶ μὲν τοῦ πεποιῆσθαι, συμπροσκυνεῖσθαι λέγει. ἀντὶ δὲ τοῦ ἐκ τοῦ υἱοῦ, ἐκ τοῦ πατρὸς φησὶν ἐκπορεύεσθαι. ἀντὶ δὲ τοῦ μόνου, τὸν υἱὸν παντάπασιν ἀποσιωπᾷ. οὗτοι δὲ τὸ πεποιῆσθαι, καὶ τὸ ἐκ μόνου φυγόντες μόνον, τὸ δὲ ἐκ τοῦ υἱοῦ προσδεξάμενοι, διορθοῦνται τὴν Σύνοδον, ὡς καλῶς αὐτὸ μὴ προσηκαμένην. ἡ δὲ τὸν Νεστόριον καθελοῦσα Τρίτη, ἀκούσα τὸν Νεστόριον λέγοντα, μὴ ἔχειν τὴν ὕπαρξιν δι' υἱοῦ τὸ πνεῦμα τὸ ἅγιον. οὔτε καταδικάζει τούτου χάριν, καὶ ἀποφαίνεται μὴ δεῖν προστιθέναι οἷς ἡ Δευτέρα καὶ Πρώτη Σύνοδος ὥρισε, καταδικάσασ' ἂν (ὡς ἐκ τῶν πραγμάτων δῆλον ἐστὶν) εἴ τις ἀπεναντίας τῷ Νεστορίῳ λέγειν ἐβούλετο, περί γε τοῦ πνεύματος, καὶ ὑπὲρ τῆς δόξης φιλονεικεῖν. τοὺς γὰρ ἐναντία ποτὲ τολμήσαντας λέγειν, ἢ συγγράφειν τῷ Συμβόλῳ τῶν Συνόδων ἐκείνων, τούτους ἑτέραν πίστιν καινοτομῆσαι ὑπείληφεν. ὥσπερ αὐτὸν Νεστόριον καινοτομεῖν ἀπεφήνατο, ἐν οἷς ἐλήρει κατὰ Χριστοῦ. ταύτην γὰρ τὴν ἐξήγησιν ἡμῖν οἱ Λατῖνοι φέρουσι· καὶ ἡμεῖς τόγε νῦν ἔχον αὐτῇ συγχωροῦμεν. οὐκοῦν εἰ τὴν εἰς Χριστὸν βλασφημίαν τοῦ Νεστορίου, πίστιν ἑτέραν ἐνόμισεν, ὡς τῇ τε λέξει τοῦ Συμβόλου, καὶ τῇ διανοίᾳ, φανερῶς ἐναντιουμένην, εὔδηλον ὡς ἡ περὶ τοῦ πνεύματος δόξα τοῦ Νεστορίου, (ἣν οὐδ' ὅλως εἶπε κακῶς, ἀλλὰ μᾶλλον ἔδειξεν ἀσμενίζουσα πολλοῖς ἡ Σύνοδος) τῷ Συμβόλῳ σύμφωνός ἐστι. καὶ οὕτω τὸ περὶ τοῦ πνεύματος ἄλλως φρονῆσαι, ἢ πεφρόνηκεν ὁ Νεστόριος, πίστιν ἑτέραν καινοτομῆσαί ἐστι καὶ κατὰ τοῦ Συμβόλου χωρῆσαι, ἥ τε Σύνοδος ἐγίνωσκεν ὄν, καὶ ἡμεῖς ὁμοίως εἰδότες, οὐχ ἁμαρτάνομεν. Εἰ δὲ τὰς μετὰ ταῦτα Συνόδους ποιῆσαι ἐροῦσιν, ὅπερ ἡ Τρίτη παρῆκεν, ἀναθέματι δεδωκυίας τὰ Θεοδωρήτου κεφάλαια·

τοῦτο

τοῦτο ψεῦδός ἐστι καὶ ἀδύνατον. ἐπεὶ γὰρ ἐκεῖναι βεβαιοῦσαι δείκνυνται τὴν Τρίτην ὥσπερ εἰκὸς ἦν. ἄλλως γὰρ οὐκ ἂν ἐδόκουν συνάδειν. ἀδύνατον ἦν αὐτὰς τὴν περὶ τοῦ πνεύματος Θεοδωρήτου δόξαν ἀποτροπαίαν ἡγήσασθαι· ἧς ἕνεκα οὔτε Θεοδώρητος, οὔτε Νεστόριος, αἰτίαν τινὰ ἐδέξαντο ὑπὸ τῆς Τρίτης Συνόδου. καὶ μὴν Θεοδώρητος μέχρι τέλους ἐφρόνει, καίτοι Νεστόριον καθυποβαλὼν ἀναθέματι, καὶ οὕτω προσδεχθείς. ἀλλ᾽ οὐδ᾽ εἰκὸς ἦν τὰς Συνόδους ἐκείνας ἐνθυμηθῆναι, ὡς ὑπὸ ῥαθυμίας, ἥ τε Σύνοδος ἐκείνη, καὶ ὁ μακάριος Κύριλλος, περιεῖδον τὸ πνεῦμα βλασφημηθέν. τοῦτο οὐδ᾽ ἄλλος ἄν τις νοῦν ἔχων πιστεύσειε, καὶ τὴν κατὰ Νεστορίου σφοδρὰν ἐκείνην μάχην εἰδὼς, τοῦ τε Κυρίλλου καὶ συμπάσης τῆς Ἐκκλησίας. ὥστε τῆς κατὰ τῶν κεφαλαίων ἐκείνων ψήφου, δεῖ ζητεῖν ἑτέραν αἰτίαν. αὕτη δὲ ἔκ τε τῶν πραγμάτων αὐτῶν, καὶ ἀπ᾽ αὐτῆς τῆς λέξεως τῶν συνοδικῶν ψήφων ἐκείνων ἐστὶ σαφής. καὶ ἡμῖν ἐν τῷ προτέρῳ μέρει τοῦ συγγράμματος ἀποδέδεικται. καὶ νῦν οὐδὲν δεῖ προστιθέναι. Ἀλλ᾽ οἱ Λατῖνοι τούτων ἁπάντων ὑπερορῶντες, κατὰ Νεστοριανῶν φασὶ προστεθεικέναι, τὸ καὶ ἐξ υἱοῦ ἔχειν τὴν ὕπαρξιν τὸ πνεῦμα. καίτοιγε οὐ τοσοῦτον αὐτοῖς ἠνώχλουν Νεστοριανοὶ μετὰ τὴν Ἑβδόμην Σύνοδον, ὅσον ὁ Νεστόριος, καὶ οἱ τὰ ἐκείνου φρονοῦντες, ἠνώχλουν τῇ Τρίτῃ τότε Συνόδῳ. ὥστε καὶ τὴν Δευτέραν καὶ Τρίτην Σύνοδον διορθοῦνται, ἢ καὶ αἱρετικὰς ἀποφαίνουσι· τὴν μὲν, τοιαύτην ἀλήθειαν σιωπήσασαν, διὰ τὸ μὴ φρονεῖν δήπου. οὐ γὰρ ἦν ἂν οὐδέ τισιν ἄλλοις ἀνθρώποις ἐγκαιρότερον, ἢ τοῖς πατράσιν ἐκείνοις, καὶ ἐκ τοῦ υἱοῦ τὸ πνεῦμα εἰπεῖν, ἐπεὶ ᾔδεσαν τοῦτ᾽ ἀληθὲς εἶναι· τὴν δὲ, βλασφημοῦντι τῷ Νεστορίῳ περὶ τὸ πνεῦμα τὸ ἅγιον, οὐκ ἐπιτιμήσασαν. ἀλλὰ τοὐναντίον μᾶλλον ἐστὶν, ὅτι καὶ Μακεδονίῳ συντρέχουσι, καὶ εἴ τις ἀντιλέγων τότε τῷ Νεστορίῳ, ταῖς συνοδικαῖς ἔμελλεν ὑπεύθυνος γίνεσθαι ψήφοις. κἀκείνῳ ἂν δήπου συνέτρεχον. ἐπεὶ δ᾽ οὐδεὶς ἀντεῖπε τῷ Νεστορίῳ τὰ περὶ τὴν τοῦ πνεύματος ὕπαρξιν. αὐτοὶ τῶν ἐκείνης θεσμῶν καταφρονηταὶ γενέσθαι πρῶτοι βεβούληνται.

ΚΕΦΑΛΑΙΟΝ κγ.

Ὅτι ἐκ τῶν τοῦ Δαμασκηνοῦ λόγων, τοῦτο σαφές ἐστι. καὶ λύσεις τῶν λατινικῶν ἀντιθέσεων σύντομοι.

Προσκείσθω τοῖς εἰρημένοις ὁ θεῖος Δαμασκηνὸς Ἰωάννης, λέγων περὶ τοῦ πνεύματος ἐν τῷ .η. τῶν θεολογικῶν. *Δαμασκ.* Τὸ δὲ πνεῦμα τὸ ἅγιον ἐκ τοῦ πατρὸς λέγομεν, καὶ πνεῦμα πατρὸς ὀνομάζομεν. ἐκ τοῦ υἱοῦ δὲ τὸ πνεῦμα οὐ λέγομεν, πνεῦμα δὲ υἱοῦ ὀνομάζομεν. καίτοι τὸν διδάσκαλον τοῦτον ἄλλοι συκοφαντοῦσι, καὶ τὴν ἡμετέραν Ἐκκλησίαν πᾶσαν συνδιαβάλλουσι, καὶ αὐτὴν τὴν ἀλήθειαν, πρότερον ἀπεδείξαμεν. Οἱ δὲ φασὶ φρονεῖν αὐτὸν τοῦτο, καὶ μὴ λέγειν· μειρακιώδεσι σοφίσμασιν ἑαυτούς τε καὶ τοὺς ἄλλους ἐξαπατῶντες. εἰ γὰρ πανταχοῦ τῷ οὐ λέγομεν, τὸ φρονοῦμεν συνυπακούσωμεν, ἐπειδὰν ὁ αὐτὸς λέγῃ διδάσκαλος, ὅτι τὸν πατέρα οὐ λέγομεν ἔκ τινος, δεήσει συνυπακούειν, ὅτι φρονοῦμεν αὐτὸν ἔκ τινος εἶναι. εἰ δὲ παράγουσι τὸν αὐτὸν περὶ τῆς μακαρίας Παρθένου λέγοντα, ὅτι χριστοτόκον αὐτὴν φρονοῦμεν ὡς ἀληθῶς, ἀλλ' οὐ λέγομεν διὰ τὸν ἐξώλη Νεστόριον, τῇ φωνῇ ταύτῃ κακῶς χρησάμενον, καὶ τὴν Θεοτόκος φωνὴν ἐκβάλλοντα. ἀλλ' ἐκεῖ μὲν ὁ διδάσκαλος, καὶ τὴν αἰτίαν προστίθησι τοῦ φρονοῦντας μὴ λέγειν. ἐνταῦθα δὲ, οὔτε τὴν αἰτίαν προστίθησι, οὔτε μὴ φρονεῖν ὅλως λέγει. ὥστε οὐ δεῖ τοῦτο συνυπακούεσθαι. ἐλέγχει δ' αὐτοὺς ὁ διδάσκαλος ἐν .ιγ. τῶν κεφαλαίων, λέγων, *Δαμασ.* Πνεῦμα τοῦ πατρὸς, ὡς ἐκ πατρὸς ἐκπορευόμενον· οὐδὲ μία γὰρ ὁρμὴ ἄνευ πνεύματος· καὶ υἱοῦ δὲ πνεῦμα, οὐχ ὡς ἐξ αὐτοῦ, ἀλλ' ὡς δι' αὐτοῦ ἐκπορευόμενον. ἐνταῦθα γὰρ δείκνυται καὶ πάνυ φρονῶν οὐκ εἶναι τὸ πνεῦμα ἐκ τοῦ υἱοῦ. δῆλον δὲ· ἐπεὶ γὰρ πνεῦμα πατρὸς, καὶ πνεῦμα υἱοῦ εὑρίσκομεν ἐν τῇ γραφῇ λεγόμενον τὸ πνεῦμα τὸ ἅγιον, οὐ κατὰ τὴν αὐτὴν ἔννοιαν καὶ ἄμφω λέγεσθαι δείκνυσιν. ἀλλὰ τοῦ πατρὸς μὲν λέγεσθαι, ὡς ἐκ πα-

πατρὸς ἐκπορευόμενον· τοῦ υἱοῦ δέ, οὐχ ὡς ἐκ τοῦ υἱοῦ. εἰ τοίνυν ἐφρόνει τὸ ἐκ τοῦ υἱοῦ (ὡς αὐτοὶ λέγουσιν) οὐκ ἐφρόνει ἂν δήπου τὸ οὐκ ἐξ αὐτοῦ. οὐ γὰρ οἷόν τ' ἦν αὐτὸν ἄμφω φρονεῖν ἅμα. ἀλλὰ μὴν τοῦ υἱοῦ φησὶν εἶναι τὸ πνεῦμα, οὐχ ὡς ἐξ αὐτοῦ, καὶ οὕτω φρονεῖ· οὐκ ἄρα ἐφρόνει τοῦτο εἶναι ἐκ τοῦ υἱοῦ. Πάλιν ἔνιοι λέγουσιν, ὅτι τὴν .ἐκ. πρόθεσιν ἀποδίδωσι τῷ πατρί, ὡς πρώτῃ αἰτίᾳ· τῷ δὲ υἱῷ τὴν .διά. διὰ τὴν τάξιν ἣν ὁ υἱὸς ἔχει πρὸς τὸν πατέρα, ἐν τῷ τὸ πνεῦμα προβάλλειν. οὐκ ἀρνεῖται δὲ προβολέα τὸν υἱὸν εἶναι τοῦ πνεύματος. ἀλλὰ καὶ τοῦτο ψεῦδός ἐστι. διότι ἐπάγει, μόνος γὰρ αἴτιος ὁ πατήρ. καὶ πρὸς τοῦτο πάλιν σοφίζονται, ὅτι μόνος αἴτιός ἐστιν ὁ πατήρ, κατ' ἐκεῖνο τῆς αἰτίας τὸ σημαινόμενον. ὅπερ ἐπιτίθησιν ἡ .ἐκ. πρόθεσις τῷ ὀνόματι ᾧ συντέτακται. τουτέστιν ὡς πρώτη αἰτία καὶ κοινὴ πάσης τῆς θεότητος. ἀλλὰ πρῶτον μέν, εἴπερ αἴτιον νοοῦσι πρῶτον, οἵ τε ἄλλοι διδάσκαλοι, καὶ Δαμασκηνὸς ὁ πάντων ἑρμηνεὺς καὶ συνόπτης, καὶ διὰ τοῦτ' ἀποφάσκουσιν αὐτὸ τοῦ υἱοῦ. οὐδ' ἂν δημιουργὸν λέγοιεν τὸν υἱόν, ἢ Θεόν. διότι καὶ τὸ δημιουργεῖν, καὶ τὸ εἶναι, ἐκ τοῦ πατρὸς πρόσεστι τῷ υἱῷ. ἀλλ' οὐδεὶς φησὶ δημιουργὸν εἶναι μόνον τὸν πατέρα, ἢ ἀρχὴν τῶν κτισμάτων, ἢ αἴτιον μόνον. οὔτ' ἂν ἠλήθευσε λέγων ἁπλῶς, οὕτως ἄνευ προσθήκης· οὐκοῦν οὐδὲ μόνον αἴτιον λέγουσι τὸν πατέρα τοῦ πνεύματος, ὡς δὴ μόνον αἴτιον πρῶτον. ἐπεὶ τὸ πρῶτον, οὐ προστιθέασιν, ὥσθ' ἁπλῶς τὴν αἰτίαν τοῦ υἱοῦ ἀποφάσκουσιν, ἁπλῶς αἴτιον λέγοντες τὸν πατέρα μόνον. ἔπειτα τοῦτ' ἂν εἶχε καλῶς εἴπερ ὁ υἱὸς ἐλέγετο τοῦ πνεύματος αἴτιος, εἰ ἐν τῷ δι' υἱοῦ τὸ πνεῦμα προϊέναι λέγεσθαι, τὴν πρόθεσιν ταύτην ὡς αἰτίας σημαντικὴν ἐνόουν οἱ τῆς Ἐκκλησίας διδάσκαλοι. εἰ πρώτην τινὰ καὶ δευτέραν αἰτίαν ἔλεγον τοῦ πνεύματος, ἢ τῆς θεότητος. ἐπεὶ δὲ τούτων τε καὶ τῶν τοιούτων οὐδὲν οἱ διδάσκαλοι λέγουσιν. ἡ τοιαύτη ἐξήγησις ἐκ τῆς τῶν Λατίνων οὖσα φρενός, οὐδὲν ἀνάγκης πρός γε ἡμᾶς ἔχει. ὅτι δὲ καὶ ἀδύνατός ἐστι, τῶν διδασκάλων τἀναντία τούτοις λεγόντων, ἐκ τῶν μετὰ ταῦτα φανερωθήσεται. Πάνυ δὲ θαυμαστόν ἐστιν, ὅτι τὴν τοῦ Δαμασκηνοῦ ῥῆσιν, τοιαύταις παρεξηγήσεσι διαστρέφειν πειρῶνται πρὸς τὴν αὐτῶν θέλησιν, ὡς δὴ πολ-

λὴν

λὴν ἡμῖν συνηγορίαν παρεχόμενον, σαφήνειά τε, καὶ τῷ τοῦ εἰπόντος ἀξιώματι, ἐπεὶ τολμῶσιν οἱ αὐτοὶ καὶ νεστοριανὸν τοῦτον ἀποκαλεῖν, καὶ αἱρετικὴν εἶναι τὴν δόξαν ταύτην λέγουσιν. εἰ γὰρ Θεοδωρήτῳ καὶ Νεστορίῳ συμψεύδεται Δαμασκηνὸς, καὶ τὴν αὐτὴν ὑπέστη πλάνην ἐκείνοις, ἀρκεῖ τοῦτο πρὸς παραγραφὴν τοῦ ῥητοῦ. καὶ οὐδὲν δεῖ λοιπὸν αὐτὸ θεραπεύειν. ἢ οὕτω γ' ἂν καὶ τοὺς αἱρετικοὺς πάντας ἔξω θήσομεν αἰτίας, καὶ ταῖς ἐκείνων αἱρέσεσι πάροδον δώσομεν. χρῶμα αὐταῖς ὀρθότητος ἐπιθέντες ἔκ τινος μηχανῆς. Εἰ δὲ ἡ ῥῆσις ἀληθής ἐστι κατά τινα τρόπον, αὐτὸν γοῦν ὃν ἐπαινοῦσι Λατῖνοι, τί τὸν Δαμασκηνὸν ἀδικοῦσιν, αἱρετικοῖς αὐτὸν συντάττοντες; ἢ πῶς οὐκ αἰσχύνονται σφᾶς αὐτοὺς ἀσύστατα λέγοντες; πῶς γὰρ ἐστὶ δυνατὸν, καὶ τοῖς αἱρετικοῖς συμφρονεῖν, καὶ ὀρθὴν διάνοιαν ἔχειν, τὸν αὐτὸν ἐν τῷ αὐτῷ πράγματι; ἀλλ' ἴσως τῶν παρεξηγήσεων τούτων καταγινώσκοντες, καὶ συνειδότες καὶ αὐτοὶ τῇ ῥήσει ταύτῃ κρείττονι πάσης οὔσῃ διαστροφῆς, ἐπὶ τὴν τοῦ διδασκάλου διαβολὴν τρέπονται. ἁλίσκονται δὲ, ὑπ' οὐδενὸς ἱστάμενοι θεμελίου, ἐξ ὧν πειρῶνται μιγνύειν τὰ ἄμικτα. καὶ οἱ αὐτοὶ συνυπαχθῆναι τε αὐτὸν αἱρετικοῖς τισὶ λέγουσι, καὶ ὡς ὀρθοδοξοῦσαν ἐξηγοῦνται πάλιν τὴν ῥῆσιν, ἐκ τοσούτων λόγων τε καὶ πραγμάτων, καὶ πολλῶν πλειόνων ἄλλων. οὐ γὰρ ἀνάγκη πάντα παράγειν. δόξα τῆς τοῦ Χριστοῦ Ἐκκλησίας κοινὴ εἶναι δείκνυται, τὸ πνεῦμα μὴ ἐκπορεύεσθαι ἐκ τοῦ υἱοῦ. ἐν γὰρ τοῖς ἀπηριθμημένοις τῶν διδασκάλων ῥητοῖς, καὶ τοῖς ὁμοίοις, τοῦτ' ἐχρῆν λέγεσθαι, εἴπερ ἐκεῖνοι τοῦτ' ἐφρόνουν. ἐν οἷς περὶ τῆς ἀϊδίου τῶν θείων προσώπων ὑπάρξεώς τε καὶ τάξεως διαλέγονται· οἱ δὲ ἐκ τοῦ πατρὸς ἐκπορεύεσθαι, καὶ ὑφεστάναι, καὶ τὴν ὕπαρξιν ἔχειν, καὶ τὴν αἰτίαν φασίν· ἐκ δὲ τοῦ υἱοῦ τοῦτον οὐδὲν λέγουσιν, ὥσπερ ἐκ συνθήματος εἰς μίαν γνώμην πάντες συμβάντες. χωρὶς δὲ τῶν ῥητῶν ἑκάστου τῶν διδασκάλων, ἡ Δευτέρα Σύνοδος ἀπαράγραπτος ἡμῖν τῆς ἀληθείας ἔστηκεν ἑρμηνεύς· καὶ ἡ μετ' αὐτὴν εὐθὺς, δι' ὧν ἔμεινε ταῖς προτέραις ψήφοις, καὶ ὡς Νεστορίῳ τά γ' ἄλλα ἐχρήσατο, πλὴν τῶν εἰς τὴν θείαν ἢ κόντων οἰκονομίαν, κῆρυξ ἡμῖν γίνεται τοῦ μηδενὸς ἀνέχεσθαι. προστιθέν-

τες λοιπὸν τῷ περὶ τοῦ πνεύματος ἄρθρῳ.

ΚΕΦΑΛΑΙΟΝ κδ.

Ἐπίστασία εἰς τὸ τοῦ εὐαγγελίου ῥητόν, ἐν ᾧ λέγεται τὸ πνεῦμα ἐκ τοῦ πατρὸς ἐκπορεύεσθαι. δεικνῦσα ὅτι τὴν ἴσην δύναμιν ἔχει τὸ ῥητόν, ὡς εἰ ἔλεγεν, ἐκ τοῦ πατρὸς μόνου. καὶ συναγωγὴ πάλιν τῶν Συνόδων, περὶ τὴν τοῦ ῥητοῦ τούτου διάνοιαν.

Ἀλλὰ πρὸ πάντων καὶ ὑπὲρ ἅπαντα, ὁ δεσπότης ἡμῶν ὁ τὴν τοῦ πνεύματος πρὸς τὸν Θεὸν καὶ πρὸς ἑαυτὸν, τάξιν εἰδὼς, ἐκ τοῦ πατρὸς αὐτὸ φησὶν ἐκπορεύεσθαι. πᾶσαν ἀναπλύσεως πρόφασιν ἀποκλείων, δι' ὧν τῷ λόγῳ τούτῳ προστίθησιν. οὐ γὰρ εἶπεν ἁπλῶς ὅτι τὸ πνεῦμα
Ἰωάν. ιε. » παρὰ τοῦ πατρὸς ἐκπορεύεται. Ἀλλ' ὅταν ἔλθῃ ὁ παράκλητος, ὃν ἐγὼ » πέμψω ὑμῖν παρὰ τοῦ πατρὸς, τὸ πνεῦμα, τῆς ἀληθείας ὃ παρὰ τοῦ πατρὸς ἐκπορεύεται. Ἐπειδὴ γὰρ ὑπ' αὐτοῦ πεμφθήσεσθαι τοῦτο φησὶν, ἵνα μὴ δόξῃ κτίσμα τοῦτο εἶναι καὶ δουλικὴν ὑπουργίαν ἀποπληροῦν, προθεραπεύων τὴν ἀπὸ τοῦ πέμψεσθαι συμβαίνουσαν ὑποψίαν, ὅταν ἔλθῃ φησί. τουτέστιν ὁπόταν αὐθεντικῶς ὡς Θεὸς καὶ τῇ ἰδίᾳ βουλήσει πρὸς τὴν ὑμετέραν συγκαταβαῖνον ἐπίσκεψιν παραγένηται. ἀλλ' εἰ καὶ οἴκοθεν ἥξει, οὐδὲν ἧττον καὶ παρ' ἐμοῦ φησὶ πεμφθήσεται πρὸς ὑμᾶς. οὐ μόνον ὅτι μετ' ἐμοῦ ἥξει καὶ ἡ κάθοδος αὐτοῦ πρὸς ὑμᾶς ἀναγκαία διὰ τὴν ἐμὴν ἄνοδον ἔσται, ἀλλὰ καὶ ὅτι ἐμοῦ τε συμβουλομένου, καὶ δι' ἐκείνου τὴν οἰκονομίαν ἅπασαν συμπεραίνοντος, καὶ προστιθέντος τὸ λεῖπον, ἀφίξεται. ἐν ὑμῖν μὲν ὄν, καὶ γινωσκόμενον ὑμῖν πλέον, ἢ τοῖς ἄλλοις πᾶσιν ἀνθρώποις. οὔπω δὲ ὑφ' ὑμῶν γινωσκόμενον, ὡς γινώσκεσθαι δεῖ. καὶ διὰ τοῦτο μηδὲ παρεῖναι δοκοῦν. φανερώσω τοίνυν ὑμῖν αὐτὸ μετ' ἐμέ. οὐ παρὼν, ἀλλὰ ἀποστὰς πρότερον ἐξ ὑμῶν καὶ τὴν πίστιν ὑμῶν καὶ τὴν εὔνοιαν τῇ ἀπουσίᾳ γυμνάσας, καὶ οὕτως ἀ-

ξίους

ξίους τῆς τῶν ἀγαθῶν δείξεως προσθήκης. εἶτα, δεικνὺς τίς ἐστιν ἡ θέλησις αὕτη, τῆς διὰ τοῦ πνεύματος ὠφελείας, οὐ τοῦ πνεύματος ἐστὶ μόνου, καὶ αὐτοῦ, ἀλλὰ καὶ τοῦ Θεοῦ καὶ πατρὸς (κοινὴ γὰρ τούτων ἡ θέλησις, καθάπερ ἡ φύσις μία. ἐκεῖθεν μὲν ἀρχομένη, δι᾽ αὐτοῦ δὲ πρὸς τὸ πνεῦμα ὁριζομένη) πέμψω ὑμῖν φησὶ παρὰ τοῦ πατρός. ὡς ἐκείνου δηλονότι συμπέμποντος, ὅς ἐμοὶ καὶ τοῦ εἶναι, καὶ τοῦ βούλεσθαι, καὶ τοῦ τῷ πνεύματι συμβούλεσθαι, πάντα συμφυῶς καὶ συναϊδίως ἐστὶν ἀρχή. ἐπεὶ δὲ ἡ τοῦ πνεύματος πέμψις τε καὶ φανέρωσις, πρὸς ἡμᾶς τε ἐστὶ καὶ χάριν ἡμῶν, καὶ κοινὸν τῆς Τριάδος συμπάσης πέφυκεν ἔργον· ἡ δὲ ἀΐδιος τοῦ πνεύματος ὕπαρξις, ὑπὲρ αἰτίαν κατὰ τοὺς ἱεροὺς θεολόγους ἐστί. καὶ παντὸς ἀπολελυμένη κτιστοῦ πράγματος καὶ νοήματος, καὶ τῶν τῆς οἰκονομίας ὑπερανῳκισμένη λογισμῶν τε καὶ ἔργων, ταύτην ἡμῖν ἐμφῆναι βουλόμενος, ἐπήγαγε, τὸ πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ πατρὸς ἐκπορεύεται. καὶ ἑαυτοῦ μὲν εἶναι τοῦτο φησίν, ἀληθείας ὄντος, ὡς ἀϊδίως αὐτῷ καὶ ὑπερηνωμένως συνόν. καὶ ἐν αὐτῷ μόνον, εἰ καὶ ὑποστατικῶς αὐτοῦ διακέκριται, παρὰ δὲ τοῦ πατρὸς ἐκπορεύεται φησί. τουτέστιν ἐκεῖθεν, ὅθεν ὁ υἱὸς γεγέννηται πρόεισι, καὶ ἰδιοσυστάτως ὑφέστηκεν. Ὅθεν ἐκ τούτων τῶν λόγων θαυμασία τις δογμάτων συμπέπλεκται σειρά, καὶ συνήρμοσται. καὶ γὰρ τὴν ἐκ τοῦ πατρὸς προκαταγγέλλει τοῖς μαθηταῖς δωρεὰν ὁ ἡμέτερος Σωτὴρ καὶ δεσπότης. τὴν ἐκείνου παρίστησιν αὐθεντίαν, ἑαυτὸν ἀρχηγὸν εἶναι τῶν διὰ τοῦ πνεύματος γενησομένων αὐτοῖς ὠφελειῶν ἀποφαίνεται· τὴν πρώτην ἀρχὴν ἁπάντων ἀνακηρύττει. τὴν συμφυΐαν ἑαυτοῦ καὶ τοῦ πνεύματος μαρτυρεῖ· καὶ τὴν αἰτίαν τῆς ὑποστάσεως πόθεν αὐτῷ τῷ πνεύματι πρόσεστιν ἰσχυρίζεται. ὅτι ἐκ τοῦ πατρός. Ἀλλά τι καὶ πρὸς ταῦτα Λατῖνοι παρενοχλοῦσι; τὸ μὲν πέμπεσθαι, ταὐτὸν ἡγοῦνται τῷ ἐκπορεύεσθαι. τῷ δὲ ἐκ πατρὸς ἐκπορεύεσθαι, καὶ τὸν υἱὸν συνεπινοοῦσι. κἀντεῦθεν τὴν ἐν τῷ συμβόλῳ προσθήκην, ἀνάπτυξιν ἀποσεμνύοντες λέγουσιν. Εἰ μὲν οὖν ὁ δεσπότης ἡμῶν εἶπεν, ὃν ἐγὼ πέμψω, οὐ προσετίθει παρὰ τοῦ πατρός, εἶχον ἂν λέγειν, ὅτι διὰ τοῦτο προσέθηκεν, ὃ παρὰ τοῦ πατρὸς ἐκπορεύεται, ἵνα δείξῃ

τῆς πέμψεως τὸν πατέρα αἴτιον ὄντα. καὶ οὕτω τὴν πέμψιν ἀντὶ τῆς ἐκπορεύσεως εὐλόγως ἂν προσλαμβάνειν ἐδόκουν, καὶ συμπεραίνειν ἐξ ἀμφοτέρων τὸ πνεῦμα ὑφίστασθαι, πλὴν μετὰ ταύτης τῆς διαφορᾶς, ἣς προσδιορίζονται νῦν. ὅτι ἀναιτίως ἐκ τοῦ πατρὸς καὶ ἀνάρχως, ἐκ τοῦ υἱοῦ δὲ διὰ τὸν πατέρα. Ἐπεὶ δὲ πέμψω εἰπὼν, προσέθηκε παρὰ τοῦ πατρός. τῆς μὲν πέμψεως ἐκείνης, ὅρον τινα πρῶτον δείκνυσι τὸν πατέρα. καὶ οὕτως ἀρκούντως ἑαυτὸν, εἰς τὴν ἰδίαν αἰτίαν ἀνήνεγκεν. καὶ οὕτω τὰ κατὰ τὴν πέμψιν εἶχεν ἂν ἐνδεῶς. καὶ τῶν τειῶν ὑποστάσεων ἐν ταύτῃ λαμβανομένων. τί λοιπὸν ἔδει προσδιορίζεσθαι, ὅτι τὸ πνεῦμα παρὰ τοῦ πατρός ἐκπορεύεται, εἴγε ταὐτὸν ἦν τὸ παρὰ τοῦ πατρὸς ἐκπορεύεσθαι, τῷ παρὰ τοῦ πατρὸς πέμπεσθαι; τοῦτο δὲ εἴρηκε φθάσας, ἐν οἷς εἶπε πέμψειν αὐτὸ παρὰ τοῦ πατρός. παρέλκων γὰρ ἂν ἦν καὶ ἀδόλεσχος, καὶ οὐδὲν πλέον ἔχων οὗτος ὁ λόγος, δὶς λεγομένου τοῦ παρὰ τοῦ πατρὸς ἐκπορεύεσθαι, ἢ παρὰ τοῦ πατρὸς πέμπεσθαι. ἄλλο δέ τι τῆς πέμψεως βουλομένης, καὶ ἄλλο τῆς ἐκπορεύσεως. οὐδὲν λοιπὸν τοιοῦτον ἔξεστι τοῦ λόγου κατηγορεῖν. ἀλλὰ παρὰ πατρὸς μὲν πέμπεσθαι, δι᾽ υἱοῦ νοηθήσεται. ὡς ἐκ πατρὸς δι᾽ υἱοῦ ἐν πνεύματι μιᾶς ἐρχομένης εἰς τοὺς ἀνθρώπους εὐεργεσίας. οὐ κατιούσης μὲν ἐκείνης τῇ τάξει. οὐδὲ μετά τινος διαστήματος, ἀλλ᾽ ἐν τῇ ἑνότητι τῆς δωρεᾶς καὶ τῆς τῶν θείων προσώπων τάξεως νοουμένης. ἣν ἐν ἑαυτοῖς καὶ πρὸς ἑαυτὰ κέκτηνται. παρὰ δὲ τοῦ πατρὸς ἐκπορεύεσθαι, ὡς ἐκεῖθεν τὴν ἰδίαν ὕπαρξιν ἔχον. ἣν καὶ πρὸ τῆς οἰκονομίας, καὶ τῆς τῶν ὄντων δημιουργίας, καὶ πάσης χρονικῆς ἐννοίας ἐπέκεινα, κέκτηνται. καὶ οὐκ ἔστιν ὅτε οὐκ εἶχεν. ἕνεκα μὲν οὖν τοῦ δεῖξαι τὸν πατέρα τῆς πέμψεως ἐκείνης καὶ φανερώσεως τοῦ πνεύματος, αἰτίαν ἄναρχον καὶ ἀναίτιον, οὐκ εἶπεν αὐτὸ ἐκ τοῦ πατρὸς ἐκπορεύεσθαι. τοῦτο γὰρ ἐδήλωσε πρότερον εἰπὼν, ὃν πέμψω ὑμῖν παρὰ τοῦ πατρὸς, καὶ τῇ κοινῇ τῆς Τριάδος εὐεργεσίᾳ καὶ τὸν πατέρα συμπεριείληφεν. Εἰ δὲ τὴν ἀΐδιον τοῦ πνεύματος ὕπαρξιν παριστῶν, ἐκ τοῦ πατρὸς εἴρηκεν ἐκπορεύεσθαι, τίνος ἕνεκα λοιπὸν οὐ προσετίθει καὶ ἑαυτὸν, εἰδὼς ἑαυτὸν τοῦ πνεύματος αἴτιον; εἰ μὲν δὴ μὴ βουλόμενος ἑαυτῷ τὰ μέγιστα μαρτυρεῖν;

διὰ τὴν οἰκονομίαν, καὶ μὴν πέμψειν ἔφασκεν αὐτό, ὃ τῆς ἴσης ἐστὶ δυνάμεως πρός γε τὴν τῆς θεότητος μαρτυρίαν. ἐκ δὲ τοῦ προφαινομένου καὶ μεῖζον, ὃ τοὺς αἱρετικοὺς ἔσφαλεν. Εἰ δὲ τὰ ἑαυτοῦ πρὸς τὸν πατέρα βουλόμενος ἀναφέρειν, ἀλλὰ καὶ τὴν πέμψιν πρὸς τὸν πατέρα ἀνήνεγκεν. ὅμως καὶ ἑαυτὸν τὸ πνεῦμα πέμψειν παρὰ τοῦ πατρὸς ἐπηγγείλατο. καὶ ῥᾴδιον ἦν οὕτως εἰπεῖν, ὃ παρ' ἐμοῦ καὶ τοῦ πατρὸς ἐκπορεύεται. ἢ ὃ παρὰ τοῦ πατρὸς ἐκπορεύεται δι' ἐμοῦ. Εἰ δὲ ἀρκεῖν ἡγεῖτο, τὸ παρὰ τοῦ πατρὸς ἐκπορεύεσθαι ὥστε κἀκεῖνο δηλῶσαι, ἤρκει γ' ἂν καὶ οὕτως εἰπεῖν, ὃν πέμψει ὁ πατήρ. ἀλλὰ προσέθηκεν, ἐν τῷ ὀνόματί μου. καὶ πάλιν ἤρκεσεν ἂν εἰπεῖν, ὅταν ἔλθῃ ὁ παράκλητος ὃν ὁ πατὴρ πέμψει. ἀλλ' εἶπεν ὅμως, ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ πατρός. οὐκοῦν ὡς οὐκ ἀρκοῦν, ἄλλως εἰπεῖν ταῦτα ἐκεῖ προσετίθει. οὐδὲ ἐνταῦθα τοίνυν ἐξήρκει τούτῳ τῷ λόγῳ, ἀλλ' ἔδει προσθήκης, εἴπερ ἀληθὲς ἦν, προστιθέναι. οὐ γὰρ ἔλαττον τῷ τοῦ υἱοῦ ὀνόματι ὁ πατὴρ συνεπινοεῖται διὰ τὴν σχέσιν, ἢ ὁ υἱὸς τῷ ὀνόματι τοῦ πατρός. οὐδὲ μᾶλλον ἔδει τὸν πατέρα συμπαραλαμβάνειν ἐν τῷ προδήλως κοινῶς ὑπάρχοντι πράγματι, ὁπόταν λέγῃ, ἐγὼ πέμψω παρὰ τοῦ πατρός. ἢ τὸν υἱὸν συμπαραλαμβάνειν ἐν τῷ ἰδικῷ καὶ προσωπικῷ. ἐν ᾧ τὸν υἱὸν οὐκ ἀνάγκη συνεπινοεῖν ἔκ γε τῆς ὅλης τοῦ λόγου. Τὸ μὴ προσθεῖναι ἄρα καὶ ἑαυτὸν ἐν τῇ παρὰ τοῦ πατρὸς ἐκπορεύσει τοῦ πνεύματος, οὐκ ἦν δήπουθεν ἐξαρκεῖν ἡγουμένου τὸ πατρικὸν ὄνομα, πρὸς τὸ καὶ τὸν υἱὸν κοινωνὸν ἐκείνης τῆς προβολῆς ἀποφῆναι· ἀλλὰ μᾶλλον ἀρκεῖν εἰδότος τῷ πνεύματι τὴν ἐκ πατρὸς ἐκπόρευσιν, καθάπερ δήπου καὶ ἑαυτῷ συνῄδει τὴν ἐξ ἐκείνου γέννησιν, ἐξαρκεῖν. οὐδὲ διὰ τὴν σάρκα ἐφθέγγετο ταπεινότερον. ἀλλὰ διὰ τὴν θεότητα μᾶλλον, τῆς ἀϊδίου καὶ θείας ἀληθείας κήρυξ ἀπαραίτητος ἦν, ὅτε περὶ τῶν τῇ θείᾳ φύσει προσόντων ἐδίδασκεν. οὐδὲ ἐφείδετο τῶν προσόντων ἑαυτῷ τιμῶν τὸν πατέρα, ἀλλ' ἔτι μᾶλλον ἑαυτὸν ἀληθῶς, ὅτε τὸ παρὰ τοῦ πατρὸς ὑφεστὼς ἑαυτοῦ ἔλεγεν εἶναι, ἐν τῷ τῆς ἀληθείας πνεῦμα καλεῖν αὐτό. ὅπερ οὐδεὶς ἂν ἄνθρωπος ὤν, περὶ τοῦ θείου πνεύματος φαίη. τῷ μέντοι Θεῷ καὶ πατρί, τὴν ἀρχικὴν ἀπένειμεν ἰδιότητα.

ἣν

ἣν μόνος ἐν τοῖς θείοις προσώποις ἔχει πρὸς ταῦτα. ἵνα καὶ τῶν θείων προσώπων ἀρχὴ μία ὁ πατὴρ ᾖ· καθάπερ πάντων τῶν ὄντων ἀρχὴ μία ἐστὶν ὁ πατὴρ διʼ υἱοῦ ἐν πνεύματι· τουτέστιν ὁ ἐν τριάδι Θεός. Ὑπὸ τούτων ὡς ἔοικεν ἡ Δευτέρα Σύνοδος κινηθεῖσα τῶν λογισμῶν, καὶ οὕτω τὴν εὐαγγελικὴν ἐκείνην ἀπόφασιν ἐννοήσασα, μικρᾷ προσθήκῃ λέξεων, ἀνέπλυξε μὲν τὴν γνώμην τῶν ἐπὶ τῆς Πρώτης ἁγίων πατέρων. Μακεδονίου δὲ τὰς φλυαρίας ἐξήλεγξεν. ἅς τε ἐκ τῶν προτέρων παρειλήφει αἱρετικῶν. καὶ ἃς προσεπενόησεν οἴκοθεν. οὐ καταδεέστερον μόνον (ὡς ἐκεῖνοι) τοῦ υἱοῦ τὸ πνεῦμα φρονῶν, καὶ τὸν υἱὸν ὁμοούσιον τῷ πατρὶ, ἀλλὰ μηδὲ εἰς τὴν τῆς Τριάδος δόξαν αὐτὸ συναναλαμβάνων, τὴν δὲ τῶν ἀγγέλων τάξιν ἀποδιδοὺς, κτίσμα τε τοῦ Θεοῦ καὶ διάκονον καὶ ὑπηρέτην ἀποκαλῶν τοῦτο τοῖς ἀγγέλοις ὁμοίως. καὶ μέχρι τοῦ νῦν ἡ τῶν πνευματομάχων ἐκείνων καὶ Μαραθωνίων φρατρία, ταῖς τοῦ Συμβόλου συλλαβαῖς ἐκείναις ἀνατρέπεται πᾶσα. εἰ γὰρ τῷ υἱῷ συμπροσκυνεῖται τὸ πνεῦμα προσκυνουμένῳ μετὰ πατρὸς, τὴν αὐτὴν οὐσίαν ὁ υἱὸς ἔχει μετὰ πατρὸς, καὶ συνέστιν αὐτῷ τῇ τῆς οὐσίας δόξῃ καὶ τῆς θεότητος, εἰ πατρὶ καὶ υἱῷ συμπροσκυνεῖται καὶ συνδοξάζεται· δῆλον ὅτι συμπληρωτικὸν ἐστὶν (ὡς οὕτως εἰπεῖν) τῆς μακαρίας Τριάδος, καὶ τῶν τῆς θεότητος πρεσβείων ἁπάντων γνησίως τῷ πατρὶ καὶ τῷ υἱῷ κοινωνεῖ. καὶ οὔτε τοῦ υἱοῦ, οὔτε τοῦ πατρὸς πέφυκε κτίσμα. Εἰ ἐκ τοῦ πατρὸς δὲ ἐκπορεύεται, τουτέστιν ὑφίσταται, δῆλον ὅτι ἐκ τοῦ υἱοῦ οὐχ ὑφίσταται. εἰ μὲν γὰρ ἐκ τοῦ υἱοῦ ἐκπορεύοιτο, καὶ ἐκ πατρὸς ἔποιτʼ ἂν ἐκπορεύεσθαι· ἐπεὶ πάντα ὁ υἱὸς ἐκ τοῦ πατρὸς ἔχει. καὶ οὐδὲν ἀφʼ ἑαυτοῦ ποιεῖν, οὔτε προσάγειν αὐτὸς φησὶ περὶ ἑαυτοῦ. Εἰ δὲ ἐκ τοῦ πατρὸς ἐκπορεύεται, οὐκ ἔτι ἂν ἡ αὐτὴ ἀνάγκη εἴη καὶ ἐκ τοῦ υἱοῦ ἐκπορεύεσθαι, ἢ καὶ πάντα προσεῖν ἂν τῷ υἱῷ, τὰ τῷ πατρὶ προσόντα. ἀλλὰ τοῦτο ψεῦδος ἐστιν. οὐ γὰρ τὸ ἄναρχον αὐτῷ καὶ ἀγέννητον πρόσεστιν. οὐδὲ τὸ γεννᾷν· οὐδʼ ὅλως ἡ ἀρχὴ καὶ τὸ αἴτιον, ὡς τοῖς ἱεροῖς διδασκάλοις δοκεῖ. ἀλλὰ μή πω περὶ τοῦ αἰτίου καὶ τῆς ἀρχῆς * ἀρκεῖ δὲ τοσοῦτον εἰπεῖν, ὅτι τῶν γνωρισμάτων τῆς πατρικῆς ὑποστάσεως, οὐδενὸς ὁ υἱὸς κοινωνεῖ. καὶ ἡ μετὰ τὴν Δευτέ-

ραν

καὶ Σύνοδος, ἀπαραίτητοι τοῖς ὀρθῶς λογιζομένοις ἀνάγκην ἡμῖν ἐπι-
τίθησι, μὴ πιστεύειν ἐκ τοῦ υἱοῦ τὸ πνεῦμα ὑφίστασθαι, διὰ τὰς εἰρημένας
αἰτίας. τῶν γὰρ εὐαγγελικῶν ἐκείνων ῥημάτων, ἀπαραλλάκτως ὡς ἡ
Δευτέρα Σύνοδος ἤκουσεν. Ἀλλ' οἱ κακοὶ τούτων ἀκροαταὶ (λέγω δὲ τοὺς
ἐξ ἡμῶν ἀποστάντας, καὶ τοῖς ὑπερορείοις θεμένους νεωτερίσμασι) οὔτε τῶν
Συνόδων ἐκείνων, οὔτε τῶν διδασκάλων χωρὶς, οὔτε τῶν δεσποτικῶν αὐτῶν
φροντίσαντες λόγων, ἑτοίμως ἔσχον πάνυ πρὸς τὴν μετάθεσιν.

ΚΕΦΑΛΑΙΟΝ κε.

Ἔκθεσις τῶν ῥητῶν, ἐν οἷς ἐκ πατρὸς διὰ υἱοῦ ἐκπορεύεσθαι λέγεται τὸ ἅγιον πνεῦμα. καὶ ὅτι ταῦτα μὴ νοήσαντες τινὲς καλῶς, τοῖς Λατίνοις ἐνέδωκαν.

Τούτων οὕτω προτεθημένων εἰς ἀπόδειξιν τοῦ τὴν ἀΐδιον ὕπαρξιν
τοῦ πνεύματος, ἐκ πατρὸς εἶναι μόνον, ὡς ἀπ' αἰτίας. οἷς οὐκ ἔστιν
ἀντειπεῖν, οὐδὲ ἀντιβλέψαι, τῆς ἱερᾶς οὖσι διδασκαλίας, ἀλλ' τῶν ἀν-
θρωπίνων καὶ θνητῶν λογισμῶν· καιρὸν ἔχει λοιπὸν ἐπισκέψασθαι, τὰ
τῶν διδασκάλων ῥητά· ἐν οἷς δοκοῦσιν ἐκ πατρὸς διὰ υἱοῦ τὸ πνεῦμα τι-
θέναι. Ὁ μέγας τοίνυν Ἀθανάσιος ἐν τῷ λόγῳ ὃς ἐπιγέγραπται ἔλεγ-
χος ὑποκρίσεως, τῶν περὶ Μελίτιον καὶ Εὐσέβιον, οὕτω φησίν. Ἦν δὲ ,, Ἀθανάσ.
ἀδιώρατον ἐν τῇ τῆς Τριάδος δόξῃ τὸ πνεῦμα δοξάζεσθαι μὴ προοδικῶς ,,
ὂν ἐκ Θεοῦ διὰ υἱοῦ, ἀλλὰ ποιητικῶς ἐκ Θεοῦ ὡς λέγουσιν οἱ αἱρετικοὶ δηλο- ,,
νότι. Ὁ μέγας Βασίλειος ἐν .δ. τῶν πρὸς Εὐνόμιον, ἐν οἷς ἀπορεῖ διὰ-
τί μὴ καὶ τὸ πνεῦμα υἱὸς τοῦ υἱοῦ, φησὶν, οὐ διὰ τὸ μὴ εἶναι ἐκ Θεοῦ διὰ υἱοῦ. ,, Βασίλ.
ἀλλ' ἵνα μὴ ἡ Τριὰς νομισθείη πλῆθος ἄπειρον υἱοὺς ἐξ υἱῶν, ὡς καὶ ἐν ,,
ἀνθρώποις, ἔχειν ὑποπτευθεῖσα. Ὁ θεῖος Μάξιμος ἐν τῇ ἑρμηνείᾳ ,,
τῆς χρυσῆς λυχνίας, φησί. Τὸ πνεῦμα τὸ ἅγιον, ὥσπερ κατ' οὐσίαν ὑ- ,, Μάξιμ.
πάρχει τοῦ Θεοῦ καὶ πατρὸς, οὕτω κατ' οὐσίαν ἐστὶ καὶ τοῦ υἱοῦ. ὡς ἐκ τοῦ ,,

» πατρὸς ὑϊωδῶς δι' υἱοῦ γεννηθέντος ἀφράστως ἐκπορευόμενον. Ὁ θεῖος Ταράσιος ἐν τῇ ὁμολογίᾳ τῆς ἑαυτοῦ πίστεως, ἣν συνεῖπε καὶ ἡ ἁγία οἰκουμε-

Ταράσιος » νικὴ Ἑβδόμη Σύνοδος. Καὶ εἰς τὸ πνεῦμα (φησὶ) τὸ ἅγιον, τὸ ἐκ πατρὸς
» δι' υἱοῦ ἐκπορευόμενον, καὶ αὐτὸ θεὸν εἶναι γνωριζόμενον. Καὶ Ἰωάννης ὁ
Δαμασκ. » Δαμασκηνὸς ἐν. ιγ. τῶν θεολογικῶν οὕτω φησίν. Αὐτὸς οὖν ἐστὶ λόγου
» γεννήτωρ, καὶ διὰ λόγου προβολεὺς ἐκφαντορικοῦ πνεύματος. ὁ αὐτὸς
Ὁ αὐτός. » ἐν τῷ αὐτῷ, φησί, Τὸ πνεῦμα τὸ ἅγιον ἡ ἐκφαντορικὴ τοῦ κρυφίου τῆς
» θεότητος δύναμις τοῦ πατρὸς, ἐκ πατρὸς ἐστὶ δι' υἱοῦ ἐκπορευομένη.

τούτοις τοῖς ῥητοῖς οὐ πρόσκειται μὲν τὸ ἀϊδίως. συνεμφαίνεσθαι δὲ δοκεῖ, διὰ τὴν τοῦ ἐκπορεύεσθαι λέξιν. ἥτις τῇ ἀϊδίῳ τοῦ πνεύματος ὑπάρξει, καὶ τῇ ὑποστατικῇ τούτου προόδῳ, ἰδίως ἀφορίζεσθαι δοκεῖ. καὶ ἐκ τοῦ προβολέα δι' υἱοῦ εἶναι τὸν πατέρα τοῦ πνεύματος. ἐκ πατρὸς δι' υἱοῦ ἀϊδίως τὸ πνεῦμα δείκνυται προαγόμενον. καὶ πολλῷ σαφέστερον ἐν τῷ δὲ τῷ ῥητῷ, ἢ τοῖς ἄλλοις, τοῦτο καταφαίνεται. διότι τὸ ἐνεργοῦν πρόσωπον ὁ πατὴρ, καὶ τοὔνομα τῆς ἐνεργείας κεῖται. καὶ δοκεῖ ἀδύνατον εἶναι, μὴ καὶ τὸν υἱὸν ἀρχὴν εἶναι τῆς ἐνεργείας ἐκείνης, προσεχῶς τὸ πνεῦμα προάγουσαν. εἰς ταύτην δὲ τὴν ἔννοιαν καὶ τὸ τοῦ Νύσσης φέ-

Γρηγ. ὁ Νύσσ. » ρειν δοκεῖ ἐν τῷ πρὸς Ἀβλάβιον λόγῳ. ἐν ᾧ προσεχῶς μὲν ἐκ τοῦ πρώτου
» ὁ υἱὸς εἶναι θεολογεῖται. τὸ δὲ πνεῦμα τὸ ἅγιον, διὰ τοῦ προσεχῶς ἐκ

τοῦ πρώτου. τουτέστιν ἐκ τοῦ πατρὸς διὰ τοῦ υἱοῦ. καὶ ὅτι περὶ τῆς ἀϊδίου συντάξεώς τε καὶ διακείσεως τῶν θείων προσώπων ὁ λόγος αὐτῷ, πρόδηλον ἐστίν. Ἐκ τούτων τοίνυν τῶν ῥητῶν τοῖς ἁπλουστέροις ἐπέρχεται, καὶ ἐκ τοῦ υἱοῦ τοῦτο τιθέναι ὑφίστασθαι. καὶ ὁ σύμπας τῆς πρὸς Λατίνους θεμέλιος τοῖς ἐνίστασθαι βουλομένοις, οὗτος ἐστί. τὸ πνεῦμα ἀϊδίως ἐκ τοῦ πατρὸς δι' υἱοῦ φασὶν οἱ ἀπ' Ἀνατολῆς διδάσκαλοι ἐκπορεύεσθαι. ἀλλ' ὥσπερ ἡ. ἐκ. σημαίνει αἰτίαν ἐν τῷ ἐκ τοῦ πατρὸς. οὕτω καὶ ἡ. διά. τὴν αἰτίαν παρίστησιν ἐν τῷ δι' υἱοῦ. οὐκοῦν τὸ πνεῦμα ἀληθὲς ἐστὶν εἰπεῖν καὶ ἐκ τοῦ υἱοῦ ὑφεστάναι. καὶ ἐκ τοῦ υἱοῦ τὴν ὕπαρξιν ἔχειν. καὶ τὸν υἱὸν ἀρχὴν αὐτοῦ καὶ αἴτιον εἶναι. καὶ πάντα δὴ τὰ τοιαῦτα. οὕτω δὲ οἴονται καὶ τοὺς εὐρωπαίους συνάδειν τοῖς ἡμετέροις πατράσιν,

ἂν

ἂν εἰ τῷ δι' υἱοῦ, ἀρχὴ καὶ αἴτιος ὁ υἱὸς νοῆται τοῦ πνεύματος. ἄλλως δὲ ἀδύνατον αὐτοὺς ἡγοῦνται συνᾴδειν.

ΚΕΦΑΛΑΙΟΝ κϛʹ.

Ὅτι εἰ καὶ δυνατόν ἐστι καὶ ταῦτα τὰ ῥητὰ πρὸς τὴν χρονικὴν πρόοδον ἐκλαμβάνειν ἀληθῶς. ἀλλ' ἐπειδὴ δύνανται καὶ περὶ τῆς ἀϊδίου προόδου νοεῖσθαι ὀρθῶς, δεῖ τοῦτο συγχωρεῖν τοῖς Λατίνοις. καὶ περὶ τοῦ τίνα μὲν τῶν ῥημάτων ἀφωρισμένως δηλοῦσι τὴν χρονικὴν πρόοδον, τίνα δὲ τὴν ἀΐδιον. καὶ τίνα εἰσὶν ὥσπερ κοινά.

Ἀλλ' ἡμεῖς αὐτῷ τῷ τῆς ἀληθείας πνεύματι συνεργῷ κεχρημένοι καὶ ὁδηγῷ, πρῶτα μὲν λέγομεν, ὡς εἰ καὶ τὰ μάλιστα τὴν ἀΐδιον τοῦ πνεύματος ὕπαρξιν, διὰ τῆς, τοῦ ἐκπορεύεσθαι νοουμένης φωνῆς, ἢ τὴν ὑπερνόητον ἐκείνην αὐτῷ πρόοδον, ὁ θεῖος ἐνέφηνε λόγος. ἀλλ' οὐκ ἀνάγκη πανταχοῦ τὴν φωνὴν εἰς ταύτην ἐκλαμβάνειν τὴν ἔννοιαν, οὐδὲ ἐν ὅσοις τῶν διδασκάλων ῥητοῖς αὕτη κεῖται, καὶ τὸ ἀϊδίως προσυπακούειν ἀνάγκη. ἐν μὲν γὰρ τοῖς ἱεροῖς εὐαγγελίοις οὕτω νοεῖν ἀναγκαζόμεθα διὰ τὸ προτεθεῖσθαι ἐκεῖ τὴν τοῦ πνεύματος πέμψιν, ἐκ πατρὸς δι' υἱοῦ γεννήσεσθαι λεγομένην. ἧς πρὸς ἀντιδιαστολὴν, ἡ ἐκ πατρὸς ἐκπόρευσις ἐπαχθεῖσα, τὴν ἐντελῆ περὶ τοῦ πνεύματος ἡμῖν ὁλοσχερῶς εἰσήγαγεν ἔννοιαν, ὃν ἔναγχος εἴρηται τρόπον. καὶ ἐπειδὰν δὲ λέγουσιν οἱ τῆς Ἐκκλησίας διδάσκαλοι, ἀῤῥήτως μὲν τὸ πνεῦμα ἐκ τοῦ πατρὸς ἐκπορεύεσθαι, διὰ δὲ τοῦ υἱοῦ χορηγεῖσθαι τῇ κτίσει. καὶ ἐκ τοῦ πατρὸς μὲν ἐκπορεύεσθαι, εἶναι δὲ οὐκ ἀλλότριον τοῦ υἱοῦ κατὰ τὸν τῆς οὐσίας λόγον. καὶ πάλιν ἐκ τοῦ πατρὸς ὁ υἱὸς φασὶ γεγέννηται, καὶ τὸ πνεῦμα τὸ ἅγιον ἐκπορεύεται. Ὅταν τοίνυν ταῦτα λέγωσιν, οὐδὲν ἄλλο δεῖ νοεῖν, ἢ τὴν ὑποστατικὴν τοῦ πνεύματος πρόοδον. ἢ ἐκ τοῦ πατρὸς ὡς ἀπ' αἰτίας πρόεισιν ὡς ἀληθῶς φυσικῆς. ἡ γὰρ διαστολὴ τῶν ῥημάτων ἐκεῖ-

καί, συμπεριειλημμένην τινὰ πρὸς μίαν ἔννοιαν τὴν τοῦ ἐκπορεύεσθαι λέξιν ἡμῖν ἀποδίδωσι. καὶ οὐ δυνάμεθα τὴν ἐκπόρευσιν τότε κατά κοινότερον ἐκδέχεσθαι τρόπον. ἐπειδὰν δὲ μηδὲν τοιοῦτον προσκείμενον ᾖ, ἀλλὰ μόνον ἐκ πατρὸς δι᾽ υἱοῦ ἐκπορεύεσθαι λέγηται, δυνάμεθα καὶ περὶ τῆς χρονικῆς προόδου τὸ ῥῆμα τοῦτο νοεῖν, ὁλοσχερῶς αὐτὸ καὶ κατά τινα κοινότερον ἐκλαμβάνοντες τρόπον. ὡς τῷ προϊέναι μάλιστα χρώμεθα. οὕτω γὰρ καὶ τὴν χρονικὴν τοῦ πνεύματος ἀποστολήν, τῷ πέμπεσθαι, καὶ προχεῖσθαι, καὶ πηγάζειν, καὶ πεφηνέναι, νοοῦμεν ἔν γε ταῖς πλείστοις. ἐν οἷς οἱ διδάσκαλοι τὴν κτίσιν, ἢ τοὺς ἀνθρώπους προστιθέασιν, ἤ τι τοιοῦτον. ἄνευ δὲ τῆς τοιαύτης προσθήκης, ἔσθ᾽ ὅτε καὶ ἀΐδιόν τι διὰ τούτων νοοῦμεν. οὐ γὰρ ὥρισται ταῦτα πρὸς τὸ σημαίνειν ἀεὶ τὴν τοῦ πνεύματος χορηγίαν. ἀλλὰ μεταφορικῶς τὴν πρόοδον δηλοῦσι τοῦ πνεύματος, ὁποτέραν ἂν εἴποι τις. οἷον τὸ μὲν προχεῖσθαι, καὶ ἀναβλύζειν, καὶ πηγάζειν, κυρίως ἐπὶ τῆς ὑγρᾶς λεγόμενα φύσεως, κατὰ μεταφορὰν ἐπὶ Θεοῦ λέγονται. διότι τὸ πνεῦμα τὸ ἅγιον, ὕδωρ ζῶν εἰκονικῶς ὑπὸ τῆς γραφῆς λέγεται. ὁ δὲ υἱὸς τοῦ Θεοῦ, ποταμὸς καὶ πηγὴ κατ᾽ ἄλλην αὖθις ἔννοιαν, ὡς δειχθήσεται. ὡς δὲ καὶ τὸ πεφηνέναι, καὶ ἐκλάμπειν, περὶ τῆς φωτεινῆς καὶ λαμπρᾶς κυρίως λέγονται φύσεως, ἐπὶ δὲ τὸν Θεὸν μεταφέρονται, διὰ τὸ τὸν υἱὸν καὶ πνεῦμα φῶτα λέγεσθαι τοῦ πατρὸς, ὑπό τε τοῦ ἀποστόλου, καὶ Διονυσίου, καὶ ἀκολούθως ὑπὸ τῶν ἑξῆς διδασκάλων. ἐπεὶ δὲ τὸ πνεῦμα τὸ ἅγιον ὑφίσταται μὲν, ἐν τῷ ἰδίῳ εἶναι προσωπικῶς ἐκ πατρὸς. γνωρίζεται δὲ τοῖς ἀνθρώποις καὶ χορηγεῖται, διὰ τοῦ υἱοῦ. διὰ τοῦτο καὶ τὴν ἐκ πατρὸς αὐτοῦ πρόοδον, καὶ τὴν δι᾽ υἱοῦ χορηγίαν, ἅτε δὴ φωτὸς ὄντος ὑπερφυοῦς, καὶ ζωῆς καὶ ὕδατος, τοῖς ῥήμασιν ἐκείνοις σεμνύνουσιν. ἢ μᾶλλον εἰπεῖν ἐκ τῆς τῶν προχεομένων τούτων ὁμοιότητος, παριστάνειν πειρῶνται τὴν ἄρρητον ἐκείνην τοῦ πνεύματος ἔκχυσιν ἐκ τῆς ἰδίας αἰτίας, καὶ εἰς ἡμᾶς πλημμύραν αὐτοῦ καὶ ἀνέκλειπτον χορηγίαν. ὅθεν αὐταὶ μὲν αἱ λέξεις, ἀφ᾽ ἑαυτῶν οὐ διορίζουσι τοῦ ἀϊδίου τὸ χρονικὸν, οὐ δὲ τῆς ὑπάρξεως τὴν μετάδοσιν ἀποδιϊστῶσιν. ἀλλ᾽ ὡς γενικαί τινες λέξεις, καὶ ἀμφοῖν ἐφαρμόττουσιν. ἀλλ᾽ ἐπιῤῥημάτων προσθήκῃ καὶ λέξεων ἄλλων, διωρισμέ-

νως

τως τὴν ἑτέραν τῶν προόδων λυόντας παρειςάγειν. ὅθεν καὶ ἡμεῖς ἐπειδὰν ἐντύχωμεν ῥητῷ τινος διδασκάλου ταῖς τοιαύταις κοσμουμένῳ μεταφοραῖς, ἐκ τῶν ἄλλων τεκμηρίων ἐκείνων, ἔτι δὲ καὶ τοῦ προκειμένου τῷ διδασκάλῳ σκοποῦ συνορῶμεν, πότερον ἐκεῖ τὸ πεφηνέναι χρονικόν τι σημαίνει, ἢ ἀΐδιον. ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἄλλων. τοῦ μὲν γὰρ ἱερωτάτου Γρηγορίου ἀκούοντες λέγοντος, Πνεῦμα ἐκ Θεοῦ τὴν ὕπαρξιν ἔχον, καὶ δι' υἱοῦ πεφηνὸς τοῖς ἀνθρώποις. τὸ πεφηνέναι, τὸ φανερωθῆναι, καὶ μετασχεθῆναι νοοῦμεν. τοῦ δὲ Κυρίλλου λέγοντος. Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ πατρὸς πεφηνότα δεικνύων ἑαυτὸν ὁ μονογενής. τὸ πεφηνέναι, τὴν ἀΐδιον ἐκείνην γέννησιν φανταζόμεθα. καὶ πάλιν ἐπειδὰν μὲν οὗτος ὁ διδάσκαλος λέγῃ, Πνεῦμα τῇ κτίσει δι' υἱοῦ προχεόμενον, τὴν τοῦ πνεύματος χορηγίαν δίδωσιν ἐννοεῖν. ὁπόταν δὲ λέγῃ, Καὶ προχεῖται μὲν, ἤγουν ἐκπορεύεται καθάπερ ἀπὸ πηγῆς τοῦ Θεοῦ καὶ πατρὸς, χορηγεῖται δὲ τῇ κτίσει δι' υἱοῦ. αὐτὸς ἡμῖν ἐξηγητὴς τῆς ἀϊδίου προόδου τοῦ πνεύματος γίνεται. ἔνιοι δὲ τῶν διδασκάλων, καὶ χαίρουσι τὴν ἀΐδιον τοῦ πνεύματος πρόοδον, ἔκπεμψιν καὶ πρόεσιν ἀποκαλεῖν μᾶλλον, ἢ ἐκπόρευσιν. καὶ ἀϊδίως ἐκπέμπεσθαι, καὶ προϊέναι, καὶ προϊέσθαι, μᾶλλον ἢ ἐκπορεύεσθαι, τοῦ κατὰ τὴν λέξιν ἑλληνισμοῦ πάνυ φροντίζοντες. πλὴν ὅταν ἀνάγκη τις ᾖ ταῖς εὐαγγελικαῖς χρῆσθαι φωναῖς πρὸς τὴν τῆς ἀληθείας ἀπόδειξιν. τότε γὰρ οὐκ αἰδοῦνται τῶν τῆς τέχνης ὑπερορῶντες κανόνων. Τούτοις μὲν οὖν (ὥσπερ εἶπον) ἀδιαφόρως κέχρηνται τοῖς ὀνόμασί τε καὶ ῥήμασιν οἱ ἱεροὶ πατέρες ἡμῶν. ἐκείνοις δὲ τοῖς ῥητοῖς διωρισμένως τὴν ὑπαρκτικὴν σημαίνουσι τοῦ πνεύματος πρόοδον, δι' ἧς τὸ εἶναι προσωπικῶς ἔχει, οἷς ἡ ὕπαρξις καὶ τὸ εἶναι καὶ ὑφεστάναι, κατὰ τὴν αἰτίαν ἐναργῶς σημαίνοντα πρόσεστι. τούτοις γὰρ οὐδ' οἷόν τ' ἐστὶ προσθέντας τὸν τῆς κτίσεως ὅρον, ἐπί τι χρονικὸν ἑλκύσαι τὴν ἔννοιαν. ῥᾴδιον οὖν ἂν ἦν τὰ ῥητὰ τῶν διδασκάλων ἐκείνων, πρὸς τὴν χρονικὴν ἐπισπάσασθαι πρόοδον, ὡς δὴ καθόλου καὶ γενικῷ τινὶ τῷ τοῦ ἐκπορεύεσθαι ῥήματι χρησαμένους. ἐπεὶ μήτε τὸ ἀϊδίως πρόσκειται, μήτε χρονικόν τι συντέτακται. ὡς

Γρηγ. ὁ θεολ.

Κύριλ.

Ὁ αὐτὸς.

Ὁ αὐτὸς.

ἂν πρὸς τὴν ἐκείνου διαβολὴν τὸ ἐκπορεύεσθαι, ἀντὶ τοῦ ὑφίστασθαι νοεῖν ὁ λόγος ἡμᾶς ἀναγκάσῃ. καὶ οὐδὲν ἂν ἦν ἀπεικὸς, συνεπλυγμένην τινὰ τῶν διδασκάλων θεολογίαν τοῦτο νομίζειν, ἐπειδὰν ἐκ πατρὸς δι' υἱοῦ τὸ πνεῦμα λέγωσιν ἐκπορεύεσθαι· ὡς ἐκ μὲν τοῦ πατρὸς ὑφιστάμενόν τε καὶ χορηγούμενον, δι' υἱοῦ δὲ χορηγούμενον μόνον. ὡς ἂν τὸ ἐκπορεύεσθαι τὸ πνεῦμα, πρός τε τὸν πατέρα καὶ πρὸς τὸν υἱὸν ἀναφέροιτο, τὸν οἰκεῖον ἑκατέρῳ τρόπον. τὸν μὲν, ὡς αἴτιον καὶ πηγὴν τῆς θεότητος. τὸν δὲ, ὡς διὰ τὴν ταυτότητα τῆς οὐσίας, χορηγόν τε καὶ πρύτανιν τῶν ἐν πνεύματι πρὸς τὴν κτίσιν καταπεμφθέντων καλῶν ἄνωθεν ἐκ τοῦ τῶν φώτων πατρός.

Ἀλλ' ἵνα μὴ φιλονεικότερον δόξωμεν μετιέναι τοὺς λόγους, ἢ δι' ἔνδειαν ἁπλουστέρων τε καὶ ἀληθινῶν ἐξηγήσεων, ἐπὶ τὰς πολυπλόκους ταύτας καὶ ἀσαφεῖς καταφεύγειν, ὥσπερ οἱ Λατῖνοι ποιοῦσι πρὸς ἡμᾶς. διαιρέσεσί τισιν ἀμαρτύροις καὶ ἀσαφέσι τὴν καινοτομίαν ὑποσκιάζοντες. καὶ πρὸς τούτοις, ἐπειδήπερ οὐ μόνον ἐκπορεύεσθαι λέγεται ἐκ πατρὸς δι' υἱοῦ, ἀλλὰ καὶ ἐκ Θεοῦ δι' υἱοῦ εἶναι. ὃ δὴ φανερῶς οὐ περὶ τῆς προόδου τούτου καθόλου, ἀλλὰ περὶ τῆς ὑπάρξεως νοεῖσθαι δεῖ. οὐ μὴν δ' ἀλλὰ καὶ πολλοῖς ἄλλοις τῶν διδασκάλων ῥητοῖς τοῦτ' αὐτὸ κατάδηλον γίνεται. τὸ ἀϊδίως ἐκ πατρὸς δι' υἱοῦ προϊέναι τὸ πνεῦμα. οἷς καὶ καθάπερ ἐξηγητικοῖς τοῦ δι' υἱοῦ χρῆσθαι δυνάμεθα, καὶ χρησόμεθα. γένοιτο γὰρ ἂν οὐδεὶς ἐξηγητὴς, ὧν οἱ διδάσκαλοι λέγουσιν, ἀξιοχρεώτερος αὐτῶν τῶν εἰπόντων, συγχωροῦμεν ἀϊδίως ἐκ πατρὸς δι' υἱοῦ προϊέναι καὶ εἶναι τὸ πνεῦμα· κἂν μὴ τὸ ἀϊδίως προσκείσεται. καὶ λίαν ἀληθὲς τοῦτ' εἶναι ἰσχυριζόμεθα. καὶ δεῖ φαμὲν τὴν ἐκ πατρὸς τοῦ πνεύματος πρόοδον, διὰ τοῦ υἱοῦ λέγειν καὶ ἀνυμνεῖν. καὶ οὕτω νοεῖν ταύτην, ὡς οὕτω καὶ οὖσαν. ἀλλ' οὐ διὰ τοῦτο καὶ τὸν υἱὸν τοῦ πνεύματος νομίζομεν αἴτιον. οὐδ' ὅσα ἐντεῦθεν πλέκοντες συμπεραίνουσιν οἱ διὰ ταῦτα Λατίνοις εὐκόλως προστεθειμένοι. Ἀλλ' ὅτι μὲν καθάπαξ ἀδύνατον ἐπὶ τοὺς ἱεροὺς διδασκάλους αἴτιον τὸν υἱὸν πεπιστευκέναι τοῦ πνεύματος, εἰ καὶ ἐκ τοῦ πατρὸς διὰ τοῦ υἱοῦ προϊέναι τοῦτο ἀϊδίως ἐφρόνουν, ταῖς αὐτῶν τῶν διδασκάλων ῥήσεσι μετὰ ταῦτα δειχθήσεται διαῤῥήδην τοῦτο λεγόντων. νῦν δὲ πρό-

τερον

πρότερον τί ποτ' ἐβούλοντο νοεῖν ἐν τῷ διὰ υἱοῦ, πειρατέον εὑρεῖν. καὶ τοὺς ἄλλην τινὰ διάνοιαν ἐκείνοις προσάπτοντας παρὰ τὴν ἀληθῆ καὶ γνησίαν, ἐξελεκτέον.

ΚΕΦΑΛΑΙΟΝ κζ.

Ὅτι οἱ διδάσκαλοι ἐκ πατρὸς διὰ υἱοῦ λέγοντες ἐκπορεύεσθαι τὸ πνεῦμα, τὴν εὐαγγελικὴν πρότασιν ἀναπτύσσουσι. καὶ ὅτι τὴν κατ' οὐσίαν συνάφειαν τῶν θείων προσώπων καὶ τὴν τάξιν αὐτῶν, διὰ τῆς ἀναπτύσεως ταύτης παριστῶσι, καὶ τὴν τῶν προόδων διαφοράν.

Τὴν ἐκ τῆς πρώτης τοίνυν αἰτίας τοῦ πνεύματος πρόοδον, ἐνίοτε μὲν συνεπτυγμένως οἱ ἱεροὶ διδάσκαλοι παριστῶσιν, ἀρκούμενοι τῇ λέξει τῆς τοῦ Σωτῆρος θεολογίας, λέγοντος, ἐκ τοῦ πατρὸς τοῦτ' ἐκπορεύεσθαι. καὶ μάλιστα ἐπειδὰν συνημμένως καὶ τῆς τοῦ υἱοῦ γεννήσεως μνημονεύωσι. τουτέστιν, ὁπόταν λέγωσιν, ὅτι ἐκ τοῦ πατρὸς ὁ υἱὸς γεννᾶται, καὶ τὸ πνεῦμα τὸ ἅγιον ἐκπορεύεται. ὥσπερ ποιοῦσι καὶ ἐπειδὰν τὴν τοῦ πνεύματος φανέρωσιν διὰ υἱοῦ γενομένην προστιθῶσι τῷ λόγῳ. λέγοντες, ἐκ πατρὸς μὲν ἐκπορεύεσθαι, διὰ υἱοῦ δὲ χορηγεῖσθαι τῇ κτίσει. οὐδὲ γὰρ οἴονται τότε χρείαν εἶναι τῆς ἀναπτύξεως, τῶν θείων προσώπων ἁπάντων ἐμπεριεχομένων τῷ λόγῳ. ἀλλ' ὅταν κεχωρισμένως εἰς τὸν περὶ τοῦ πνεύματος ἀφίκωνται λόγον, τότε τὸν εὐαγγελικὸν ἐκεῖνον ἀναπτύσσοντες νοῦν, διὰ υἱοῦ τοῦτο φασὶν ἐκ τοῦ πατρὸς ἐκπορεύεσθαι. ὁ γὰρ δεσπότης ἡμῶν Ἰησοῦς Χριστὸς, ἐκεῖθεν ἐκπορεύεσθαι εἶπε τὸ πνεῦμα, ὅθεν αὐτὸς γεγέννηται. καὶ τοῦτο ἐστὶ, τὸ παρὰ τοῦ πατρὸς ἐκπορεύεσθαι. τοῦτο γοῦν κἀκεῖνοι δηλοῦντες, ἐκ τοῦ πατρὸς διὰ τοῦ υἱοῦ τοῦτ' ἐκπορεύεσθαι λέγουσι. τουτέστιν ἐξ ἐκείνου τοῦ προσώπου, κἀκείνης τῆς ὑποστάσεως, ἐξ ἧς ὁ υἱὸς γεννητῶς τὸ εἶναι λαμβάνει, καὶ αὐτὸ προοδικῶς τὸ πνεῦμα ὑφίστασθαι.

καὶ

καὶ οὕτω τὰς δύο προόδους συνημμένως νοοῦσιν, ὥσπερ ἀλλήλαις συμπεπλεγμένας. χωρίζουσι δ' αὖθις, ἐν τῷ διὰ υἱοῦ μὲν τὸ πνεῦμα προϊέναι λέγειν, οὐκ ἔτι δὲ καὶ τὸν υἱὸν διὰ πνεύματος. καὶ αὐτὸ δὲ τὸ διὰ υἱοῦ λέγειν, οὐ μᾶλλον ἑνούντων ἐστὶν, ἢ χωριζόντων. ἡ γὰρ πρόθεσις αὕτη, καὶ διαιρεῖ τὰς προόδους, ὡς δὲ καὶ τὰ προϊόντα, καὶ συνάπτει πάλιν, ἢ ἂν αὐτὰ συνάπτεσθαι δέοι, τουτέστι κατὰ τὴν φύσιν. καὶ καθάπερ ὁ δε-
Ἰωάν. ιδ. „ σπότης ἡμῶν, ἐγὼ λέγων ἐν τῷ πατρὶ, καὶ ὁ πατὴρ ἐν ἐμοί. καὶ ἐγὼ
Ἰωάν. ι. „ καὶ ὁ πατὴρ ἕν ἐσμεν, ἑνοῖ τε ἑαυτῷ τὸν πατέρα κατὰ τὴν φύσιν, καὶ διαιρεῖ πάλιν ταῖς ἀντωνυμίαις ἐκείναις, καὶ τοῖς ὀνόμασιν. οὕτω καὶ οἱ διδάσκαλοι διὰ τοῦ υἱοῦ τὸ πνεῦμα ἐκ τοῦ πατρὸς ἐκπορεύεσθαι λέγοντες, καὶ συνάπτουσι τῷ υἱῷ τὸ πνεῦμα. (οὐ γὰρ διήρηται λοιπὸν τοῦ υἱοῦ, τὸ διὰ αὐτοῦ προϊέναι λεγόμενόν τε καὶ πιστευόμενον.) καὶ διαιροῦσι πάλιν αὐτοῦ. οὐ γὰρ οἷον τ' ἓν εἶναι καθάπαξ, ἐν οἷς θάτερον τοῦ λοιποῦ προεπινοεῖται. διὰ οὗ δέ τι πρόεισι, προεπινοεῖται δήπου τοῦ διὰ αὐτοῦ προϊόντος. καὶ οὕτω καθάπερ ἐν τῇ πρώτῃ τῶν ὄντων δημιουργίᾳ, καὶ τῇ τῆς ἡμετέρας φύσεως ἀναπλάσει, ἐν ἑνί τῆς θεότητος ἔργῳ τὰς ὑπερουσίους ὑποστάσεις ἐκείνας πάσας εἱρμῷ τινι θαυμασίῳ συμπλέκουσιν, ἐκ πατρὸς διὰ υἱοῦ ἐν πνεύματι, ταῦτα γεγονέναι λέγοντες. οὕτω κἂν τῇ τοῦ πνεύματος προόδῳ, τὸν υἱὸν οὐκ ἀποσχοινίζουσιν. ἀλλὰ καίτοι προσεχῶς τοῦτο νοοῦντες ἐκ τοῦ πατρὸς ὑφεστάναι, καὶ καρπὸν εἶναι τῆς ἐν τῷ πατρὶ γονιμότητος, ὥσπερ καὶ τὸν υἱὸν, καὶ συνεπινοοῦσιν αὐτῷ τὸν υἱόν. οὐ γὰρ δύναται χωρίζειν τὰ συμφυᾶ, καὶ τὰ ἐκ τῆς αὐτῆς αἰτίας ἀνίσχοντά τε καὶ συνανίσχοντα. καὶ προεπινοοῦσιν αὐτοῦ τὸν υἱόν. προεπινοοῦντες μὲν ἁπλῶς θατέρου θάτερον· ἵνα δηλῶσι προσωπικῶς τὰ κατὰ φύσιν ἓν ὄντα. εἰ γὰρ μὴ θατέρου θάτερον προεπινοηθείη κατὰ τὴν ὑπόστασιν, μία ἐν αὐτοῖς ὑπόστασις ἔσται, ὥσπερ καὶ φύσις· προεπινοοῦντες δὲ τὸν υἱὸν τοῦ πνεύματος· καὶ οὐ τὸ ἀνάπαλιν, ἵνα μήτε τὴν τῶν ὀνομάτων τάξιν ἀνέλωσι, καὶ τὴν θαυμασίαν ἐκείνην σειρὰν, ἣν ὁ θεῖος ἔπλεξε λόγος. μήτε τὰς τῶν θείων ὀνομάτων ἐμφάσεις συγχέωσιν. ἀλλ' ἐπὶ μὲν τῶν πρὸς τὴν κτίσιν εὐεργεσιῶν τὸ κοινὸν τῆς Τριάδος ἔργον, ταῖς θείαις

ὑπο-

ὑποστάσεσι συνδιαιρέμεται, οἰκείως ἣν πρὸς ἑαυτὰς ἔχουσι τάξει. οὐ γὰρ
πρὸς τὴν δημιουργικὴν ἐνέργειαν ἢ τὴν προθέσεων ἐκείνων διαφορά.
ἀλλὰ πρὸς τὴν τάξιν ἣν καθ' ἑαυτὰς αἱ ὑποστάσεις ἔχουσιν ἀφορίζεται.
ἐνταῦθα δὲ τὰς μὲν θείας ὑποστάσεις ὁ λόγος συμπλέκει, τῇ κατ' οὐσίαν
ἐκείνων ἑνότητι, καθόσον ἔξεστιν αὐτῶν παρακολουθῶν. τὸ μέντοιγε ἔργον,
οὐ πάσης κατηγορεῖ τῆς θεότητος, ἀλλὰ τῆς πρώτης μόνης αἰτίας. διὸ
ἐκεῖ μὲν ἐκ πατρὸς διὰ υἱοῦ ἐν πνεύματι, ἓν γίνεται ἔργον. ἐν ᾧ ἡ Τριὰς ὡς
εἷς ἐνεργῶν, ἐνεργεῖ. τοῦ δὲ πνεύματος ἐκ πατρὸς διὰ υἱοῦ προϊόντος, ἓν
γίνεται ἔργον. ἐν ᾧ μόνος ἐνεργῶν, τουτέστιν ἐκ τῆς ἰδίας προάγων φύσεως
ἑτέραν ὑπόστασιν, καὶ ὑφιστῶν αὐτὴν τῷ νόμῳ τῶν προαγόντων, ἐστὶν ὁ
πατήρ. καὶ ὑφίστησι μὲν ὁ πατὴρ τὸν υἱόν. ὑφίσταται δὲ ἐκ πατρὸς καὶ τὸ
πνεῦμα, ὁ δὲ υἱὸς συνεπινοεῖται. οὔτε γὰρ τοῦ πατρὸς ὑφιστάντος, οὔτε τοῦ
πνεύματος ὑφισταμένου κεχώρισται. εἰ καὶ μὴ τῷ πατρὶ συνυφίστησιν, ἀλλὰ
τῷ πνεύματι συνυφίσταται. πλὴν ἕτερόν τινα τρόπον. συνεπινοεῖται δὲ
οὔτε πρότερος τῆς ἰδίας αἰτίας, πῶς γὰρ ἂν προεπινοηθείη τῆς ἰδίας αἰ-
τίας; οὔτε τοῦ πνεύματος ὕστερος, πῶς γὰρ ἂν χωρίζοιτο; τῇ ἐπινοίᾳ γοῦν
τοῦ γεγεννηκότος, ἐπινοεῖται μὲν γὰρ μετ' ἐκεῖνον, ὡς δὴ ἐξ ἐκείνου γεγεν-
νημένος. οὐδὲν δὲ παραδέχεται μέσον, διὰ τὸ μονογενὴς εἶναι. ἄλλως
δὲ οὐδὲν ἂν ἐλυμήνατο τὴν ἀλήθειαν, εἴ τις ἐν μὲν τῇ προόδῳ τοῦ πνεύ-
ματος, μετὰ τὸ πνεῦμα τὸν υἱὸν συνεπινοεῖ. ἐν δὲ τῇ τοῦ υἱοῦ γεννήσει,
τὸ πνεῦμα μετὰ τὸν υἱόν. ὡς γὰρ ἡ προεπίνοια τοῦ υἱοῦ, ἤγουν ἡ μεσι-
τεία τῆς φυσικῆς πρὸς τὸν πατέρα σχέσεως, οὐκ ἀπείργει τὸ πνεῦμα,
ἀλλ' οὐδὲν ἧττον ἐκ τοῦ πατρὸς ὑφέστηκε προσεχῶς, εἰ καὶ ὁ υἱὸς αὐτοῦ προ-
επινοεῖται· οὕτως οὐδὲ τὸν υἱὸν ἂν τῆς πρὸς τὸν πατέρα φυσικῆς διέστησε
σχέσεως, τὸ πνεῦμα τοῦ υἱοῦ προεπινοούμενον. Καρποὶ γὰρ εἰσὶν ἄμφω τῆς „Γρηγ. θεολ
ἐν τῷ Θεῷ γονιμότητος, προσεχεῖς ἐκείνῳ καὶ κατὰ φύσιν καὶ κατ' αἰτίαν ὁ- „
μοίως, ὡς δίδυμός τις ἀκτίς. ἢ ὡς ποταμοί τινες δύο, τῆς αὐτῆς πηγῆς „
ἀποβλύζοντες, ὁ μέγας εἶπε Γρηγόριος. ἀλλ' ἡ μὲν τοῦ πνεύματος μεσι- „
τεία, συνέχεεν ἂν τὸ μονογενὲς τῷ υἱῷ. ἅτε καὶ τοῦ πνεύματος εἰς τὴν τοῦ
υἱοῦ τάξιν μεθισταμένου, τῷ προσεχῶς ἐκ τοῦ πατρὸς νοεῖσθαι προεληλυθός,

τουτέστιν ὡς ἐκ πατρὸς τε καὶ γεννητῶς. ὅτι δὲ τοῦ υἱοῦ μεσιτεία, καὶ ἑαυτῷ διαφυλάττει τὸ μονογενές, καὶ τὸ πνεῦμα τῆς φυσικῆς πρὸς τὸν πατέρα σχέσεως οὐκ ἀπείργει. διὰ ταῦτ' ἄρα καὶ πνεῦμα μὲν υἱοῦ λέγεται χωρὶς προσθήκης τινός, καὶ πνεῦμα πατρός· οὔτε γὰρ πνεῦμα λέγεται πατρὸς διὰ υἱοῦ· οὔτε πνεῦμα υἱοῦ ἐκ πατρός· ἐπεὶ γὰρ τὰ τοιαῦτα τὴν φυσικὴν συγγένειαν δηλοῖ τῆς θεότητος, ἐπίσης οὖσαν τῷ πνεύματι πρός τε τὸν πατέρα καὶ τὸν υἱόν, οὐκ ἂν εἴη προσθήκῃ τινὶ διαιρεῖν. ἀλλ' ἐπειδὰν ἐκ τοῦ πατρὸς λέγηται, καὶ ὁ λόγος τὴν πρόοδον τοῦ πνεύματος παριστάνῃ τὴν ἐκ τῆς πρώτης αἰτίας, ἐκ τοῦ πατρὸς λέγεται διὰ υἱοῦ. ἵνα μὴ πιστευθῇ τὸ πνεῦμα γεννᾶσθαι ἐκ τοῦ πατρός, ἀλλὰ τῷ ὀνόματι τοῦ υἱοῦ τῆς γεννήσεως ἐπινοηθείσης, καθ' ἣν μονογενῶς ἐστὶν ἐκ τοῦ πατρὸς ὁ υἱός. καὶ τὸ πνεῦμα λοιπὸν ἕτερόν τινα τρόπον προόδου προελθεῖν ἐκ τοῦ πατρὸς νοηθῇ. καθ' ὃν δὴ τρόπον καὶ προβολεὺς καλεῖτ' ἂν εἰδικώτερον, ἢ πατήρ, ὁ Θεὸς καὶ πατήρ. ἐντεῦθεν ἐκ πατρὸς τὸ πνεῦμα λέγοντες ἐκπορεύεσθαι κατὰ τὴν τοῦ Σωτῆρος φωνὴν οἱ τῆς Ἐκκλησίας διδάσκαλοι, καὶ τὸ διὰ υἱοῦ προστιθέασιν. ἀνάπτυξιν ποιοῦντες μάλα ἐπαινετήν. εἴγε μικρᾷ προσθήκῃ ταύτῃ, καὶ τὴν ἑνότητα τῆς θείας οὐσίας, καὶ τὴν διαφορὰν τῶν προόδων, καὶ τὴν ἀπ' αὐτῆς ἀνισχοῦσαν τάξιν, ἐν τοῖς αἰτιατοῖς προσώποις ἐκφαίνουσιν. ὅτι δὲ ταῦθ' οὕτως ἔχει, μάρτυς ἡμῖν ὁ Νύσσης Γρηγόριος ἕστηκεν ἀξιόχρεως· αὐτὸς γὰρ ἐξηγητὴς ἡμῖν σαφέστατος γίνεται τῶν ῥήσεων ἐκείνων, ἐν οἷς ἐκπορεύεσθαι τὸ πνεῦμα ἐκ πατρὸς λέγεται διὰ υἱοῦ.

ΚΕΦΑΛΑΙΟΝ κη.

Ἐπιστασία εἰς τὰ τοῦ Νύσσης ῥητά, ἐφ' οἷς μάλιστα θαρροῦσι Λατῖνοι, δεικνῦσα, ὅτι ταῦτα τῇ προεκτεθημένῃ μᾶλλον ἐννοίᾳ συναγωνίζονται.

Ἐν γὰρ τῷ πρὸς Ἀβλάβιον λόγῳ προθέμενος περὶ τῆς κατὰ φύσιν ἑνότητος ἐν τρισὶ προσώποις τοῦ Θεοῦ πραγματεύσασθαι,

καὶ δεῖξαι ὅπως οὔτε διὰ τὴν ἑνότητα τῆς θείας οὐσίας, οἱ τῶν ὑποστάσεων συγχέονταί τε καὶ ἀναμίγνυνται λόγοι. οὔτε τῷ πλήθει τῶν ὑποστάσεων, ἡ θεία συγκαταμερίζεται φύσις. καὶ ταῦτα δείξας πάνυ καλῶς, ἐν τῷ τοῦ λόγου τέλει τὴν πρόθεσιν ἐπεξεργαζόμενος, οὕτω φησίν. Εἰ δέ τις συκοφαντείη τὸν λόγον, ὡς ἐκ τοῦ μὴ δέχεσθαι τὴν κατὰ φύ- » Γρηγ.
σιν διαφορὰν, μίξιν τινὰ τῶν ὑποστάσεων καὶ ἀνακύκλησιν κατασκευά- » ὁ Νύσ.
ζοντα, τούτῳ περὶ τῆς τοιαύτης ἀπολογησώμεθα μέμψεως. ὅτι τὸ ἀ- »
παράλλακτον τῆς φύσεως ὁμολογοῦντες, τὴν κατὰ τὸ αἴτιον καὶ αἰτιατὸν »
διαφορὰν οὐκ ἀρνούμεθα, ἐν ᾧ μόνῳ διακρίνεσθαι τὸ ἕτερον τοῦ ἑτέρου κα- »
ταλαμβάνομεν. τῷ τὸ μὲν αἴτιον πιστεύειν εἶναι, τὸ δὲ ἐκ τοῦ αἰτίου. καὶ »
τοῦ ἐξ αἰτίας ὄντος πάλιν ἄλλην διαφορὰν ἐννοοῦμεν. τὸ μὲν γὰρ προσε- »
χῶς ἐκ τοῦ πρώτου. ὥστε καὶ τὸ μονογενὲς, ἀναμφίβολον ἐπὶ τοῦ υἱοῦ μένειν. »
καὶ τὸ ἐκ τοῦ πατρὸς εἶναι τὸ πνεῦμα, μὴ ἀμφιβάλλειν, τῆς τοῦ υἱοῦ μεσι- »
τείας καὶ ἑαυτῷ τὸ μονογενὲς φυλαττούσης, καὶ τὸ πνεῦμα τῆς φυσικῆς πρὸς »
τὸν πατέρα σχέσεως μὴ ἀπειργούσης. εἶτα ἐπάγει συμπεραίνων. Ἐπει- »
δὴ τοίνυν τὰς μὲν ὑποστάσεις ἐπὶ τῆς ἁγίας Τριάδος ὁ τοῦ αἰτίου διακρί- »
νεται λόγος. τὸ μὲν ἀναιτίως εἶναι. τὸ δὲ ἐκ τοῦ αἰτίου πρεσβεύων. ἡ δὲ »
θεία φύσις, ἀπαράλλακτός τε καὶ ἀδιαίρετος διὰ πάσης ἐννοίας κατα- »
λαμβάνεται. διὰ τοῦτο κυρίως μία θεότης, καὶ εἷς Θεὸς, καὶ τ' ἄλλα »
πάντα τῶν θεοπρεπῶν ὀνομάτων, θεοπρεπῶς ἐξαγγέλλεται. Οὗτος τοί- »
νυν ὁ μέγας διδάσκαλος τῆς τῶν θείων προσώπων διακρίσεως, τὴν κυριωτάτην καὶ μόνην αἰτίαν εὑρών τε ἐκ τῶν θείων καὶ ἱερῶν λογίων, καὶ ἡμῖν πάνυ συντόμως ἀποδιδοὺς, οὐδὲ μίαν ἑτέραν εἶναι φησὶν, ἢ τὸν τοῦ αἰτίου λόγον. καὶ τούτῳ τῷ λόγῳ μόνῳ τὰ θεῖα διακρίνεσθαι πρόσωπα φησί· καὶ ἐκ τοῦ λόγου τούτου τὰς ὑποστάσεις χαρακτηρίζεσθαι, διαφόρως μετεχούσας αὐτοῦ. ἄνωθεν γὰρ ἐκ τοῦ πατρὸς ἠργμένος, καὶ διὰ τοῦ υἱοῦ ἐπὶ τὸ πνεῦμα περάνας, τὰ μετασχόντα διαφόρως αὐτοῦ, διάφορα πεποίηκεν εἶναι καὶ διακεκριμένα. λόγον γὰρ αἰτίου, οὔτοι γε τὸν τῆς αἰτίας μόνης λόγον φησίν. οὕτω γὰρ οὐκ ἂν τὰ θεῖα πρόσωπα διεκρίνετο τῷ τοῦ αἰτίου λόγῳ. ἀλλὰ μᾶλλον ἅπαντα ἓν ἂν ἦσαν, διὰ πάντων ὁ-

μοίως τοῦ τῆς αἰτίας λόγου διήκοντος. καὶ πάντων αἰτίων ὄντων. ἀλλ᾽ οὐδὲ λόγον αἰτίου, μόνον τὸν τῆς αἰτίας καὶ τοῦ ἐξ αἰτίας εἶναι λόγον καλεῖ, ὡς ἂν τὰ θεῖα πρόσωπα τῷ αἰτίῳ μόνῳ καὶ τῷ αἰτιατῷ διακεκρίσθαι πιστεύηται. καὶ ταύτην μόνην τὴν διάκρισιν διὰ πάντων ὁμοίως τῶν προσώπων διήκειν, ἀφ᾽ ἑκάστου πρὸς ἕκαστον. οὕτω γὰρ ἔνιοι τὸ ῥητὸν ἐκεῖνο ἐνόησαν. καὶ διὰ τοῦτο τὸν μὲν υἱὸν, αἰτιατὸν τοῦ πατρὸς. τὸ δὲ πνεῦμα, αἰτιατὸν τοῦ πατρὸς καὶ τοῦ υἱοῦ πεπιστεύκασιν εἶναι. τῷ υἱῷ καθάπερ μέσῳ τινὶ, καὶ ἀμφοτέρας ἀποδόντες τὰς σχέσεις. ἀλλὰ λόγον αἰτίου φησὶ, τὴν ὁλοσχερῆ τῆς αἰτίας ἔννοιαν, τῷ ἀπαραλλάκτῳ τῆς φύσεως καὶ ἐνιαίῳ συνεισερχομένην, ἀναγκαίως καὶ τὴν διάκρισιν εὐθὺς συνεισφέρουσαν. ὡς ἂν τις εἴποι λόγον τῆς φύσεως καθόλου, τὴν ὁλοσχερῆ τῆς φύσεως ἔννοιαν ἀποδιαιρῶν πρὸς τὸν λόγον τῆς σχέσεως, ἢ τῆς τάξεως. ὡς καὶ αὐτὸς τοῦτο δείκνυσιν ὁ διδάσκαλος, ἐν τῷ τέλει τοῦ πρώτου τῶν πρὸς Εὐνόμιον ἀντιρρητικῶν, κἀν αὐτῷ τῷ πρὸς Ἀφλάβιον λόγῳ, οὑτωσὶ λέγων. Οὐ γὰρ τὸν αὐτὸν ἄν τις αἰτίας καὶ φύσεως λόγον ἀποδοίη.

Ὁ αὐτός. „Τῷ μὲν οἷον τῆς φύσεως λόγῳ, ἕνα τὸν Θεὸν εἶναι καὶ ἀδιάκριτον ὁ διδάσκαλος λέγει. τῷ δὲ τῆς αἰτίας λόγῳ, τὴν διαφορὰν ἔχειν. πολυσχεδῶς τοῖς θείοις ἐνθεωρουμένην πράγμασιν. οἷον εὐθὺς ὁ τῆς αἰτίας λόγος, γνωρίζει μὲν τὴν ὑπόστασιν τοῦ πατρὸς διχῶς. ὅτι τε ἀναιτίως ἐστὶν, ὡς αὐτός φησιν ὁ διδάσκαλος, καὶ ὅτι τῶν ἄλλων αἴτιος ἐστίν. ὅτι μὲν γὰρ οὐκ ἂν οἷόν τ᾽ ἦν ἄγονον τὸ θεῖον εἶναι, αἴτιος ἐστὶ φυσικῶς ὁ Θεός. ὅτι δὲ πάντῃ πάντων ἐστὶν αἰτία, καὶ ἀναίτιος ἐστὶν ἐξ ἀνάγκης· οὐκοῦν ἐν τῷ Θεῷ διὰ τοῦτο, τὸ μὲν αἴτιον πιστεύομεν εἶναι. τοῦτο δὲ ἐστὶν ὁ πατήρ· καὶ οὐκ αἴτιον μόνον, ἀλλὰ καὶ ἀναίτιον. τὸ δὲ ἐκ τοῦ αἰτίου πιστεύομεν εἶναι. εἷς μὲν δὴ τρόπος ἡμῖν διακρίσεως οὗτος ἐκ τοῦ τῆς αἰτίας ἀνίσχει λόγου. εἰ δὲ βούλει, καὶ οὗτος διπλοῦς. ὅτι τὸ αἴτιον ἡμῖν καὶ ἀναίτιον ἀναπέφηνε. τὸ δὲ αἰτιατὸν, οὐκ ἀναίτιον. εἶτα καὶ δεύτερος ἡμῖν συναναφαίνεται διακρίσεως τρόπος, ἐκ τοῦ τῆς αἰτίας λόγου. ᾧ δὴ τὸ αἰτιατὸν αὐτὸ διακρίνεται. τουτέστι τὰ μετασχόντα τοῦ λόγου τῆς αἰτίας παθητικῶς. τοῦ γὰρ ἐξ αἰτίας ὄντος φησὶ, πάλιν ἄλλην διαφορὰν ἐννοοῦμεν.

οὐ

οὐ τὴν προτέραν ἐκείνην δηλονότι, τὴν κατὰ τὸ αἴτιον καὶ αἰτιατὸν, ἀλλὰ τὴν κατὰ τὸ διαφόρως αἰτιατόν. εἰ γὰρ καὶ ἄμφω ταῦτα, οἷς τὸ ἐξ αἰτίας εἶναι κοινῶς πρόσεστιν ἐκ τοῦ πρώτου εἰσὶ, καὶ αἰτιατά εἰσιν ἐκείνου, ἀλλὰ διαφόρως εἰσὶν ἐκ τοῦ πρώτου. τὸ μὲν γὰρ προσεχῶς ἐστὶν ἐξ αὐτοῦ. τὸ δὲ διὰ τοῦ προσεχῶς, ἐξ αὐτοῦ. τὸ μὲν γὰρ ἐκ τοῦ πατρὸς, τρόπῳ γεννήσεως πρόεισιν, ὥστε καὶ προσεχῶς. προσεχὲς γὰρ ἐστὶ τῷ γεννῶντι δήπου τὸ γέννημα· τὸ δὲ ἕτερον τινα τρόπον πρόεισιν ἐκ τοῦ πατρὸς. οὐ κατὰ τὸν τῷ γεννῶντι πρέποντα τρόπον. ὥστε προεπινοουμένης ἐκ τοῦ πατρὸς τῆς τοῦ υἱοῦ γεννήσεως, καὶ τῆς τοῦ πατρὸς σημασίας εἰς τὸν υἱὸν ἀναφορικῶς ἀποδιδομένης, καὶ τὸ πνεῦμα νοεῖσθαι λοιπὸν ἐξ ἐκείνης δὴ προϊὸν τῆς πατρικῆς ὑποστάσεως. τοῦτο γὰρ ἐδήλωσε τὴν αἰτίαν προσθεὶς τῆς δευτέρας ταύτης διαφορᾶς. τοῦτο γὰρ φησὶ, διὰ τοῦθ' οὕτως ἔχει. ἵνα καὶ τὸ μονογενὲς ἀναμφίβολον ἐπὶ τοῦ υἱοῦ μένῃ, μὴ καὶ τοῦ πνεύματος περὶ τὴν τοῦ υἱοῦ τάξιν μεθισταμένου. διὰ τὸ προσεχῶς νοηθῆναι ἂν καὶ αὐτὸ ἐκ τοῦ πατρὸς. καὶ τὸ ἐκ τοῦ πατρὸς εἶναι τὸ πνεῦμα, μὴ ἀμφιβάλληται· διὰ τοῦτο γὰρ εἶπον, καὶ ἄμφω ἐκ τοῦ πρώτου εἶναι, εἰ καὶ θάτερον μὲν προσεχῶς. θάτερον δὲ, διὰ τοῦ προσεχῶς. ἡ γὰρ τοῦ υἱοῦ μεσιτεία κατὰ τὴν προεπίνοιαν οὖσα, εἰ καὶ τῷ υἱῷ φυλάττει τὸ μονογενὲς, ἀλλὰ τὸ πνεῦμα τῆς φυσικῆς πρὸς τὸν πατέρα σχέσεως οὐκ ἀπείργει. φυσικὴν δὲ σχέσιν καλεῖ τοῦτ' αὐτὸ, τὸ ἐκ τοῦ πατρὸς εἶναι, καὶ προάγεσθαι φυσικῶς· καὶ ὡς ἄν τις εἴποι σαφέστερον, τὴν ἐν τῇ ἑνότητι διάκεισιν, καὶ τὴν ἀναφορὰν τῶν θείων τούτων προσώπων, οὐ τὴν ἑνότητα μόνην ὥς τινες ᾤοντο. Δῆλον οὖν ἐκ ταύτης τῆς ῥήσεως, ὡς ὁ μέγας οὗτος διδάσκαλος, δι' υἱοῦ τὸ πνεῦμα ἐκ τοῦ πατρὸς εἶναι ἐπίστευεν, οὐκ ἄλλως, ἀλλ' ἢ διὰ τοῦ προσεχῶς. καὶ ἵνα τῷ υἱῷ τὸ μονογενὲς φυλάξῃ. ἐπεὶ τὸ ἐκ τοῦ πατρὸς εἶναι τὸ πνεῦμα, καὶ οὕτως ἤδει φυλαχθησόμενον. οὐ διὰ τὸ μὴ δύνασθαι τὸ πνεῦμα προϊέναι ἐκ τοῦ πατρὸς, μὴ τῆς ἐν τῷ πατρὶ γονιμότητος καὶ τῷ υἱῷ κοινοποιηθείσης, ὡς οἱ Λατῖνοι φρονοῦσι. καὶ ὅτι προτετάχθαι τὸν υἱὸν τοῦ πνεύματος, καὶ οὗτος φρονεῖ οὐ κατὰ τὴν αἰτίαν, ἀλλὰ κατὰ τὴν προεπίνοιαν. ἥτις αὖθις ἐκ τοῦ αἰπατικοῦ συνέπεται λόγου. τοῦτο δὲ κἂν τῷ τέλει τοῦ πρώτου τῶν πρὸς

Ὁ αὐτός.

» Εὐνόμιον δείκνυσι. φησὶ γὰρ ἐκεῖ. Εἰ μὲν τινα χρονικὴν ἔμφασιν ὑπεπίθη τῆς τοῦ μονογενοῦς ὑποστάσεως, ὁ τὸν πατέρα τοῦ υἱοῦ μόνῳ τῷ τῆς αἰτίας λόγῳ προθεωρῶν, εἰκότως ἂν ὁ τῆς ἀϊδιότητος ἡμῖν περὶ υἱοῦ λόγος ἐκινδυνεύετο. εἶτα ἐπήγαγεν. ὁ δ' αὐτὸς ἡμῖν καὶ περὶ τοῦ ἁγίου πνεύματος λόγος, ἐν μόνῃ τῇ τάξει τὴν διαφορὰν ἔχων. ὡς γὰρ συνάπτεται τῷ πατρὶ ὁ υἱός, καὶ ἐξ αὐτοῦ τὸ εἶναι ἔχων, οὐχ ὑστερίζει κατὰ τὴν ὕπαρξιν. οὕτω πάλιν καὶ τοῦ μονογενοῦς ἔχεται τὸ πνεῦμα τὸ ἅγιον, ἐπινοίᾳ μόνῃ κατὰ τὸν τῆς αἰτίας λόγον προθεωρουμένου τῆς τοῦ πνεύματος ὑποστάσεως. ὥστε τοῦ λόγου τῆς αἰτίας ὑπεξῃρημένου, ἐν μηδενὶ τὴν ἁγίαν Τριάδα πρὸς ἑαυτὴν ἀσυμφώνως ἔχειν. Ἰδοὺ κἀνταῦθα τοῦ υἱοῦ τὸν πατέρα μόνῳ τῷ τῆς αἰτίας λόγῳ προθεωρεῖσθαι, τουτέστι προεπινοεῖσθαι φησί. τὸν δ' αὐτὸν εἶναι καὶ περὶ τοῦ πνεύματος λόγον. τουτέστι καὶ αὐτοῦ τοῦ πνεύματος, τὸν πατέρα μόνῳ τῷ τῆς αἰτίας λόγῳ προθεωρεῖσθαι, εἶναι δὲ μόνον τὴν διαφορὰν ἐν τῇ τάξει. ὅτι τοῦ μὲν υἱοῦ προσεχῶς προεπινοεῖται. τοῦ δὲ πνεύματος, οὐ προσεχῶς. ἀλλὰ τῆς τοῦ υἱοῦ μεσιτευούσης ἐννοίας. διὸ καὶ ἐχόμενον τοῦ υἱοῦ τὸ πνεῦμα νοεῖται. προεπινοεῖται δὲ καὶ τοῦ πνεύματος ὁ υἱός, κατὰ τὸν τῆς αἰτίας λόγον εἰκότως, καὶ οὐδένα ἕτερον τρόπον. τὸ γὰρ μονογενῶς αὐτὸν ἐκ τῆς κοινῆς αἰτίας ὑφίστασθαι, οὐδὲν λοιπὸν ἀφίησιν αὐτοῦ τε μεταξὺ καὶ τοῦ πατρὸς ἐπινοηθῆναι, ὅπερ ἂν τοῦ υἱοῦ προεπινοούμενον, ὡς μεταξὺ νοούμενον εἴη. ἀλλὰ τὸ πνεῦμα τὸ ἅγιον ἐκ τῆς κοινῆς ὑφιστάμενον αἰτίας ἀδιαστάτως τῷ γε λόγῳ τῆς φύσεως· ὅμως ἑαυτοῦ μεταξὺ καὶ τοῦ πατρός, ἔχει τὸν ἐκ τοῦ πατρὸς προσεχῶς προϊόντα λόγον τε καὶ υἱόν. ὧν οἱ τῶν ὀνομάτων λόγοι οὐδὲν μέσην προσίενται. καὶ διὰ τοῦτ' ἔχει προεπινοούμενον ἑαυτοῦ τὸν υἱὸν τῷ τῆς αἰτίας λόγῳ. ταῦτα γὰρ ὁ τῆς αἰτίας λόγος ποιεῖ. διότι οὗτος εἰς τὴν ἄκραν ἐκείνην καὶ ἀπλουστάτην ἑνότητα, γνησίως τε καὶ φυσικῶς εἰπών, διεῖλε μὲν εὐθὺς εἰς αἴτιον καὶ αἰτιατὸν τὸν ἕνα Θεόν. τὸ δὲ αἰτιατὸν διαφόρῳ τάξει πρὸς τὴν κοινὴν αἰτίαν ἀνήνεγκε. τὸ μέν, ὡς μονογενὲς τῷ πατρὶ προσεχῶς συνάψας. τὸ δέ, διὰ τοῦ μονογενοῦς ἐξ ἀνάγκης πρὸς τὴν αὐτὴν αἰτίαν ἀποδεδωκώς. ὥστε τὸ πνεῦμα τὸ ἅγιον φύσει μὲν καὶ ἀξιώματι, ἀδιαστάτως ἔχεσθαι τοῦ πατρὸς ὁμοίως τῷ μονογενεῖ. τῷ

δὲ

δὲ τῆς αἰτίας λόγῳ, διὰ τοῦ υἱοῦ τοῦτο συνάπτεσθαι. μᾶλλον δὲ τῇ μὲν αἰτίᾳ καὶ τὸ πνεῦμα τῷ πατρὶ συνημμένον εἶναι ὁμοίως τῷ λόγῳ. τῷ δὲ τρόπῳ τῆς αἰτίας, ὅθεν ὁ προσωπικὸς ἀνίσχει λόγος τοῦ υἱοῦ καὶ τοῦ πνεύματος, διὰ τοῦ υἱοῦ πρὸς τὸν πατέρα συνάπτεσθαι. ὁ δὲ τῆς αἰτίας τρόπος, καὶ τὸ πῶς εἶναι ἐκ τῆς αἰτίας, ὑπὸ τὸν τῆς αἰτίας λόγον προδήλως εἰσίν, ὡς εἴρηται πρότερον. καὶ διὰ τοῦτο καλῶς ἐπήγαγεν ὁ διδάσκαλος, ὡς ἐὰν ὑπεξέλῃς τὸν τῆς αἰτίας λόγον, ἡ μακαρία Τριὰς ἐν οὐδενὶ πρὸς ἑαυτὴν ἀσυμφώνως ἕξει καὶ διαφόρως· τουτέστιν, ἂν τὴν κατὰ τὸ αἴτιον καὶ αἰτιατὸν ἀνέλῃς ἀντίθεσιν, ἐξ ἧς ἡμῖν ἡ τοῦ πατρὸς πρὸς τὸν υἱὸν καὶ τὸ πνεῦμα διάκρισις, καὶ τὴν κατὰ τὸ ὡδίπως αἰτιατὸν διαφοράν, ἐξ ἧς τὰ αἰτιατὰ διακρίνεται. ἃ δὴ πάντα προδήλως ὑπὸ τὸν τῆς αἰτίας λόγον εἰσίν, ὁ τῆς φύσεως μόνον ὑπολείπεται λόγος· μηδαμῇ μηδαμῶς διαφοράν τινα καὶ διάκρισιν προσιέμενος ἐν τοῖς θείοις. Εἴ τις τοίνυν συνελεῖν βούλεται τὸν τοῦ διδασκάλου σκοπόν, οὕτως ἐρεῖ. ὡς διακρίνει μὲν τὰς θείας ὑποστάσεις ὁ τῆς αἰτίας λόγος, οὐδαμῶς τοῦ τῆς φύσεως ἀπολειπόμενος λόγου. καὶ διὰ τοῦτο πλείους οὖσαι κατὰ τὸν τῆς αἰτίας λόγον, ὅμως ἕν εἰσι κατὰ τὴν φύσιν. διακρίνει μέντοιγε οὐχ ὡσαύτως ὁ τῆς αἰτίας λόγος πάσας τὰς ὑποστάσεις ἐκείνας. ἀλλὰ τὸν μὲν πατέρα τῶν ἐξ αὐτοῦ, ἀντιθετικῶς. τὸν δὲ υἱὸν καὶ τὸ πνεῦμα, διαφόρως. ἄλλη δὲ ἐστὶν αὕτη διαφορά, καὶ οὐχ ἡ αὐτὴ τῇ πρώτῃ κατὰ τὸ εἶδος. ἐκείνη μὲν γὰρ τῆς αἰτίας ἐστίν. αὕτη δ' ἐκ τῆς αἰτίας ἐστὶ μᾶλλον, καὶ διὰ τὴν αἰτίαν. κἀκείνη μὲν ἔοικε, τῇ τῶν ἀντικειμένων ἀναιρετικῶς. αὕτη δέ, τῇ τῶν διαφόρων τε καὶ ἀντιδιῃρημένων. τοιαύτην δὲ εἶναι τῆς ῥήσεως ταύτης τὴν διάνοιαν, καὶ ἡ πρόθεσις τοῦ μέρους ἐκείνου τῶν λόγων καλῶς βεβαιοῖ. οὐ γὰρ περὶ τῶν προόδων ἐκεῖ σκοπεῖ. οὐδὲ πόθεν ἔχει τὸ πνεῦμα τὸ εἶναι. ἀλλὰ πρὸς Εὐνόμιον καλῶς ἐνίσταται, φυσικήν τινα διαφορὰν ἐν τοῖς θείοις προσώποις ἀφυῶς συμπεραίνοντα. καὶ χρόνῳ προτιθέντα τὸν πατέρα τῶν ἐξ αὐτοῦ. καὶ τὴν ἀϊδιότητα ἐκ τῶν αἰτιατῶν προσώπων ἐκβάλλοντα. διὰ τὸ νομίζειν ταὐτὸν εἶναι τήν τε κατ' αἰτίαν, καὶ τὴν κατὰ χρόνον ἀρχήν. καὶ τὴν ἐκ τοῦ λόγου τῆς αἰτίας ἀνίσχουσαν τάξιν,

τὴν

τὴν αὐτὴν εἶναι καὶ χρόνου καὶ φύσεως. καὶ διὰ τοῦτο προτετάχθαι μὲν τοῦ υἱοῦ τὸν πατέρα, καὶ τὸν υἱὸν τοῦ πνεύματος. ἀλλ' οὐδὲν ἧττον ἓν εἶναι κατὰ τὴν φύσιν αὐτὰ φησὶν ὁ διδάσκαλος, καὶ συναΐδια. ὡς τῆς τοιαύτης τάξεως κατὰ τὴν προεπίνοιαν οὔσης ἐν αὐτοῖς. ἣν ὁ τῆς αἰτίας λόγος ἐν σφίσι ποιεῖ, οἰκείως ἑκάστοις (ὡς οὕτως εἰπεῖν) ἐμπολιτευόμενος. σύμφωνα τοῖς εἰρημένοις καὶ περὶ ὧν ἐν ἐκείνοις τοῖς λόγοις προστίθησι, τὴν τῶν

Ὁ αὐτός. » θείων προσώπων διάκρισιν ἐπεξεργαζόμενος. Τὸ γὰρ πνεῦμα τῷ πα-
» τρὶ φησὶ κατὰ τὸ ἄκτιστον συναπτόμενον, πάλιν ἀπ' αὐτοῦ τῷ μὴ πατὴρ
» εἶναι καθάπερ ἐκεῖνος διαχωρίζεται. τῆς δὲ πρὸς τὸν υἱὸν κατὰ τὸ ἄκ-
» τιστον συναφείας, καὶ ἐν τῷ τὴν αἰτίαν τῆς ὑπάρξεως ἐκ τοῦ Θεοῦ τῶν ὅ-
» λων ἔχειν, ἀφίσταται πάλιν τῷ ἰδιάζοντι, ἐν τῷ μήτε μονογενῶς ἐκ τοῦ
» πατρὸς ὑποστῆναι, καὶ ἐν τῷ δι' αὐτοῦ τοῦ υἱοῦ πεφηνέναι. Προδήλως γὰρ ἐνταῦθα, συνάπτεσθαι μὲν τὸ πνεῦμα τῷ υἱῷ φησὶ κατά τε τὸ ἄκτιστον, καὶ τὸ τὴν αἰτίαν τῆς ὑπάρξεως ἐκεῖθεν ἔχειν, ὅθεν καὶ ὁ υἱός. διακρίνεσθαι δ' αὖθις αὐτοῦ, τῷ μήτε μονογενῶς ἐκ τοῦ πατρὸς ὑποστῆναι, καὶ ἐν τῷ διὰ τοῦ υἱοῦ πεφηνέναι. οὔτε γὰρ ὡς ὁ υἱὸς προῆλθεν ἐκ τοῦ πατρὸς γεννητῶς, ἀλλ' ἕτερόν τινα τρόπον. καὶ ἅμα διὰ τοῦτο, οὐδὲ προσεχῶς προῆλθεν ἐκ τοῦ πατρός. ἀλλὰ δι' αὐτοῦ τοῦ υἱοῦ πέφηνε. τουτέστιν εἰς τὴν ἰδίαν ὑπόστασιν δείκνυται φανερῶς προεπινοηθέντος τοῦ υἱοῦ. ἡ γὰρ τοῦ υἱοῦ ὑπόστασις, ἐκ τῆς τοῦ προσεχῶς εἶναι τῷ πατρὶ ἰδιότητος ἐπιγνωσθεῖσα, ἐναργῆ παρίστησιν ἡμῖν τὴν τοῦ πνεύματος ἰδιότητα, ᾗ τοῦ υἱοῦ δια-

Ὁ αὐτός. » κρίνεται. ὡς αὐτὸς φησὶν ἐν τοῖς αὐτοῖς λόγοις. Ὅτι ἡ ἐπιθεωρουμένη ἑκάστῃ
» τῶν ὑποστάσεων ἰδιότης, τρανῶς καὶ καθαρῶς τὸ ἕτερον ἀπὸ τοῦ ἑτέρου διΐστησιν. οὕτω τοίνυν πέφηνε διὰ τοῦ υἱοῦ, ὡς δι' ἐκείνου δεικνύμενον εἰς τὴν ἰδίαν ὑπόστασιν καὶ γνωριζόμενον ἐναργῶς, τῆς τοῦ υἱοῦ προεπινοίας φανερώτερον ἡμῖν ἀποδιδούσης τὸν τοῦ πνεύματος λόγον. τοῦτο δὲ καὶ πρό-

Ὁ αὐτός. » τερον περὶ τοῦ πνεύματος ἔλεγεν. Ὅτι τὸ πνεῦμα διὰ τοῦ υἱοῦ συνημ-
» μένως καταλαμβάνεται. οὐχ ὑστερίζον κατὰ τὴν ὕπαρξιν μετὰ τὸν υἱόν,
» ὥστε ποτὲ τὸν μονογενῆ δίχα τοῦ πνεύματος νοηθῆναι. ἀλλ' ἐκ μὲν τοῦ Θεοῦ
» τῶν ὅλων, καὶ αὐτὸ τὴν αἰτίαν ἔχον τοῦ εἶναι. ὅθεν καὶ τὸ μονογενές ἐστι

φῶς.

φῶς. διὰ δὲ τοῦ ἀληθινοῦ φωτὸς ἐκλάμψαι. καὶ πάλιν. δι' αὐτοῦ μὲν ἐκλάμποι φησί, τὴν δὲ τῆς ὑποστάσεως αἰτίαν ἔχον ἐκ τοῦ προτοτύπου φωτός. συναθροίσκει γὰρ οἷον τῷ τοῦ υἱοῦ φωτὶ τὸ τοῦ πνεύματος φῶς ἐκ τῆς πρώτης αἰτίας, ἐπινοίᾳ μόνῃ προλαμβανόμενόν τε καὶ ὑστερίζον. ἀλλ' οὐκ ἐπινοίᾳ διακεινόμενον. καθάπερ εἴ τις φαίη, διὰ τὴν ἀκτῖνα φανεροῦσθαι τὴν θέρμην, ὡς ταύταις συνεξιοῦσαν ἐκ τοῦ ἡλίου καὶ συνδιήκουσαν. εἰ καὶ τοῦτο καὶ πᾶν ἄλλο παράδειγμα τῆς ἀληθείας ὅσον, οὐδ' ἔνεστιν εἰπεῖν ἀπολείποι. ὅτι δὲ τὸ πνεῦμα τὸ ἅγιον διὰ τοῦ υἱοῦ ἐστὶν, ὡς μετὰ τὸν υἱὸν τεταγμένον, διά τε τὴν τοῦ υἱοῦ προεπίνοιαν, καὶ τὸν ἐκ τῆς αὐτῆς αἰτίας διάφορον τρόπον, καὶ ὁ μέγας Βασίλειος τῷ Νύσσης συμμαρτυρεῖ. ὡς ἐν τοῖς πρότερον εἰρημένοις γέγονε δῆλον. ἔνθα φησὶ, Τοῦτο γνωριστικὸν τῆς κατὰ τὴν ὑπόστασιν ἰδιότητος σημεῖον εἶναι ἐν πνεύματι, τὸ μετὰ τὸν υἱὸν καὶ σὺν αὐτῷ γνωρίζεσθαι, καὶ ἐκ τοῦ πατρὸς ὑφεστάναι. εἶτα ἐπάγει. ὁ δὲ υἱὸς τὸ ἐκ τοῦ πατρὸς ἐκπορευόμενον πνεῦμα, δι' ἑαυτοῦ καὶ μεθ' ἑαυτοῦ γνωρίζων, μόνος μονογενῶς ἐκ τοῦ ἀγεννήτου φωτὸς ἐκλάμψας, οὐδὲ μίαν κατὰ τὸ ἰδιάζον τῶν γνωρισμάτων τὴν κοινωνίαν ἔχει πρὸς τὸν πατέρα, ἢ πρὸς τὸ πνεῦμα τὸ ἅγιον. ἀλλὰ τοῖς εἰρημένοις σημείοις μόνοις γνωρίζεται. Ἤδη γὰρ καὶ οὗτος μετὰ τὸν υἱὸν καὶ σὺν αὐτῷ γνωρίζεσθαι τὸ πνεῦμα εἰπὼν, ἐκ δὲ τοῦ πατρὸς ὑφεστάναι. ἀντὶ μὲν τοῦ σὺν αὐτῷ, τὸ μεθ' ἑαυτοῦ εἶπεν· ὡς τὴν ἴσην προδήλως δύναμιν ἔχον. ἀντὶ δὲ τοῦ μετὰ τὸν υἱὸν, τὸ δι' ἑαυτοῦ εἶπεν· ἃ πάντα, ταὐτόν ἐστι τῷ ἐκ πατρὸς δι' υἱοῦ ἐκπορεύεσθαι. τὸ γὰρ ἐκ τοῦ πατρὸς ἐκπορευόμενον φησὶ πνεῦμα, δι' ἑαυτοῦ γνωρίζει καὶ μεθ' ἑαυτοῦ ὁ υἱός. ὥσπερ πρότερον περὶ τοῦ πνεύματος εἶπε παθητικῶς. ὅτι μετὰ τὸν υἱὸν γνωρίζεται, ἐκ δὲ τοῦ πατρὸς ὑφέστηκε. καὶ ὡσανεί τις ἀναστρέψας εἴποι, ἐκ πατρὸς ὑφέστηκε, δι' υἱοῦ δὲ γνωρίζεται. τοῦ δὲ τὸν υἱὸν δι' ἑαυτοῦ καὶ μεθ' ἑαυτοῦ γνωρίζειν τὸ πνεῦμα, αἰτίαν ἐπάγει, τὸ μόνον αὐτὸν μονογενῶς ἐκ τοῦ ἀγεννήτου φωτὸς ἐκλάμψας. ὅπερ ἡμῖν ἐλέγετο πρότερον· καλῶς δὲ, καὶ τῷ Γρηγορείῳ συμφώνως, τῷ μετὰ τὸν υἱὸν προσέθηκε τὸ σὺν αὐτῷ. τῷ δὲ δι' αὐτοῦ, τὸ μεθ' ἑαυτοῦ. καὶ αὐτὸς γὰρ ὁ Γρηγόριος οὕτως ἔλεγε.

Βασιλ. ἐν τῇ πρὸς Γρηγ. ἐπιστολ.

Γρηγ. ὁ Νύσσ. » Πατὴρ μὲν ἄναρχος καὶ ἀγέννητος, καὶ ἀεὶ πατὴρ νοεῖται. ἐξ αὐτοῦ δὲ κατὰ » τὸ προσεχὲς ἀδιαστάτως, ὁ μονογενὴς υἱὸς τῷ πατρὶ συνεπινοεῖται. δι' » αὐτοῦ δὲ καὶ μετ' αὐτοῦ, πρὶν τι κενόν τε καὶ ἀνυπόστατον διὰ μέσου πα- » ρεμπεσεῖν νόημα, εὐθὺς τὸ πνεῦμα τὸ ἅγιον διὰ τοῦ υἱοῦ συνημμένως κα- » ταλαμβάνεται. καὶ ἐν ·ϛ·. τῶν πρὸς Εὐνόμιον ὁ αὐτὸς αὖθις φησὶ Γρη-

Ὁ αὐτός. » γόριος. Τὸ γὰρ μαθεῖν ὅτι ἐκεῖνος ἐστὶ τὸ ὄντως ὄν, ᾧ διὰ τῆς σχετικῆς » ἐννοίας ἡ τοῦ υἱοῦ μεγαλειότης συναναφαίνεται, ἡ τελειοτάτη διδασκα- » λία τῆς εὐσεβείας ἐστί. τοῦ υἱοῦ καθὼς εἴρηται συνημμένως μεθ' ἑαυτοῦ τὸ » πνεῦμα τῆς ζωῆς τε καὶ ἀληθείας ἐνδεικνυμένου. ἐπειδὴ αὐτὸς ἐστὶ καὶ ζωὴ καὶ ἀλήθεια. ἀλλὰ μὴν καὶ μετὰ τὸν υἱὸν εἶναι φησὶ τὸ πνεῦμα οὗτος, ὡς καὶ ὁ θεῖος εἶπε Βασίλειος. οὐχ ὡς ὑστερίζον κατὰ τὴν ὕπαρξιν μετὰ τὸν υἱὸν, ὡς ποτὲ τὸν μονογενῆ δίχα τοῦ πνεύματος νοηθῆναι. τοῦτο γὰρ ἀπέφησε πρότερον. ἀλλ' ὡς τῇ τοῦ ἀληθινοῦ τάξει δευτερεῦον τε καὶ συναριθμούμενον. καὶ ὥσπερ ἐξηγητὴς ἡμῖν τοῦ ἱεροῦ γίνεται Βασιλείου, μετὰ τὸν υἱὸν εἰρηκότος τὸ πνεῦμα γνωρίζεσθαι. φησὶ γὰρ ἐν .α. τῶν κατ' Εὐ-

Βασίλ. » νομίου. Ὡς ἁπάσῃ τῇ τελειότητι πρὸς τὸ ἀκρότατον ἐπηρμένον τὸ πνεῦμα » τὸ ἅγιον, μετὰ πατρὸς καὶ υἱοῦ θεωρεῖται. καὶ δι' αὐτοῦ τὴν προσαγω- » γὴν πρὸς τὸ προεπινοούμενον φῶς τὸ ἐν πατρὶ καὶ υἱῷ πᾶσι τοῖς μετασ- » χεῖν δυναμένοις χαρίζεται. Κατὰ τὰ προϋποτεθειμένα τοίνυν, καὶ κατὰ τὴν τῶν διδασκάλων ἀνεπτυγμένην θεολογίαν, ἐν τῷ διὰ υἱοῦ τὸ πνεῦμα λέγεσθαι ἐκπορεύεσθαι, προεπίνοιαν τινα καὶ τάξιν ὁ λόγος, οὐκ αἰτίων σημαίνει, ἀλλὰ μᾶλλον αἰτιατῶν. καὶ οὐδὲν ἄλλο σχεδὸν, ἢ τὸ μετὰ τὸν υἱόν. ἀεὶ νοουμένου τοῦ τὸ πνεῦμα συνημμένον εἶναι τῇ φύσει πρὸς τὸν υἱὸν, εἰ καὶ ἀκόλουθον ἐστὶ τῇ προσωπικῇ τάξει. οὗ χάριν οἱ διδάσκαλοι λέγοντες μετὰ τὸν υἱὸν, εὐθὺς καὶ τὸ, σὺν αὐτῷ προστιθέασι. καὶ εἰπόντες δι' ἑαυτοῦ, εὐθὺς ἐπιφέρουσι καὶ μεθ' ἑαυτοῦ.

ΚΕΦΑΛΑΙΟΝ κθ.

Ὅτι τὸ διὰ τοῦ υἱοῦ, οὐ σημαίνει τὸ μετὰ τοῦ υἱοῦ μόνον. ἀλλ' ἴσον ἐστὶ, τῷ μετὰ τὸν υἱὸν, καὶ σὺν τῷ υἱῷ.

Ἐξ ὧν δῆλον ἐστὶν, ὡς οὐκ ἔστιν ἴσον παντάπασι, διὰ υἱοῦ τε εἰπεῖν, καὶ μετὰ τοῦ υἱοῦ. εἰ γὰρ ταὐτὸν ἦν ταῦτα παντάπασιν, ἐκ παραλλήλου τούτοις ἐχρῶντο ἂν οἱ διδάσκαλοι. ἀλλὰ τοῦτ' ἀδύνατον· ἀλλ' οὐδ' ἀρκοῦν ἐστὶν εἰπεῖν τὸ πνεῦμα μετὰ τοῦ υἱοῦ ἐκ τοῦ πατρὸς ἐκπορεύεσθαι. τὸ γὰρ οὕτως εἰπεῖν, τὸ συναΐδιον καὶ ἰσότιμον τῶν προόδων μόνον δηλοῦν ἐστίν. ἡ δὲ τάξις τῶν θείων προσώπων οὐ συνεμφαίνεται. ἅμα δὲ καὶ οἱ Σοφισταὶ ἐκ ταύτης τῆς ἐξηγήσεως ἡμῖν ἐπιφύονται. Εἰ μὲν ἐκ τοῦ πατρὸς φασὶ μετὰ τοῦ υἱοῦ τὸ πνεῦμα νοεῖται ἐκπορευόμενον, οὐκοῦν προβολεὺς ἐστὶν ὁ υἱὸς, ὅπερ ἀρνεῖσθε. εἰ δὲ ἐκπορευόμενον μετὰ τοῦ υἱοῦ, οὐκοῦν καὶ ὁ υἱὸς πρόβλημα. ἀλλ' ὥσπερ οὐ γεννᾶται ὁ υἱὸς μετὰ τοῦ πνεύματος, οὕτως οὐδὲ τὸ πνεῦμα μετὰ τοῦ υἱοῦ ἐκπορεύεται. Ἀλλ' ὦ Σοφιστὰ, προσυπάκουσον τῷ υἱῷ, τὸ γεννωμένου, ἢ γεννηθέντος, καὶ οὐδὲν ὁ λόγος ὕποπτον ἕξει· τί γὰρ δεινὸν ἐστὶν εἰπεῖν, ὅτι τὸ πνεῦμα μετὰ τοῦ υἱοῦ γεννωμένου, παρὰ τοῦ πατρὸς ἐκπορεύεται; ἵνα τὸ συνημμένον καὶ μὴ ὑστερίζον κατὰ τὴν ἐκ πατρὸς ὕπαρξιν, ἀμφοῖν ταῖς προόδοις καὶ ταῖς ὑποστάσεσι μαρτυρεῖται; ἀλλ' ὅπερ εἴρηται, δεῖ μὴ διδόναι προφάσεις τοῖς Σοφισταῖς, ἅμα δὲ καὶ ἐνδεὲς ἐστὶν οὕτω λέγειν. οὐ γὰρ ἡ τάξις ἐντεῦθεν ἐκφαίνεται. ἀλλὰ δεῖ μᾶλλον λέγειν διὰ υἱοῦ, ὡς δὴ μετὰ τὸν υἱὸν καὶ σὺν αὐτῷ, ὡς ἂν ἡ .δια. πρόθεσις τάξιν καὶ ἕνωσιν ἔχῃ δηλοῦν. οὐ θάτερον τούτων μόνον χωρίς. κἀντεῦθεν ὡς ὁ θεῖος ἔφη Βασίλειος ἐμφαίνηται. τὸ ἀκολούθως μὲν κατὰ τὴν τάξιν, συνημμένως δὲ κατὰ τὴν φύσιν ἔχειν πρὸς τὸν υἱὸν τὸ πνεῦμα τὸ ἅγιον. εἰ δέ τινες τῶν διδασκάλων, τὸ διὰ τοῦ υἱοῦ, τὸ μετὰ τοῦ υἱοῦ προσιθέασι, θαυμάζειν οὐ δεῖ. δοκοῦσι γὰρ οὗτοι, τῇ .δια. προθέσει πρὸς δήλωσιν τῆς τάξεως κε-

λέγεσθαι μᾶλλον, καὶ διὰ τοῦτο προστεθεῖναι τὸ μετὰ τοῦ υἱοῦ. ὥσπερ ἐπειδὰν λέγωσι μετὰ τὸν υἱὸν, εὐθὺς ἐπάγουσι καὶ σὺν αὐτῷ. οἱ καὶ δοκοῦσι τὸ διὰ τοῦ υἱοῦ, μᾶλλον ἀντὶ τοῦ μετὰ τὸν υἱὸν, ἢ μετὰ τοῦ υἱοῦ νενοηκέναι. ἀλλ' ἕτεροι τῶν διδασκάλων ἐν τῷ διὰ υἱοῦ μετὰ τῆς τῶν προσώπων ἀκολουθίας, καὶ τὴν κατ' οὐσίαν προσεπινοοῦντες συνάφειαν, ἅτε προϋποκειμένου τοῦ πάντα τὰ περὶ τῶν θείων ὑποστάσεων συναϊδίως τε καὶ συμφυῶς λέγεσθαι, διὰ υἱοῦ λέγοντες, οὐδὲν προσετίθεσαν πλέον. ὥσπερ

Γρηγ. ὁ Νύσσ. „ αὐτὸς αὖθις ὁ Νύσσης. μήτε μονογενῶς αὐτό φησιν ὑποστῆναι τὸ πνεῦ-
„ μα, καὶ διὰ τοῦ υἱοῦ πεφηνέναι. καὶ ἡ ἑβδόμη Σύνοδος, τὸ ἐκ τοῦ πα-

Συνόδ. ζ „ τρὸς διὰ υἱοῦ ἐκπορευόμενον εἴρηκεν. οὐδὲν προσθεῖσα λοιπόν. ὥσθ' ὅσα αἱ προθέσεις ἄμφω σημαίνουσιν αὗται, ἥ τε. μετὰ. τὴν αἰτιατικὴν ἰθύνουσα πτῶσιν, καὶ ἡ. σύν: τοῦθ' ἡ. διά. μόνη σημαίνει. καὶ ὅσον δύναται μετὰ τὸν υἱὸν εἰπεῖν, καὶ σὺν τῷ υἱῷ, τοσοῦτον δύναται διὰ υἱοῦ φάναι. τάξιν δηλαδὴ προσώπων, καὶ φύσεως ἕνωσιν.

ΚΕΦΑΛΑΙΟΝ λ'.

Ὅτι εἴ τις βούλοιτο σαφεστέραν ἐξήγησιν ἀποδοῦναι τοῦ διὰ υἱοῦ, ἐρεῖ οὐκ ἄνευ τοῦ υἱοῦ. διὰ τὴν ἕνωσιν καὶ τὴν προεπίνοιαν, ἀφελὼν τὰς ἄλλας ἰδιότητας τὰς ὑπαρχούσας πᾶσι τοῖς οὐκ ἄνευ αὐτῶν.

ΚΑὶ εἴ τις ἐν τινὶ λόγῳ σαφεστέρῳ βουληθείη δηλῶσαι τὸ διὰ τοῦ υἱοῦ, κατὰ τὸν τῶν ἱερῶν διδασκάλων σκοπὸν, ὥστε καὶ τὴν προεπίνοιαν δηλονότι παραστῆσαι, καὶ τὴν φυσικὴν αὐτοῦ πάλιν πρὸς τὸ πνεῦμα συνάφειαν, οὐκ ἀπεικότως ἂν τὸ διὰ τοῦ υἱοῦ, εἰς τὸ οὐκ ἄνευ τοῦ υἱοῦ μεταλάβοι. ὡς ἂν τὸ πνεῦμα νοῆται προϊὸν ἐκ Θεοῦ, οὐκ ἄνευ τοῦ λόγου· ἀλλ' ὁμοῦ τ' ἐκείνῳ δηλονότι, καὶ μετ' ἐκεῖνον. τῷ γὰρ οὐκ ἄνευ τινὸς, ἐπὶ τῶν προεπινοουμένων λέγεσθαι εἰώθαμεν. ὥσπερ φαμὲν τὸν Θεὸν καὶ πατέρα αἴτιον εἶναι, οὐκ ἄνευ τοῦ εἶναι ἀναίτιον. ὡς προϋποκειμένου

δηλο-

δῆλον ὅτι τοῦτον εἶναι ἀγέννητον καὶ ἄφθαρτον, ἵνα μὴ κατὰ τὰς ἄλλας αἰτίας, καὶ αὐτὸς εἶναι νοηθῇ ἔχων τινὰ καὶ ἑαυτοῦ προηγουμένην αἰτίαν. δῆλον δ' ἐστὶν ὡς ἐν τῷ Θεῷ καὶ πάλιν, τὸ ἀναίτιον τοῦ αἰτίου προεπινοεῖται. ὡς τὸ καθ' ἑαυτό, τοῦ πρὸς ἄλλο· καὶ ὡς τὸ ἰδιαίτατα προσόν, τοῦ καὶ ἄλλοις ὁπωσοῦν ὄντος κοινοῦ. καὶ ἐπὶ τῶν σωματικῶν δέ, τὰ μηδὲν μὲν συμβαλλόμενα πρὸς τὴν τινὸς γένεσιν, ἐξ ἀνάγκης δὲ παρεπόμενα τοῖς ποιητικοῖς, ὡς οὐκ ἄνευ αὐτῶν ἐνεργοῦσιν. ὥσπερ ὅ, τε χρόνος, καὶ ὁ τόπος ἔχει. προεπινοοῦνται γὰρ τῶν γινομένων· ἀλλ' οὐκ ἂν αἴτια εἴποι, εἰ μὴ κατὰ συμβεβηκός. οὐκ ἐκ τῆς οὐσίας τῶν γινομένων εἰσί· καὶ ὅμως δι' αὐτῶν τι γίνεσθαι λέγεται. ὥσπερ διὰ χρόνου φαμὲν πεποιηκέναι τὸν δέ, τόδε. ὅτι οὐκ ἄνευ χρόνου. καὶ διὰ χρόνου πολλοῦ· ὅτι οὐκ ἄνευ χρόνου πολλοῦ. ταυτὸν δ' εἰπεῖν ἐν χρόνῳ πολλῷ. καὶ τὰ λόγον ὕλης ἔχοντα, προεπινοοῦνται τῶν ἔκ τινος αἰτίας ποιητικῆς γινομένων, καὶ δι' αὐτῶν, καὶ οὐκ ἄνευ αὐτῶν γίνεσθαι λέγεται τὰ γινόμενα. ὥσπερ τὸ φῶς ἐκ τοῦ ἡλίου διὰ τοῦ διαφανοῦς. ὅτι καθάπερ ὕλη τῷ φωτὶ τὸ διαφανὲς ὑποβέβληται. καὶ τὰ μεσιτεύοντα φυσικῶς ἐν τοῖς ἀνομοιομερέσι τε καὶ κατὰ ποσότητα αὔξουσι, πρότερα τῶν ἐσχάτων ἐστὶ μερῶν. καὶ ὡς αὐτὰ ἤρτηται τοῦ πρώτου μορίου καὶ ἀρχικοῦ κατὰ τὴν αἰτίαν καὶ θέσιν, οὕτω καὶ αὐτῶν ἤρτηται τὰ ἔσχατα θέσει. καὶ διὰ τοῦτο δι' αὐτῶν τε, καὶ οὐκ ἄνευ αὐτῶν, γίνεσθαι καὶ εἶναι φαμὲν τὰ ἔσχατα. οἷον διὰ τοῦ κλάδου μὲν ἐκ τῆς ῥίζης τρέφεσθαι τὸν καρπόν. καὶ δάκτυλον ἐκ τῆς καρδίας κινεῖσθαι διὰ τῆς χειρός, ἢ τρέφεσθαι, ἕως ἂν τρέφοιτο. καὶ πολλὰ δὲ τοιαῦτα ἐν τοῖς φύσει γενομένοις εὕροι τις ἄν. ἐν οἷς ἅπασιν εἰ καὶ ὁ τῆς μεσιτείας λόγος διαφόρως ὑπάρχει. ὅμως διὰ τυπωνὶ τῶν μεσιτευόντων πως, ὡς οὐκ ἄνευ αὐτῶν, ἅτε προϋποκειμένων ὁπωσποτε φαμὲν ποιεῖν τὰ ποιοῦντα, καὶ γίνεσθαι τὰ γινόμενα. ἀλλὰ τούτων τὰ μὲν καὶ αἴτια εἰσίν, ὡς ἡ ὕλη. τὰ δὲ ἕτερόν τινα τρόποι. οὐδὲν δὲ αἴτιον ἐστὶν ὡς τὸ πρῶτον κινοῦν. καίτοι ἔνιοι ταῦτα πάντα ἐπαληθεύει τὸ οὐκ ἄνευ αὐτῶν, ὑπὸ τὸ γένος τῆς ὑλικῆς αἰτίας ἀνάγουσιν, ὡς ἐοικότα πως τῷ διὰ τὴν ὕλην ἀναγκαίῳ. ἐπὶ δέ γε τῶν θείων, τὸ διὰ τοῦ υἱοῦ φάναι καὶ οὐκ ἄνευ αὐτοῦ, οὐχὶ καὶ αἴτιον

τὸν μὲν ἐξ ἀνάγκης εἰσάγοις· ἐκεῖθεν γὰρ ὡς ἥ τε ὕλη καὶ ὁ τῆς ὕλης λόγος καὶ τρόπος, οὕτω καὶ ἡ κατ' αὐτὴν αἰτία παντελῶς ἀπελήλαται. καί τοι γ' ἂν ἔτι τὸν υἱὸν ποιητικὴν αἰτίαν εἶναι τοῦ πατρός, εἴπερ ἦν ὅλως αἰτία. καὶ διὰ τοῦτο τὸ οὐκ ἄνευ αὐτοῦ, κατὰ τὴν προεπίνοιαν μόνον πρέπει νοεῖν. ταύτην δὲ μόνον ἐκ τῶν σωματικῶν ἐκείνων ἐξελόντας καὶ χρησαμένους, τὰ δ' ἄλλα πάντα διὰ τὸ ἀπεμφαῖνον τε καὶ ἀπεοικὸς ἀπορρίψαντας, ὥσπερ καὶ τὸ ἐξωτερικὸν τοῦ χρόνου τε καὶ τοῦ τόπου, καὶ τὸ περιεκτικόν, ἢ τὸ τοῦ διαφανοῦς ἑτεροφανὲς πρός τε τὸν ἥλιον καὶ τὸ φῶς ἢ τοὺς κλάδους, τά τε ἄλλα καὶ τὸ τοῖς ἐσχάτοις συνάπτεσθαι. ὧν δή, καὶ τῶν τοιούτων, οὐδὲν τολμήσει τις νοῦν ἔχων τοῖς θείοις πράγμασιν ἐφαρμόττειν. προεπινοεῖν δὲ τὸν υἱὸν τοῦ πνεύματος, καὶ ἀληθές ἐστι, καὶ πᾶσα ἀνάγκη. καὶ τοῦτο δ' ὅμοιόν ἐστιν ἔν τε τῷ προκειμένῳ, καὶ πᾶσι τοῖς οὐκ ἄνευ αὐτῶν. Κατὰ τὴν προεπίνοιαν τοίνυν μόνον, τῷ οὐκ ἄνευ αὐτοῦ χρώμενοι, οὐκ ἀπεικότως ἐροῦμεν τὸ πνεῦμα τὸ ἅγιον ἐκ πατρὸς δι' υἱοῦ ἐκπορεύεσθαι. καὶ τὸν πατέρα προβολέα εἶναι τοῦ πνεύματος διὰ τοῦ υἱοῦ· ὡς οὐκ ἄνευ τοῦ υἱοῦ δηλονότι. προεπινοεῖται γὰρ ἡ τοῦ λόγου ὑπόστασις, τοῦ προσώπου τοῦ πνεύματος· οὕτω τῆς γραφῆς διδασκούσης. ὥστε καὶ ἡ τοῦ λόγου σύλληψις τῆς προόδου τοῦ πνεύματος. καὶ οὐδὲν ἧττον ἅμα. τουτέστι συναϊδίως, καὶ συνημμένως, καὶ προσεχῶς, ἐκ τῆς πρώτης αἰτίας εἰσὶν ἄμφω. ὃ τῶν κτιστῶν πραγμάτων οὐδενὶ πρόσεστιν.

ΚΕΦΑΛΑΙΟΝ λα.

Ὅτι εἰ καὶ προτέτακται τοῦ πνεύματος ὁ υἱός, ὡς προεπινοούμενος αὐτοῦ. ἀλλ' οὐδὲν ἧττον πραγματικῶς αὐτοῦ διακρίνεται, καὶ οὐ κατ' ἐπίνοιαν. καὶ ὅτι τὴν τοιαύτην τῆς προεπινοίας τάξιν μὴ καταδεχόμενοι οἱ Λατῖνοι, ἀσύμβατοι ἑαυτοῖς γίνονται.

Εἰ δέ τινες οἴονται, τῇ ἐπινοίᾳ διακρίνειν ἡμᾶς τὸν υἱὸν τοῦ πνεύματος ταῦτα λέγοντας, ἀπατῶνται. ἡμεῖς γὰρ οὐδὲν οἴκοθεν, τὰ

δὲ

δὲ τῶν διδασκάλων φαμέν. ἐκεῖνοι δὲ τῇ ἐπινοίᾳ προτάττουσι τοῦ πνεύματος τὸν υἱόν, καὶ τῇ ἐπινοίᾳ μόνῃ. αὐτοὶ δὲ εἰσὶν οἱ καὶ τὴν σαβέλλιον πανταχοῦ ψέγοντες σύγχυσιν, καὶ πραγματικῶς τὸν υἱὸν τοῦ πνεύματος διακρίνοντες. ὥστε τὸ προθεωρεῖσθαι τὸν υἱὸν τοῦ πνεύματος τῇ ἐπινοίᾳ μόνῃ, οὐκ ἀναιρεῖ τὸ πραγματικῶς αὐτὰ διακρίνεσθαι, εἰ μὴ ἀγνοοῦσιν ἑαυτοὺς οἱ διδάσκαλοι. Ὅτι δὲ καὶ πάνυ καλῶς ἄμφω ταῦτα συμβαίνει τό, τε πραγματικῶς διακρίνεσθαι, καὶ τὸ τῇ ἐπινοίᾳ προθεωρεῖσθαι, δῆλόν ἐστιν. ὁ μὲν γὰρ τῆς αἰτίας λόγος, διακρίνει τὰς ὑπαρχούσας ὑποστάσεις ἐκείνας. τὸν μὲν πατέρα, τῶν ἐξ αὐτοῦ ἀντιθετικῶς. ταῦτα δ' ἀλλήλων οὐκ ἀντιθετικῶς, ἀλλὰ διαφόρως μόνον, ὡς δέδεικται. ἀρκεῖ δὲ τὸ διαφόρως αὐτὰ προάγεσθαι ἐκ τῆς ἰδίας αἰτίας, πρὸς τὸ καὶ πραγματικῶς διακρίνειν αὐτά. ὡς καὶ οἱ διδάσκαλοι λέγουσι, καὶ πολλοὶ τῶν παρὰ Λατίνοις σοφῶν τοῦτο δεικνύουσι, τοῖς ἄλλως διακρίνουσιν οὐ πειθόμενοι. ὥσπερ τοίνυν ὁ τῆς αἰτίας λόγος διακρίνει τὸν πατέρα τοῦ υἱοῦ πραγματικῶς, κατὰ τὸν τῆς ἀντιθέσεως ἐν αὐτοῖς θεωρούμενος, ἀλλ' οὐδὲν ἧττον ἐπινοίᾳ μόνῃ προτέτακται τοῦ υἱοῦ ὁ πατήρ, κατὰ τὸν Νύσσης Γρηγόριον. οὕτω καὶ τὸν υἱόν, καὶ τὸ πνεῦμα, διακρίνει πραγματικῶς ὁ τῆς αἰτίας λόγος, κατὰ τὸν διάφορον τῆς ὑπάρξεως τρόπον σφίσιν ἐνθεωρούμενος. ἀλλ' οὐδὲν ἧττον ἐπινοίᾳ μόνῃ προτέτακται τοῦ πνεύματος ὁ
υἱός. Ἡ μὲν γὰρ ἐπιθεωρουμένη ἑκάστῃ τῶν ὑποστάσεων ἰδιότης, τρανῶς ,, Γρηγ. ὁ
καὶ καθαρῶς τὸ ἕτερον ἀπὸ τοῦ ἑτέρου διΐστησιν, ὁ Νύσσης ἔφη Γρηγόριος. ,, Νύσσ.
Ἰδιότης δέ, πατρὸς μέν, ἡ ἀγεννησία, καὶ τὸ αἴτιον τῶν ἐξ αὐτοῦ. υἱοῦ ,, Γρηγ. θεο.
δέ, ἡ γέννησις. πνεύματος δὲ ἡ ἔκπεμψις, εἴτουν ἐκπόρευσις, ὁ θεολόγος ,,
ἔφη Γρηγόριος. διακριθείσαις τοίνυν ταῖς ὑποστάσεσιν ἐκ τῶν τοιούτων ἰδιοτήτων, ὁ τῆς τάξεως εὐθὺς συνεισελήλυθε λόγος. ἀνάγκη γὰρ τετάχθαι ταῦτα, καὶ ἀκολούθως τῷ τῆς αἰτίας λόγῳ τετάχθαι. ᾧ δὴ καὶ διακεκριμένα εἰσίν. οἷον τὸ μὲν αἴτιον, τῶν ἐξ αὐτοῦ προτετάχθαι. τὸ δὲ μονογενῶς ἐκ τοῦ πατρὸς ὄν, προτετάχθαι τῆς ἑτέρον τινὰ τρόπον προϊούσης ἐκ τοῦ πατρὸς ὑποστάσεως, διὰ τὸ τὴν πατρὸς καὶ υἱοῦ προσηγορίαν, μηδὲν προσίεσθαι μέσον. οὐκοῦν οὐχ ἡ διάκρισις τοῦ υἱοῦ

καὶ

καὶ τοῦ πνεύματος ἐκ τοῦ προτετάχθαι τὸν υἱὸν τῇ ἐπινοίᾳ ἐστὶν, ὥστ' ἂν ἐντεῦθεν συμβαίνῃ καὶ ἐπινοίᾳ μόνῃ ταῦτα διακεκρίσθαι. ἀλλὰ διακέκριται μὲν ταῦτα, τῷ διαφόρως ἐκ τῆς πρώτης αἰτίας ὑφίστασθαι, καὶ ὡς ἐκείνης πραγματικῶς εἰσὶ διακεκριμένα, οὕτω δὴ καὶ ἀλλήλων. ἡ δὲ τάξις τῇ φύσει τῶν ὀνομάτων τε καὶ τῶν πραγμάτων ἀκολουθεῖ, οὐ πρὸς τὴν φύσιν διαβαίνουσα, ἀλλὰ τῷ ἀριθμῷ μόνον ἐνσημειζομένη τῶν διακεκριμένων, καὶ τὴν κατὰ φύσιν τούτων ἀκολουθίαν ἐμφαίνουσα. Εἴτε τοίνυν πραγματικὴν τις εἶναι λέγῃ τὴν τάξιν τῶν θείων προσώπων, ὡς οὐκ ἐκ τῆς ἡμετέρας μόνον θέσεως, ἀλλ' ἐκ τῆς τῶν πραγμάτων ἀκολουθίας ἀνίσχουσαν· εἴ τε τῆς ἐπινοίας εἶναι λέγῃ ταύτην, ὡς ἂν μήπω δοκοίη φύσεως ἢ ἀξίας εἶναι ἢ χρόνου ἤ τινος τῶν τοιούτων, οὐδὲν διαφέρει. τοῦτο δεῖ μόνον παραφυλάττειν, ἵνα μὴ διὰ τὴν τάξιν ταύτην, ἄλλο τι περὶ τῶν θείων φανταζώμεθα, ὅπερ οὐκ ἔξεστιν. ὃ πάσχουσιν οἱ νομίζοντες τὸν αὐτὸν εἶναι θεμέλιον τῆς περιεπινοίας ἐν υἱῷ καὶ πνεύματι, ὅς ἐστι καὶ πρὸς τὸν υἱὸν τῷ πατρί. οἴονται γὰρ καὶ ταῦτα ἀντιθετικῶς τῷ τῆς αἰτίας διακεκρίσθαι λόγῳ. καὶ οὕτω τὸν αὐτὸν παντάπασι τρόπον, προτετάχθαι μὲν τοῦ υἱοῦ τὸν πατέρα. προτετάχθαι δὲ τοῦ πνεύματος τὸν υἱόν. καὶ ὡς μὲν ἐπίσης ἐστὶ διὰ πάντων τῶν θείων προσώπων ἡ τάξις, καὶ οὐδὲν μᾶλλον οὐδὲ ἧττον, τοῦτ' ἀληθές ἐστι· προτέτακται γὰρ ταῦτα καὶ συνέπεται κατὰ τὸν τῆς αἰτίας λόγον ἀλλήλοις, καὶ οὐδαμῶς ἄλλως. ἀλλ' οὐ τὸν αὐτὸν ἅπαντα τρόπον ὁ τῆς αἰτίας λόγος διαλαμβάνει, ἀλλ' ὡς εἴρηται πρότερον. τοῖς μὲν δηλονότι κατὰ τὴν αἰτιατικὴν ἀντίθεσιν. τοῖς δὲ κατὰ τὸν διάφορον τρόπον τοῦ ἐξ αἰτίας εἶναι. Οἱ δὲ πάντα φύροντες, τὸν αὐτόν τε καθάπαξ θεμέλιον τῆς προσωπικῆς τάξεως ἐν τοῖς θείοις ποιοῦσι, καὶ τὴν κοσμικὴν τάξιν ἐπὶ συνηγορίᾳ τῆς δόξης παραλαμβάνουσι. καὶ καθάπερ ἐν τῇ φύσει τῶν ὄντων, ἄλλα ἄλλων εἰσὶν αἴτια προσεχῶς φασὶ, καὶ οὕτως ἀπὸ τῶν ὑψηλοτάτων αἰτιῶν μέχρι τῶν ἐσχάτων ἡ τῆς αἰτίας τάξις ὁρᾶται διήκουσα. οὕτω καὶ τὸν μὲν πατέρα φασὶν αἴτιον εἶναι τοῦ υἱοῦ, τὸν δὲ υἱὸν αἴτιον εἶναι τοῦ πνεύματος. εἶτα ἐπειδὴ μὴ συμφέρει σφίσι τὸ τῆς κοσμικῆς τάξεως ταύτης ὑπόδειγμα. ἐκεῖ γὰρ οὐ παρ-

ἄγουσιν ὁμοειδῶς τὰ καθ' αὑτὰ ποιητικὰ τὸ αὐτό. ἀλλ' ἂν παράγοι ὁμοειδῶς, τούτων τὰ ὑψηλότερα οὐ καθ' αὑτά εἰσιν αἴτια τῶν παραγομένων. ἀλλ' ἢ μόνον τὰ προσεχῆ. διὰ τοῦτο τῆς εἰκόνος ἐκείνης πάλιν καταφρονήσαντες, ἀπὸ τῆς ἑνότητος τῆς θείας οὐσίας ἐπιχειροῦσι. καὶ τὸν πατέρα καὶ τὸν υἱὸν, μίαν ἀρχὴν τοῦ πνεύματος λέγουσι. καὶ οὐδ' ἐπὶ ταύτης πάλιν τῆς θέσεως ἵστανται. ἀλλ' ἀρχικῶς φασὶν ἐκ τοῦ πατρὸς ἐκπορεύεσθαι καὶ κυρίως. καὶ τοιαῦτά τινα καινοτομοῦσιν, ὑπ' οὐδενὸς ἱστάμενοι λογισμοῦ. διδασκάλων δέ τινων φωναῖς, τὰ ψευδῆ ταῦτα ἱδρύουσιν. ἃς ὁ τῆς ἀληθείας λόγος, μετὰ τῆς θεολογίας τῶν ἡμετέρων διδασκάλων, στήσει καλῶς περιϊών. καὶ ὅτι δ' ἀδύνατον ἐστὶ τοιαύτην τάξιν ἐπὶ τῶν θείων εἶναι προσώπων, ἣν αὐτοὶ τιθέασι, καὶ πολλὰ τὰ ἄτοπα ἔχει, προϊόντι τῷ λόγῳ φανερὸν ἔσται.

ΚΕΦΑΛΑΙΟΝ λβ.

Ἐπιβεβαίωσις διὰ ῥητῶν μετ' ἐπιστασίας τῶν προειρημένων περὶ τῆς τάξεως.

Νῦν δὲ τοὺς ἡμετέρους διδασκάλους παράξωμεν ἐπικυρώσαντας ἡμῖν, τὰ περὶ τῆς προεπινοίας τοῦ υἱοῦ εἰρημένα. καὶ ὅλως περὶ τῆς κατὰ τὴν προεπίνοιαν τάξεως ἐν τοῖς θείοις· δι' ἣν μάλιστα τὸ πνεῦμα τὸ ἅγιον, δι' υἱοῦ ἐκ πατρὸς εἶναι καὶ ἐκπορεύεσθαι λέγεται. ὁ γὰρ θεῖος
Βασίλειος ἐν τῇ πρὸς τὰς κανονικὰς ἐπιστολῇ φησί. Τὸ πνεῦμα τὸ ἅγιον „ Βασίλ.
πατρὶ μὲν καὶ υἱῷ συναριθμεῖται, διὸ καὶ ὑπὲρ τὴν κτίσιν ἐστί. τέτακται „
δὲ ὡς ἐν εὐαγγελίῳ δεδιδάγμεθα παρὰ τοῦ Κυρίου εἰπόντος, πορευθέντες „ Ματθ. κή.
βαπτίζετε εἰς τὸ ὄνομα τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος. ὁ „
δὲ προτιθεὶς υἱοῦ, ἢ πρεσβύτερον λέγων πατρὸς, οὗτος ἀνθίσταται μὲν τῇ τοῦ „
Θεοῦ διδαχῇ, ἀλλότριος δὲ τῆς ὑγιαινούσης πίστεως, μὴ ὃν παρέλαβε „
τρόπον δοξολογίας διαφυλάττων, ἀλλ' ἑαυτῷ καινοφωνίαν εἰς ἀρέσκειαν „
ἀνθρώπων ἐπινοῶν. εἰ γὰρ ἀνώτερον Θεοῦ, οὐκ ἐκ τοῦ Θεοῦ. γέγραπται „

Κορυνθ· α· „γὰρ τὸ δὲ πνεῦμα ἐκ τοῦ Θεοῦ. εἰ δὲ ἐκ τοῦ Θεοῦ, πῶς πρεσβύτερον ἐστὶ
κεφαλ. β· „τοῦ ἐξ οὗ ἐστί; τίς δὲ καὶ ἡ παράνοια, ἑνὸς ὄντος τοῦ ἀγεννήτου, ἄλλο τι λέ-
„γειν τοῦ ἀγεννήτου ἀνώτερον; ἀλλ' οὐδὲ τοῦ μονογενοῦς πρότερον. οὐδὲν γὰρ
„μέσον υἱοῦ καὶ πατρός. εἰ δὲ μὴ ἐστὶν ἐκ Θεοῦ, διὰ Χριστοῦ δὲ ἐστὶν, οὐ δὲ
„ἐστι τὸ παράπαν. ὥστε ἡ περὶ τὴν τάξιν καινοτομία, αὐτῆς τῆς ὑπάρ-
„ξεως ἀθέτησιν ἔχει. καὶ ὅλης τῆς πίστεως ἐστὶν ἄρνησις. Ἐνταῦθα σα-
φές ἐστιν ὅτι τὸ πνεῦμα τὸ ἅγιον, τοῦ μὲν πατρὸς οὐκ εἶναι πρότερον λέγει,
διὰ τὸ εἶναι ἐκ τοῦ Θεοῦ. τοῦ δὲ υἱοῦ μὴ εἶναι πρότερον, οὐ διὰ τὸ εἶναι
ἐξ αὐτοῦ, ἀλλὰ διὰ τὸ τὰ ὀνόματα ταῦτα, τὸν πατέρα καὶ τὸν υἱὸν μη-
δὲν παρεσπίεσθαι μέσον ἐν τῇ πρὸς ἀλλήλους ἀναφορᾷ τε καὶ τάξει. ὥστε καὶ
ἡμῖν καλῶς ἐλέγετο πρότερον, ὅτι προεπινοουμένου τοῦ υἱοῦ καὶ ὡσπερεὶ με-
σιτεύοντος διὰ τὸ μηδὲν αὐτοῦ καὶ τοῦ πατρὸς εἶναι μέσον, τὸ πνεῦμα
τρίτον πιστεύεται. οὐ διὰ τὸ πνεῦμα εἶναι ἐκ τοῦ υἱοῦ. οὐ δὲ διὰ τὸ τὴν
αὐτὴν τάξιν τῆς αἰτίας ἔχειν πρὸς τὸν υἱὸν, ἣν αὐτὸς ἔχει πρὸς τὸν πα-
τέρα· εἰ δὲ ὁ μέγας ἤδη Βασίλειος τὸ πνεῦμα πρὸς τὸν υἱὸν τοιουτοτρό-
πως ἀναφερόμενον, τῇ αὐτῇ γ' ἂν αἰτίᾳ τοῦ μὴ προτετάχθαι τοῦ υἱοῦ
τοῦτο ἐχρήσατο, καὶ εἶπεν ἄν, ὡς οὐδὲ τοῦ μονογενοῦς ἐστὶ πρότερον, διότι
οὐκ ἂν εἴη πρεσβύτερον, τοῦ ἐξ οὗ ἐστί, καὶ οὐκ ἂν ἐδεήσεν ἄλλην αἰτίαν
ἐπιζητεῖν, τὴν κυριωτέραν ἀφέντα καὶ μείζω. ἐλέγχει δὲ καὶ τὴν Μακε-
δονίου δόξαν πάνυ συντόμως. εἰ γὰρ μὴ ἐστὶ φησὶν ἐκ τοῦ Θεοῦ, διὰ Χρι-
στοῦ δὲ ἐστὶν (ὡς ἔλεγε Μακεδόνιος) οὐδὲ ἔστιν ὅλως. οὐδὲν γὰρ δύνα-
ται εἶναι διὰ Χριστοῦ, εἰ μὴ ἐκ Θεοῦ. ἐπεὶ δὲ καὶ ὁ Χριστὸς ἐκ τοῦ Θεοῦ
ἐστί. καὶ πᾶν εἴπερ ἂν ἐν Χριστῷ εἴη καὶ διὰ Χριστοῦ, ἐκ τοῦ Θεοῦ καὶ πα-
τρὸς τούτου εἶναι ἀνάγκη. οὐκ ἔλεγεν οὖν ὁ Μακεδόνιος τὸ πνεῦμα διὰ
τοῦ υἱοῦ εἶναι, ὡς ἡ .διὰ. πρόθεσις τῆς .ἐκ. διενήνοχε τὴν τῶν αἰτίων ὑ-
ποεμφαίνουσα τάξιν· οὕτω γὰρ ἂν ηὐσέβει κατά γε Λατίνους· οἳ λέγουσι τὸ
πνεῦμα ἐκ Θεοῦ δι' υἱοῦ ὑφίστασθαι. τὸν μὲν πατέρα, αἰτίαν νοοῦντες ἀρχι-
κὴν καὶ ἀναίτιον. τὸν δὲ υἱὸν, δευτέραν τε καὶ αἰτιατήν. καὶ ἄλλως ἀδύ-
νατον ἂν ἦν αὐτὸν οὕτω νοοῦντα τὸ δι' υἱοῦ, ἐκ μόνου τοῦ υἱοῦ λέγειν αὐτό.
ἀλλ' ἢ διὰ τοῦ υἱοῦ ἔλεγεν εἶναι, ὡς ἐκ τοῦ υἱοῦ ἀδιαφόρως ταῖς προθέσεσι

χρώ-

λεγόμενος. καὶ καθόσον ἡ .δια. τῇ .εκ. ἰσοδυναμεῖ ὡς ἐπὶ τῆς δημιουργίας ἔχει τῶν ὄντων· ἐπεὶ καὶ ποίημα τὸ πνεῦμα τοῦ υἱοῦ εἶναι ἐδόξαζε, καὶ διὰ τοῦτο ἔλεγεν αὐτὸ μὴ εἶναι ἐκ τοῦ Θεοῦ. ἢ τοῦ Μακεδονίου λέγοντος ἐκ τοῦ υἱοῦ. διὰ τοῦ υἱοῦ φησὶν ὁ θεῖος Βασίλειος. ἵνα τῇ μεταλήψει τῆς προθέσεως, τὴν τοῦ ἐλέγχου δύναμιν ἐκ πλείονος τῆς περιουσίας ἡμῖν ἐπεμφήνῃ. ὅτι κἂν πρὸς τὸ εὐφημότερον ἡ Μακεδονίου λέξις μεταβληθῇ, ὥστε καὶ χρῶμα τι ἀληθείας προσδέξασθαι, ἀλλ' ἡ θέσις αὐτοῦ καθάπαξ ἐλέγχεται. ἐκ τοῦ υἱοῦ μὲν γάρ φησιν οὐκ ἄν ποτε συγχωρήσειέ τις εἶναι. δι' υἱοῦ δὲ τὸ πνεῦμα καὶ λέγεται, καὶ ἀληθές ἐστι κατά τινα τρόπον. ἀλλ' εἰ καὶ ἀληθές ἐστιν οὕτως εἰπεῖν, ἀλλὰ μετὰ τῆς τοῦ Μακεδονίου προσθήκης, ψεῦδος ἐστὶ καὶ ἀδύνατον. τουτέστιν ὅτι διὰ τοῦ Χριστοῦ ἐστίν, οὐκ ἐκ τοῦ Θεοῦ. οὐδὲ μία γὰρ μηχανὴ, μὴ ὅτι γε τὸ πνεῦμα τὸ ἅγιον, ἀλλ' οὐδ' ὁπωσοῦν εἶναι δι' υἱοῦ, εἰ μὴ ἐκ Θεοῦ. ὥστε συμβήσεται κατὰ τὴν τοῦ Μακεδονίου θέσιν, οὐκ εἶναι τὸ πνεῦμα, εἴγε μὴ ἐστὶν ἐκ τοῦ Θεοῦ. ἐπεὶ δ' αὐτὸς εἶναι τὸ πνεῦμα ὁμολογεῖ, τὸ αὐτὸ ἔσται, καὶ οὐκ ἔσται. καὶ οὕτω δικαίως καὶ καλῶς ὁ Μακεδόνιος ἐξελέγχεται. ἅμα δὲ καὶ τῶν αἱρετικῶν χείριστος ἀποδείκνυται, εἰς παντελῆ ἀνυπαρξίαν τὸ πνεῦμα τὸ ἅγιον ἐκ τῆς ἀποφατικῆς ἐκείνης προσθήκης ἐκβάλλων. δοκεῖ μὲν γὰρ ἀπείργειν τὸ πνεῦμα τῆς φυσικῆς πρὸς τὸν πατέρα σχέσεως μόνον. αὐτὴν μέντοιγε τὴν ὕπαρξιν ἀναιρεῖ καθάπαξ τοῦ πνεύματος. Ποῦ τοίνυν ἐν τούτῳ τῷ λόγῳ τοιοῦτον τάξεως εἶδος ἐνέφηνεν ὁ διδάσκαλος, οἷον Λατῖνοι λέγουσιν; ἀλλ' οἷον ἡμεῖς λέγομεν, καὶ πάνυ καλῶς ἀνέδειξεν. οὐδὲ γὰρ δεῖ φησὶ προτάττεσθαι τοῦ υἱοῦ τὸ πνεῦμα, διό τι γένοιτ' ἂν οὕτω μέσον πατρὸς καὶ υἱοῦ. καὶ εἴη ἂν οὕτω τὸ πνεῦμα υἱός. καὶ οὐκ ἂν εἴη μονογενὴς ὁ υἱός. οἱ δὲ Λατῖνοι ταῦτα τε οὐ συνορῶσι, καὶ τὴν τοῦ διδασκάλου ῥῆσιν προτείνοντες, μορμολύττονται τοὺς ἁπλουστέρους τῶν ἡμετέρων. ἀκούετε φασίν, ὅπως ἡ περὶ τὴν τάξιν καινοτομία, τῆς πίστεως ἐστὶν ἄρνησις; οὐκοῦν ὑμεῖς καινοτομεῖτε περὶ τὴν τάξιν, ὥστε καὶ τὴν πίστιν ἀρνεῖσθε· ἀλλὰ ψεῦδος ἐστὶν ὦ 'γαθοί, ὅτι περὶ τὴν τάξιν καινοτομοῦμεν ἡμεῖς. τρίτον γὰρ ἀπὸ πατρὸς ἀριθμοῦμεν καὶ νοοῦμεν τὸ πνεῦμα.

καὶ ὃν τρόπον παρελάβομεν δοξολογίας διαφυλάττομεν, κατὰ τὸν θεῖον
φάναι Βασίλειον. ἅμα δὲ καὶ τὰς τῶν ὑποστάσεων ἰδιότητας, οὕτως ἀ-
παρασαλεύτως τηροῦμεν. καὶ τὴν ἐν αὐταῖς ἄκραν τῆς οὐσίας ἑνότητα
συμπρεσβεύομεν. ὑμεῖς δὲ αἴτιον τοῦ υἱοῦ τὸ πνεῦμα λέγοντες, καὶ τὸν
υἱὸν ἀρχὴν αὐτοῦ καὶ αἰτίαν, καινοτομεῖτε περὶ τὴν τάξιν· οὔτε γὰρ τὴν
ἐκ τῶν διδασκάλων ἐπάγεσθε συμμαχίαν σαφῶς οὖσαν. οὔτε τὸ εἰ-
κὸς ἔχετε μεθ' ἑαυτῶν. οὔτε πάσαις ἀνάγκαις εἰς ταύτην ἀφικνεῖσθε τὴν
δόξαν, ἐκ τοῦ τὸ πνεῦμα τρίτον ἀριθμεῖσθαί τε καὶ νοεῖσθαι, ἡμῖν ἐπιδείκ-
νυτε. καὶ πρὸς τούτοις πρᾶγμα πράττετε τολμηρότατον. οὐδὲ γὰρ
ἔξεστιν ὑμῖν τὸ ὄνομα τῆς τάξεως ἐκ τῶν διδασκάλων ἁρπάζουσι, τὸν τρό-
πον τῆς τάξεως οἴκοθεν ἐφευρέσκειν. ὑμῖν οὖν ἄρα ταῦτα τὸ τῆς και-
νοτομίας ἔγκλημα πρέπει. οἳ καὶ κατὰ τὴν λέξιν καὶ τὴν διάνοιαν κεκαινο-
τομήκατε φανερῶς· ἡμῖν δὲ ποῦ τοῦτο προσήκει; οἳ καὶ τὴν τάξιν ὁμο-
λογοῦμεν, καὶ περὶ τοῦ τρόπου τῆς τάξεως οὐδὲν προσπεριεργαζόμε-
θα; ἀλλὰ τῇ τῶν διδασκάλων ὑφηγήσει μόνῃ στοιχοῦμεν, τὸ καινοτομεῖν
τι περὶ τὴν τάξιν τῆς πίστεως, ἄρνησιν ἀκούοντές τε καὶ νομίζοντες εἶναι;
Γρηγ. ὁ καὶ ταῦτα μὴ ἀπὸ τῆς τοῦ μεγάλου Βασιλείου ῥήσεως. ὁ δὲ Νύσσης Γρη-
Νύσσ. ,, γόριος ἐν .ς. τῶν κατ' Εὐνομίου. Εἰ μὴ γὰρ εἰς τὸ δόγμα τῆς ἀλη-
,, θείας ἑώρα φησὶν ὁ Εὐνόμιος, καὶ μόνῃ τῇ τάξει κατὰ τὸ ἀκόλουθον τῶν ἐν
,, τῇ ἁγίᾳ Τριάδι πεπιστευμένων πραγμάτων τὴν διαφορὰν ἐλογίζετο,
,, τῆς συμφυοῦς ταύτης (ὥς φησι) τάξεως ἀσυγχύτου ποιουμένης τὴν τῶν
,, ὑποστάσεων κρίσιν, ὥστε καὶ κοινωνεῖν κατὰ τὴν οὐσίαν, καὶ διῃρεῖσθαι κατὰ
,, τὸν τῆς ὑποστάσεως λόγον οἴεσθαι, οὐκ ἂν πάντως ἐν τοῖς ὑπεναντίοις ἐ-
,, τέτακτο. ταῦτα λέγων, ὧν καὶ ἡμεῖς προϊστάμεθα. καὶ πάλιν ὁ αὐτός.
,, Ἀλλ' οὐδέπω καὶ νῦν ταύτης ἠκούσαμεν τῆς σοφίας, ἢ τὸ δεύτερον καὶ τρί-
,, τον ἔκ τινος ἀκολουθίας λεγόμενον, εἰς τὴν τῶν ὑποχειρίων καὶ ὑπο-
,, τεταγμένων ἀπωθεῖται τάξιν. ὅπερ οὗτος βούλεται, τὴν τῆς παραδόσεως
,, τῶν προσώπων ἀκολουθίαν, ἀξιωμάτων καὶ φύσεων ὑπεροχάς τε καὶ ἐλατ-
,, τώσεις κατασκευάζων ἐνδείκνυσθαι. ὁ δὲ Κύριλλος ἐν .ζ. τῶν πρὸς
Κύριλ. ,, Ἑρμείαν περὶ τοῦ πνεύματος οὕτω φησί. Τοιγάρτοι ἄρα τὸ τῆς οὐσίας
ταυ-

ταὐτόν, ἐφήρμοσται μὲν τῷ Θεῷ καὶ πατρί, καίτοι τρίτη κατὰ μόνην τῶν ὀνομάτων τὴν σύνταξιν ἐκφερομένη παρ' ἡμῖν ἡ τοῦ πνεύματος κλῆσις. ἐφήρμοσται δὲ τῷ υἱῷ. Καὶ μὴν ἐν τοῖς κατ' Εὐνομίου λόγοις ὁ θεῖος Βασίλειος τὴν τάξιν, εἴς τε τὴν φυσικὴν καὶ τὴν ἐπιτετηδευμένην, εἴτουν τεχνικὴν διελών, καὶ οὕτω πρὸς Εὐνόμιον ἀπαντήσας, πᾶσαν τάξιν οἰόμενον λέγεσθαι τινὸς προτέρου τοῦ τάττοντος, τὸ μὲν πρῶτον τῆς τάξεως σημαινόμενον ἀποδίδωσι τοῖς θείοις προσώποις. καὶ φησί, Πῶς ἐστὶν εὔ- Βασίλ.
λογον ἀρνεῖσθαι τὴν τάξιν, ἐφ' ὧν πρῶτον καὶ δεύτερον, οὐ κατὰ τὴν ἡμετέραν θέσιν, ἀλλ' ἐκ τῆς κατὰ φύσιν ἐνυπαρχούσης ἀκολουθίας. εἶτα ἐπάγει. ἡμεῖς δὲ κατὰ μὲν τὴν τῶν αἰτίων πρὸς τὰ ἐξ αὐτῶν σχέσιν, προτετάχθαι τοῦ υἱοῦ τὸν πατέρα φαμέν. κατὰ δὲ τὴν τῆς φύσεως διαφοράν, οὐκέτι. Οὐ προστίθησι τοίνυν ἐνταῦθα, καὶ τὸν υἱὸν προτετάχθαι τοῦ πνεύματος, κατὰ τὴν ὁμοίαν σχέσιν. οὐχ ὅτι περὶ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ τό γε νῦν ἔχον ἡ τῶν λόγων πρόθεσις ἦν. ἀλλ' ὅτι μηδ' ἀληθὲς οὕτω λέγειν. εἰ γὰρ καὶ πόρρω τοῦτο τῆς προθέσεως ἦν, οἰκείως ὅμως ἂν εἶχεν εἰρῆσθαι. οὐδὲ πολλῶν ἀπεδέησε λέξεων. ἀλλ' εἰπών, προτετάχθαι τοῦ υἱοῦ τὸν πατέρα φαμέν, προσέθηκεν ἂν καὶ τὸν υἱὸν τοῦ πνεύματος. ὅτι δὲ κατὰ τὴν τῶν αἰτιατῶν πρὸς τὴν ἰδίαν αἰτίαν διάφορον σχέσιν τε καὶ ἀναφοράν, θάτερον τῶν αἰτιατῶν τοῦ λοιποῦ προτέτακται, τοῦτο σεσιώπηκεν, ὡς τοῖς εἰρημένοις καλῶς συναναφαινόμενον· εἰ γὰρ ἡ πρὸς τὸν υἱὸν τοῦ πατρὸς τάξις, ἐκ τῆς κατὰ φύσιν ἐνυπαρχούσης ἀκολουθίας ἐστίν, ὅτι τῷ λογισμῷ τοῦ αἰτιατοῦ προεπινοεῖται τὸ αἴτιον, σύνεστι δὲ ἀδιαστάτως ὁ υἱὸς τῷ πατρί, μηδὲ τῆς τῶν ὀνομάτων ἀκολουθίας, μήτοιγε τῆς τῶν πραγμάτων φύσεως, τὸν χωρισμὸν δεχομένης, εὔδηλον ὅτι καὶ ἡ πρὸς τὸ πνεῦμα τοῦ υἱοῦ τάξις, ἐκ τῆς κατὰ φύσιν ἀκολουθίας ἐστί. τοῦ γὰρ υἱοῦ κατὰ φύσιν καὶ ἀληθῶς τῷ πατρὶ συνημμένου τε προσεχῶς καὶ ἀδιαστάτως συντεταγμένου, τὸ πνεῦμα λοιπὸν ὡς ἕτερόν τινα τρόπον προϊὸν ἐκ τοῦ Θεοῦ, μετὰ τὸν υἱὸν ἀριθμεῖται. εἰ καὶ αὐτὸ φυσικῶς τε καὶ προσεχῶς ἐκ τῆς αὐτῆς αἰτίας ἀνίσχει. διὸ καὶ οὐδὲν ἧττον ἐστὶ μετὰ τοῦ υἱοῦ. τοῦτο δ' ἀρκούντως ἐν ἄλλοις ἐδείκνυεν ὁ μέγας οὗτος διδάσκαλος, λέγων, Μετὰ τὸν υἱὸν Ὁ αὐτός.

» καὶ σὺν αὐτῷ γνωρίζεσθαι, ἐκ δὲ τοῦ πατρὸς ὑφεστάναι τὸ πνεῦμα τὸ ἅ-
» γιον. καὶ ὁ Νύσσης ἐπιμαρτυρεῖ Γρηγόριος, ἄλλην εἶναι λέγων διαφο- (Γρηγ. ὁ Νύσσ.)
» ρὰν τοῦ υἱοῦ πρὸς τὸ πνεῦμα, καὶ οὐ τὴν κατὰ τὸ αἴτιον καὶ αἰτιατόν· καὶ
» ὑπὸ τῆς τοῦ υἱοῦ μεσιτείας, τῷ τε υἱῷ τὸ μονογενὲς φυλάττεσθαι φάσ-
» κων, καὶ τὸ πνεῦμα τῆς φυσικῆς πρὸς τὸν πατέρα σχέσεως οὐκ ἀπείργεσθαι. οὔτε γὰρ ἐκεῖνος ἐκ τοῦ υἱοῦ φησὶν εἶναι τὸ πνεῦμα, ἀλλὰ μετὰ τὸν υἱόν, καὶ σὺν αὐτῷ. οὔθ᾽ οὗτος, ἢ τὴν αὐτὴν εἶπεν εἶναι διαφοράν, ἢ διὰ τῆς τοῦ υἱοῦ μεσιτείας, τὸ τῆς αἰτίας ἀξίωμα καὶ πρὸς αὐτὴν διαβαίνειν ἐκ τοῦ πατρός. ἀλλὰ μόνον τὸ μονογενὲς αὐτῷ φυλάττεσθαι εἶπε· καὶ τὸ πνεῦμα τῆς φυσικῆς πρὸς τὸν πατέρα σχέσεως οὐκ ἀπείργεσθαι. τουτέστι καὶ τοῦ υἱοῦ μεσιτεύοντος, οὐδὲν ἧττον ἐκ τοῦ πατρὸς ἀμέσως προϊέναι καὶ προσεχῶς. Οἱ μὲν οὖν διδάσκαλοι, κατὰ μόνην τῶν ὀνομάτων τὴν σύνταξιν, τὸ πνεῦμα τρίτον εἶναί φασι. καὶ διὰ τὸ μηδὲν εἶναι δύνασθαι μέσον πατρὸς καὶ υἱοῦ. μηδὲ τὴν τοῦ μονογενοῦς τάξιν πρὸς ἄλλο θεῖον μεθίστασθαι πρόσωπον. καὶ διὰ τὴν ἀκολουθίαν τῆς παραδόσεως τῶν θείων προσώπων. ἀκολουθεῖ γὰρ υἱὸς πατρὶ κατά τε τοὔνομα καὶ τὴν ἰδιότητα τοῦ ὀνόματος. καὶ οὔτε πρότερος ἐστὶν (ἀμήχανον γὰρ προεπινοεῖσθαι τοῦτον τῆς ἰδίας αἰτίας) οὔτε τοῦ δευτερείου ἄλλῳ παραχωρεῖ. αὐτὸς γὰρ μόνος ἐστὶν υἱός. καὶ τοιαῦτά τινά φασιν, ἄνω καὶ κάτω περὶ τῆς τάξεως τῶν θείων ὑποστάσεων οἱ διδάσκαλοι, ἁπλᾶ τε καὶ γνώριμα, καὶ σαφῆ τὴν ἀνάγκην ἔχοντα λέγοντες.

ΚΕΦΑΛΑΙΟΝ λγ.

Ὅτι οἱ Λατῖνοι προβάλλοντες τὸν υἱὸν τοῦ πνεύματος ὡς αἴτιον αὐτοῦ, οὐδὲν ἀναγκαῖον λέγουσιν. ἀλλ᾽ ἔκ τινων κοσμικῶν ὑποδειγμάτων τοῦτο δεικνῦναι πειρῶνται. ἅπερ ἀνόμοια τῷ προκειμένῳ δείκνυται. καὶ ὅτι οὐκ ἔστιν ὁ υἱὸς ἐξ ἀνάγκης μέσος ἐν τοῖς θείοις προσώποις.

Οἱ δὲ Λατῖνοι τὴν τάξιν τῶν θείων προσώπων, οὐκ ἐκ τῆς ἀκολουθίας τῶν ὀνομάτων καὶ τῆς ἐνυπαρχούσης αὐτοῖς ἰδιότη-

τος

πως εἶναι λέγουσιν· ἀλλὰ διὰ τὸ τῆς αἰτίας ἀξίωμα. οὗ χάριν ἀεὶ προτέτακται τοῦ αἰτιατοῦ τὸ αἴτιον. ὅθεν τὸ πνεῦμα λέγουσιν ἔσχατον εἶναι. ᾧ μηδαμῶς οὐ τῆς αἰτίας ἀξιώματος μέτεστιν ἔνδον ἐν τῇ θεότητι. τὸν δὲ υἱὸν τάττουσι μέσον, ὡς οὐκ ἀνεπίμικτον ἔχοντα τὸ τῆς αἰτίας ἰδίωμα. τὸν δὲ πατέρα προτάττουσιν, ὡς εἰλικρινῶς αἴτιον. ὁ μὲν γὰρ πατὴρ φασὶν, αἴτιός ἐστι μόνον. τὸ δὲ πνεῦμα, αἰτιατὸν μόνον. ὁ δὲ υἱὸς καὶ αἴτιος ὁμοῦ, καὶ αἰτιατὸς ὁ αὐτός. τὸ μὲν τῇ πρὸς τὸν πατέρα, τὸ δὲ τῇ πρὸς τὸ πνεῦμα ἀποβλέψει· καὶ ὑποδείγματι βεβαιοῦντες ταύτην τὴν θέσιν, ὥσπερ ἐν τοῖς τελείοις συλλογισμοῖς φασὶ, θάτερον μὲν τῶν ἄκρων κατηγορούμενον ἐστὶ· θάτερον δὲ ὑποκείμενον. τῷ δὲ μέσῳ, καὶ αἱ ἑκατέρου τῶν ἄκρων ἐνυπάρχουσιν ἰδιότητες. καὶ κατηγορεῖται τὸ αὐτὸ, καὶ ὑπόκειται. ἢ καθάπερ ὁ Σὴθ, γέγονε μὲν ἐξ Ἀδὰμ, γεγέννηκε δ' αὐτὸς τὸν Ἐνώς. ἢ καθάπερ ἡ Εὔα, γεγέννηται μέν πως ἐκ τοῦ Ἀδὰμ, προήγαγε δ' αὐτὴ τὸν Σήθ. ταῦτα δὲ πάντα, ἀδύνατον ἐστὶ τοῖς θείοις ἁρμόττειν πράγμασιν. οὐ διὰ τὴν ὕλην καὶ τὴν σύνθεσιν καὶ τὸν χρόνον. ὧν ἄνευ τὸ θεῖον ἐστὶ (ταῦτα γὰρ καὶ πᾶσι τοῖς ἐκ τῶν κτιστῶν λαμβανομένοις ὑποδείγμασι σύνεστιν. ἀλλ' οὐδὲν ἧττον αὐτοῖς χρώμεθα πρὸς τὴν τῆς ἀληθείας φανέρωσιν. ἕν τι δι' ὃ παραλαμβάνεται προσιέμενοι, τἄλλα δ' ἀποθέμενοι) ἀλλὰ δι' αὐτὸ δὴ τοῦτο δι' ὃ παραλαμβάνεσθαι οἰκείως δοκεῖ, μάλιστα ἀνοικείως ἔχει. τουτέστι διὰ τὴν τοῦ μέσου τάξιν, ἀνομοίως ἐπ' αὐτῶν τε καὶ τῶν προκειμένων παντάπασιν ἔχουσαν. οἷον εὐθὺς ἐν τῷ συλλογισμῷ, ἕνωσις ἐστὶν ὁ μέσος ὅρος, καὶ αἴτιος τοῦ τὸν συλλογισμὸν εἶναι. καὶ διὰ τοῦτο μείζω τῶν ἄκρων ἔχει τὴν δύναμιν. ἔδει δ' ἂν οὕτω καὶ τὸν υἱὸν αἴτιον ὑπάρχειν τῆς μακαρίας Τριάδος, ὡς δὴ σύνδεσμόν τινα ἀμφοτέρων τῶν ἄκρων, καὶ τῆς ἐν τοῖς τρισὶν ἑνότητος ποιητικόν. ἀλλ' εἰς τοὐναντίον ἐστὶν ὁ μέγας ἐν θεολογίᾳ Γρηγόριος. ἐν γὰρ τῷ συνακτηρίῳ λόγῳ φησί. Φύσις δὲ τοῖς " Γρηγ. θεολ
" τρισὶ, μία. ἕνωσις δ' ὁ πατὴρ, ἐξ οὗ καὶ πρὸς ὃν ἀνάγονται, τὰ ἑξῆς.
" οὐχ ὡς συναλείφεσθαι, ἀλλ' ὡς ἔχεσθαι. καὶ αὖθις ἐν τῷ περὶ θεολογίας καὶ καταστάσεως.
" Τηροῖτο δ' ἂν ὡς ἐμὸς λόγος. εἷς μὲν Θεὸς, εἰς ἓν " Ὁ αὐτός.

αἴτιον

» αἴτιον υἱοῦ καὶ πνεύματος διαφερομένων. Οὐκοῦν εἰ ὥσπερ ἔδει τινὰ τῶν θείων ὑποστάσεων τῷ τοῦ συλλογισμοῦ παρεικάζειν μέσῳ, καθὸ ἐστὶν ἕνωσις ἀμφοτέρων τῶν ἄκρων, καὶ τοῦ τὸν συλλογισμὸν εἶναι αἴτιον, τὴν πατρικὴν ἐχρῆν αὐτῷ παρεικάζειν ὑπόστασιν. πλὴν ὅτι μὴ κοινωνεῖ τῶν ἑκατέρου τῶν ἄκρων ἰδιοτήτων, καθάπερ ὁ μέσος ὅρος ἐκεῖ. τὸν δὲ υἱὸν πῶς ἐστὶν οὕτω μέσον εἰπεῖν, ὃς ἕνωσις μὲν οὐκ ἔστι τῶν ὑποστάσεων οὕτω, τῶν δὲ ἰδιωμάτων ἑκατέρας οὐ κεκοινώνηκεν· οὔτε γὰρ ἀγέννητός ἐστιν, οὔτ᾽ ἐκπορευτός. καὶ εἰκότως. αἱ γὰρ τῶν ὑποστάσεων ἰδιότητες, ἀμιγεῖς τε καὶ ἀκοινώνητοι, κατὰ τὰς τῶν ἱερῶν διδασκάλων ὑποθέσεις εἰσίν. ὅτι δὲ τὸ ὑποκεῖσθαι καὶ κατηγορεῖσθαι, πρὸς τὰς τῶν θείων προσώπων παραβόλους, οὐδὲν ἔχει κοινόν. καὶ ὅτι τὸ μεῖζον καὶ ἔλαττον οὐκ ἔχει χώραν ἐπὶ τῶν θείων, δι᾽ ὃ τὰ τῶν συλλογισμῶν ἄκρα προσαγορεύεται, καὶ τὰς ἄλλας ἀνομοιότητας τοῦ ὑποδείγματος ἐξετάζειν τε καὶ δεικνύναι, παρέλκον ἂν εἴη, μηδενὸς ταῦτα ἀγνοοῦντος. ὁ δὲ Σὴθ, γέγονε μὲν ἐξ Ἀδάμ, οὐχ ᾗ δὲ γεγέννηται, ταύτῃ τὸν Ἐνὼς αὐτὸς γεγέννηκεν. ἀλλ᾽ ᾗ τὴν ἐν αὐτῷ γεννητικὴν δύναμιν εἰς ἔργον ἐξήνεγκεν. οὐδὲν δὲ τῷ Ἐνὼς γεννωμένῳ συνήνεγκε, τὸ τὴν δύναμιν ἐκείνην τῷ Σὴθ ἐκ τοῦ Ἀδὰμ ποτὲ μετὰ τῆς φύσεως ἐγγενέσθαι. ὅθεν καὶ κατὰ συμβεβηκός ἐστιν αἴτιος τοῦ Ἐνὼς ὁ Ἀδάμ. καθ᾽ αὑτὸν δὲ καὶ πρώτως, ὁ Σήθ. ἀλλ᾽ ἐπὶ τοῦ προκειμένου

Γρηγ. » τοὐναντίον ἐστίν. Ἓν γὰρ πρόσωπον καὶ τὸ αὐτὸ τοῦ πατρὸς, ἐξ οὗπερ ὁ υἱὸς

ὁ Νύσ. » γεννᾶται, καὶ τὸ πνεῦμα τὸ ἅγιον ἐκπορεύεται, ὁ Νύσσης ἔφη Γρηγόριος.

Αὐγουστ. » καὶ Αὐγουστῖνος δὲ, Τὸ πνεῦμα κυρίως φησὶν ἐκ τοῦ πατρὸς ἐκπορεύεσθαι.

Ἀλλ᾽ οὐδὲ τὸν αὐτὸν τρόπον ὁ υἱὸς τὸ πνεῦμα παράγει, ὃν αὐτὸς ἐκ τοῦ πατρὸς προελήλυθεν. οὐ γὰρ γεννᾷ τοῦτο. ὁ δὲ Ἐνὼς ἐκ τοῦ Σὴθ, τὸν αὐτὸν προελήλυθε τρόπον, ὃν ἐκεῖνος ἐκ τοῦ Ἀδὰμ ἔφθη προεληλυθώς. ἀλλὰ μὴν καὶ ἡ Εὔα, προάγει μὲν αὐτὴ τὸν Σὴθ μετὰ τοῦ Ἀδάμ, καίτοιγ᾽ ἐκ τοῦ Ἀδὰμ καὶ αὐτὴ προεληλυθυῖα, ἀλλ᾽ οὐ κατὰ τὸν αὐτὸν τῆς αἰτίας λόγον, ἄμφω προάγουσιν. οὐ λέγω δὲ, ὅτι ἡ μὲν προσεχῶς, ὁ δὲ διὰ τῆς Εὔας καὶ προσεχῶς. ἀλλ᾽ ὅτι ὁ μὲν, ποιητικὴ αἰτία τοῦ Σὴθ ἐστίν. ἡ δὲ, ὑλική. διὸ καὶ ὁ Σὴθ, σύνθετός ἐστιν. ἐκ μὲν τῆς μητρὸς, τὴν ὕλην· ἐκ δὲ τοῦ

πατρὸς,

πατρὸς, τὸ εἶδος παρειληφὼς. οἱ δὲ Λατῖνοι φασὶν, εἰδότως τὸ πνεῦμα
ἐκ πατρὸς προάγεσθαι καὶ υἱοῦ. καὶ μίαν τῷ τε εἴδει, τῷ τε ἀριθμῷ,
τὴν ἐνέργειαν λέγουσιν εἶναι πατρὸς καὶ υἱοῦ, ἐν τῷ τὸ πνεῦμα προάγειν.
Οὐδὲ μία ἄρα τῶν τοιούτων μεσοτήτων, ὡς ἐν ὑποδείγματος λόγῳ τῇ
τοῦ υἱοῦ μεσιτείᾳ, ἢ τοῖς θείοις προσώποις, ἁρμόττειν δύναται, ὥστε καὶ δι'
αὐτῶν, τὸν υἱὸν ἀνὰ μέρος αἴτιον καὶ αἰτιατὸν ἡμᾶς οἴεσθαι πείθεσθαι. καὶ
οὕτω δῆλόν ἐστι τὸν υἱὸν μὴ κοινωνεῖν τῷ πατρὶ τῆς αἰτίας. ἀλλὰ μόνον
τῷ πνεύματι, τῆς τοῦ αἰτιατὸν εἶναι κοινωνεῖν ἰδιότητος, ὡς οὕτως εἰπεῖν.
τοῦτο δὲ καὶ οἱ τῶν διδασκάλων λόγοι βεβαιοῦσι καλῶς. αἰτιατὰ μὲν
γάρ φασι πάντες τὸ πνεῦμα καὶ τὸν υἱόν· καὶ τὸ ἐξ αἰτίας ὂν εἰπόντες ὁ-
μοῦ τὸν υἱὸν καὶ τὸ πνεῦμα, αὖθις ὑποδιαιροῦσι τῷ τρόπῳ. αἴτιον δὲ τὸν
υἱὸν οὐδαμοῦ λέγουσιν. οὐδὲ ἓν αἴτιον τὸν πατέρα καὶ τὸν υἱόν. οὐδὲ δύο
αἴτια. ὁ μὲν γὰρ Νύσσης Γρηγόριος, διαιρεῖ μὲν εἰς αἴτιον καὶ αἰτιατὸν
εὐθύς. εἶτα τὸ μὲν αἴτιον, οὐχ ὑποδιαιρεῖ. διελὼν ἂν πάνυ, εἴπερ τούτου
πῃ μετεῖχε καὶ ὁ υἱός. τὸ δὲ αἰτιατὸν, ὅπερ ἐστὶν ὁ υἱὸς καὶ τὸ πνεῦμα,
ὑποδιαιρεῖ τῷ τρόπῳ τοῦ αἰτιατὸν εἶναι· φησὶ γάρ. Καὶ τοῦ ἐξ αἰτίας „ Γρηγ.
ὄντος, πάλιν ἄλλην διαφορὰν ἐννοοῦμεν. καὶ πάλιν ὁ αὐτός. διὸ καὶ κυ- „ ὁ Νύσ.
ρίως τὸν ἕνα αἴτιον μετὰ τῶν αὐτοῦ αἰτιατῶν, ἕνα Θεὸν φαμὲν τεθαῤῥη- „
κότες. καὶ ὁ μέγας Γρηγόριος. Εἰς ἓν αἴτιον υἱοῦ καὶ πνεύματος ἀναφερο- „ Γρηγ. θεολ
μένων φησί. καὶ ὁ ἱερὸς στουδίτης Θεόδωρος. Πατρὶ μὲν φησὶ, τὴν ἀγεννησίαν „ Θεόδωρ.
καὶ τὸ αἴτιον τῶν ἐξ αὐτοῦ νέμοντες. υἱῷ δὲ, τὴν γέννησιν· πνεύματι δὲ, „ ὁ στουδίτ.
τὴν ἐκπόρευσιν. Ὅτι δὲ καὶ ἀρνοῦνται τὸν υἱὸν αἴτιον εἶναι, καὶ μόνον αἴ-
τιον εἶναι τὸν πατέρα φασὶ, τοῦτο δείξομεν ὕστερον. ἀλλὰ νῦν δῆλον ἐ-
στὶν ἐκ τῶν εἰρημένων, ὡς οὔτε διὰ τὸ κοινωνεῖν τῆς ἰδιότητος τῶν ἄλλων
θείων προσώπων, μέσος ἐστὶν ὁ υἱός. οὔτε διὰ τὸ μέσος εἶναι, καὶ αἰτια-
τὸς ἐστὶν ἅμα καὶ αἴτιος. δι' ὧν γὰρ οἱ Λατῖνοι καὶ λόγων καὶ εἰκόνων, ταῦτα
πειρῶνται πείθειν ἡμᾶς, οὐδὲν ἀνάγκης φαίνεται ἔχοντα. δῆλον δὲ γέ-
νοιτο τοῦτο κἀντεῦθεν. σαφὲς γὰρ ἐστὶν ὡς οὐ κατὰ πᾶσαν ἀπόβλεψιν ἐστὶ
μέσος ὁ υἱός. οὐδ' ἐστὶν ἀληθὲς ὡρισμένους εἰπεῖν, τὸν υἱὸν εἶναι μόνον μέ-
σον ἐν τοῖς θείοις προσώποις. ἀλλ' ὅτε πατὴρ μέσος ἐστὶν ὡς ἕνωσίς τις

καὶ συναγωγὸς τῶν ἐξ αὐτοῦ προϊόντων θείων προσώπων, ἐν τῷ πρὸς αὐτὸν ἀναφέρεσθαι. οὕτω τοῦ μεγάλου Γρηγορίου διδάσκοντος, ὡς ἔναγχος εἴρηται. καὶ τὸ πνεῦμα μέσον υἱοῦ καὶ πατρὸς ἐπινοεῖταί πως. ὡς αὐτὸς οὗτος ὁ μέγας λέγει Γρηγόριος, καὶ ὁ θεῖος Δαμασκηνός, μέσον αὐτὸ φάσκοντες ἀγεννήτου καὶ γεννητοῦ. καὶ αὐτοὶ δὲ Λατῖνοι μέσον εἶναι τὸ πνεῦμα βούλονται. ἀγάπην γὰρ τοῦτο καὶ ἔρωτα ἀμοιβαῖον τοῦ πατρὸς ἀποκαλοῦσι καὶ τοῦ υἱοῦ. ἐκ τῆς ἐν ἡμῖν τοῦτο παρειληφότες εἰκόνος, ὡς πολλάκις εἴρηται πρότερον. ὁ δὲ ἔρως δύναμις τίς ἐστιν ἐρωτική, κατὰ τὸν ἱερὸν Διονύσιον. καὶ ἡμεῖς δ' οὐκ ἀρνούμεθα τὸ πνεῦμα τὸ ἅγιον, καθάπερ σύνδεσμόν τινα τῶν θείων ὑποστάσεων εἶναι, ὡς δὴ πνεῦμα κοινόν. εἰ γὰρ πᾶσι τοῖς κοινοῖς ὁ πατὴρ καὶ ὁ υἱὸς συνάπτονται, καθὰ δή που τοῖς ἀκοινωνήτοις καὶ ἰδιάζουσι διαιροῦνται, πολλῷ μᾶλλον τῷ πνεύματι συναχθήσονται. ὅπερ οὐδέν ἐστιν ἕτερον, ἢ ἡ θεία φύσις αὐτὴ μετὰ τῆς προσωπικῆς ἰδιότητος. καὶ κοινόν ἐστιν ἀμφοῖν, πνεῦμα πατρός, καὶ υἱοῦ πνεῦμα τυγχάνον. οὐκοῦν εἰ καὶ ὁ πατὴρ μέσος εἶναι θεολογεῖται, καὶ τὸ πνεῦμα μέσον δείξεται, οὐκ ἔτ' ἂν ἐξ ἀνάγκης ὁ υἱὸς μέσος εἴη. οὔκουν οὐδ' ἐξ ἀνάγκης ἂν αἴτιος εἴη διὰ τὸ μέσος εἶναι. εἰ γὰρ οὐκ ἐξ ἀνάγκης μέσος, πῶς αἴτιος ἐξ ἀνάγκης; εἴγε καὶ τῷ μέσον εἶναι, τὸ αἴτιον εἶναι ἕπεται. νῦν δὲ οὐδὲ τοῦτο ἐστὶν ἀληθές. μέσον γὰρ καὶ τὸ πνεῦμά πως ἐστίν. ἀλλ' οὐκ ἔστιν ὁ υἱὸς ἐξ αὐτοῦ· καὶ μέσος ἐστὶν ὁ πατὴρ ἕτερόν τινα τρόπον, ἀλλ' οὐκ ἔστιν αἰτιατὸς τοῦ υἱοῦ, οὐδὲ τῆς ἑκατέρου τῶν ἄκρων ἰδιότητος κοινωνεῖ.

ΚΕΦΑΛΑΙΟΝ λδ.

Καθόλου περὶ τῆς ἐν τοῖς θείοις προσώποις μεσιτείας. καὶ πῶς μὲν ἐστὶν ὁ πατὴρ μέσος. πῶς δ' ὁ υἱός. πῶς δὲ τὸ πνεῦμα τὸ ἅγιον.

Ἀλλ' ὡς ἂν ἡμῖν ὁ περὶ τῆς μεσιτείας ἐν τοῖς θείοις προσώποις ὡς οἷόν τ' ἀληθέστατα λόγος ἀποδοθῇ, μεσιτεία μὲν χρόνου ἢ τόπου

ἢ

ἀξίας, ἐκ τῶν θείων προσώπων ἀπελήλαται πᾶσα· ἔξω γάρ εἰσι καὶ χρονικῆς πάσης καὶ τοπικῆς διαστάσεως, καὶ τῆς κατὰ τὴν ἀξίαν ὑπεροχῆς καὶ ὑφέσεως. οὐδὲ ἔστιν ἐκεῖ θεῖναι τὶ πρῶτον ἢ δεύτερον. ἢ ἄνω καὶ κάτω. ἢ μεῖζον καὶ ἔλαττον. ἀλλὰ μὴν καὶ τὸ ἐν τοῖς ἤθεσι μέσον, ἐκεῖ χώραν οὐκ ἔχει. τοῦτο γὰρ ἐστὶ τὸ ἄριστον καὶ τὸ εὖ κατὰ τὰς περιστάσεις ἐν ταῖς ἠθικαῖς ἐνεργείαις ἢ ἕξεσιν. ἡ δὲ θεία φύσις, ἁπλουστάτη τε ἐστὶ καὶ ἀρίστη. καὶ διὰ τοῦτο τὸ ἄριστον, καὶ τὸ εὖ, ἐν πάσαις ταῖς ὑποστάσεσιν ὁμοίως ἐστί. καὶ καθάπερ οὐκ ἔστιν εὑρεῖν τοῦ ἑνὸς Θεοῦ μέσον, οὕτως οὐδὲ τῶν τριῶν ὑποστάσεων. Ἓν γὰρ τὰ τρία, καὶ τὰ τρία ἕν, τὰ ἐν οἷς ἡ θεό- „ Γρηγ. θεολ.
της. ἢ τό γ᾽ ἀκριβέστερον εἰπεῖν, ἃ ἡ θεότης, ὁ μέγας εἶπε Γρηγόριος. ἀλλ᾽ οὐδὲ κατά τινα μίξιν τῶν ἐναντίων, ἡ μεσότης ἐστὶν ἐκεῖ. οὐδὲ μία γὰρ ἐκεῖ ἀντίθεσις, οὐδὲ σύνθεσις, οὐδὲ φθορά, οὐδὲ τὸ μᾶλλον καὶ ἧττον ἐστίν. ἀλλ᾽ ἐπὶ τὰς θείας ὑποστάσεις ἐκείνας, ἐν τῇ ἄκρως ἁπλουστάτῃ τῆς οὐσίας ἑνότητι, ὁ προσωπικὸς διακρίνει λόγος, τοῦ θείου Γρηγορίου θεολογοῦντος ἐν τῷ περὶ τοῦ πνεύματος λόγῳ. Ὡς αὐτὸ τὸ μὴ γεγεν- „ Ὁ αὐτός.
νῆσθαι, καὶ τὸ γεγεννῆσθαι, καὶ τὸ ἐκπορεύεσθαι. τὸν μὲν πατέρα, τὸν δὲ „
υἱόν, τὸν δὲ τοῦθ᾽ ὅπερ λέγεται πνεῦμα ἅγιον προσηγόρευσεν. ἵνα τὸ ἀ- „
σύγχυτον σώζηται τῶν τριῶν ὑποστάσεων, ἐν τῇ μιᾷ φύσει τε καὶ ἀξίᾳ „
τῆς θεότητος. Ἐπεὶ τοίνυν τοῦθ᾽ οὕτως ἔσχεν, οἱ τῆς Ἐκκλησίας διδάσκαλοι τὸ τῶν ὑποστάσεων διατηροῦντες ἀσύγχυτον, περὶ τῆς ἐν αὐταῖς τάξεως πλεῖστον ποιοῦνται λόγον. καὶ ταύτην τὴν τάξιν, ἐκ τῶν ὀνομάτων αὐτῶν καὶ τῶν ἰδιωτήτων ἀθροίζουσιν. ὅθεν καὶ συμβέβηκεν αὐτοῖς, ποικίλως μὲν τὴν τῶν ὑποστάσεων ἐκείνων τάξιν δείξεσθαι· ἀληθεύειν δὲ διὰ πάντων. ὅτι πρὸς διαφόρους ἀποβλέψεις, διαφόρως τὰ θεῖα πρόσωπα συναριθμοῦσι τε καὶ συντάττουσι. καὶ ὅτι καθὼς ἂν συντάξειαν, ἡ πραγματικὴ τῶν θείων προσώπων διατηρεῖται λίαν ἀντίθεσις. πρὸς ἣν προὔργου τὸ τῆς τάξεως ἀγαθὸν συντελεῖ. καὶ ἧς ἀκεραίου φυλαττομένης, οὐδὲν διοίσει ταῦτα τάττειν καὶ ἀριθμεῖν, ὅ πως τις βούλοιτο. καὶ τὴν μὲν τάξιν ἐκείνην, ἣν ὁ θεῖος παραδέδωκε λόγος, ἀπαρασάλευτον διατηροῦσιν οἱ ἱεροὶ πατέρες ἡμῶν, κἂν τῷ βαπτίσματι, κἂν πάσαις ὁμολο-

γίαις. ἐξ αὐτῆς δ᾽ ἀποσπῶσι καὶ πρὸς αὐτὴν ἀναφέρουσιν. ὅπερ ἂν αὐτοῖς περὶ τῆς τάξεως ἐπινοηθείη τε καὶ ῥηθείη, πρὸς τὴν ἑκάστοτε συμβαίνουσαν χρείαν. ἡ γὰρ φύσις καὶ ἰδιότης τῶν ὀνομάτων, ἀείσῃ τάξεως διδάσκαλος γίνεται. καὶ οὐκ ἔστιν ἐκείνην διατηροῦντα τινὰ, πεπλανημένον τι τεκεῖν νόημα, ἢ ἀσύμβατον. αὐτίκα τοίνυν, ἐπειδὰν πρὸς τὸν τῆς αἰτίας ἀποβλέπωσι λόγον, καὶ τῆς ἀρχῆς, ἐξ ἧς τὸ εἶναι καὶ ἡ θεότης, καὶ πάντα τὰ τῆς ἀρχῆς ἀγαθὰ, τοῖς ἐξ αὐτῆς προϊοῦσι θείοις προσώποις, συμφυῶς καθήκει καὶ ὁμοτίμως. καὶ διὰ τοῦτο εἷς ἐστὶ Θεὸς, αὐτή τε ἡ πρώτη πάντων ἀρχὴ, καὶ τὰ ἐξ αὐτῆς συμφυῶς προϊόντα καὶ ὁμοτίμως, ὥσπερ τι μέσον τὸν πατέρα φαντάζονται. ἐγκείμενον μὲν διὰ τὴν ἰσοτιμίαν τῆς φύσεως, καὶ τὸ συνεκτικὸν τῶν ἀπ᾽ αὐτοῦ προϊόντων. ὅτε δὴ καὶ στήθει μὲν αὐτὸν, ἐκεῖνα δὲ βραχίονι παρεικάζουσιν. ὑπερκείμενον δὲ, διὰ τὸ ἀξίωμα τῆς ἀρχῆς. ὅτε δὴ καὶ πηγὴν μὲν αὐτὸν, ἐκεῖνα δὲ ἀκτῖνα δίδυμον. καὶ ῥίζαν μὲν αὐτὸν, ἐκεῖνα δὲ κλάδους, καὶ ἄνθη καὶ καρποὺς τῆς ῥίζης ἐκεῖνα ἀποκαλοῦσιν. ὁπόταν δὲ πρὸς τοὺς τῶν ὑποστάσεων ἀποβλέψωσι λόγους, μέσον τὸ πνεῦμα καλοῦσι. καθ᾽ ὁμοιότητά πως τῶν μέσων ἐκείνων ἐν τοῖς κτιστοῖς. ἃ τῇ ἀποφάσει τῶν ἄκρων ὁρίζονται. οὔτε γὰρ γεννητόν ἐστι τὸ πνεῦμα ὡς ὁ υἱὸς, οὔτε ἀγέννητον ὡς ὁ πατήρ. εἰ δέ τις βούλοιτο καὶ τὴν μεσιτείαν ἐκείνην, ἣν οἱ πολλοὶ τῶν τοῖς Λατίνοις προστεθειμένων ἀποδιδόασι τῷ υἱῷ, φάσκοντες τῆς κατὰ τὸ αἴτιον καὶ αἰτιατὸν ἰδιότητος μετέχειν τῶν ἄκρων, ταύτην τῷ πνεύματι δικαιότερον ἐφαρμόττειν, ἕτερόν τινα τρόπον. εἴη ἂν τὸ πνεῦμα μέσον πατρὸς καὶ υἱοῦ, ὡς δὴ μετέχον τῶν ἰδιοτήτων ἑκατέρου τῶν ἄκρων. ὡς μὲν γὰρ μὴ γεννητὸν, κοινωνεῖ τῷ πατρὶ, οὐκ ὄντι γεννητῷ δήπου. ὡς δὲ μὴ ἀγέννητον, τουτέστιν ἀναίτιον, κοινωνεῖ τῷ υἱῷ, γεννωμένῳ δήπου. καὶ ὡς κοινῷ δὲ πνεύματι, καὶ συνδέσμῳ (καθὰ φασὶν οἱ Λατῖνοι) προσείη αὐτῷ δικαίως ὁ τῆς μεσότητος λόγος. ἀλλ᾽ ὅμως οὐκ αὐτὸ τῆς ἐν τοῖς θείοις προσώποις ἑνότητος πέφυκεν αἴτιον. οὐδὲ συναγωγόν ἐστι πρὸς αὐτήν. ἥ τις γὰρ ἐστὶ τῶν θείων προσώπων ἀρχὴ καὶ αἰτία, αὕτη καὶ τῆς ἐν αὐτοῖς ἑνότητος ἐστὶν αἰτία. τὸ δὲ πνεῦμα, αἰτιατὸν μόνον, καὶ οὐδαμῶς ἐστὶν αἴτιον.

ΚΕΦΑΛΑΙΟΝ λε.

Ποταπή ἐστιν ἡ τοῦ υἱοῦ μεσιτεία.

Ἐπειδὰν δὲ πρὸς τὴν προεπίνοιαν ἀποβλέψωσι τῶν θείων ὑποστάσεων (ἥ τις αὐταῖς ἐκ τῶν προσωπικῶν συνέπεται λόγων) καὶ τὴν ἐν αὐτῇ τῇ προεπινοίᾳ συμφυΐαν αὖθις καὶ ἕνωσιν, μέσον τὸν υἱὸν ἐπινοοῦσι πατρὸς καὶ πνεύματος· οὐ γὰρ τῷ πάντα τὰ τοῦ πατρὸς ἔχειν μόνος, καὶ τῷ πνεύματι γὰρ ταῦτα πρόσεστι, πλὴν τῶν ἰδιαζόντων. οὐδὲ τῷ ἀρχοειδῶς ἐκ πατρὸς εἶναι μόνος, καὶ τὸ πνεῦμα γὰρ ἐκ τῆς ἐν τῷ πατρὶ γονιμότητος ἀρχοειδῶς ὑφίσταται. καὶ ὅλως δι' οὐδὲν τῶν τοιούτων ὁ υἱὸς μεσιτεύει. χεῖρον γὰρ ἂν ἦν αὐτοῦ τοῦ υἱοῦ τὸ πνεῦμα, εἰ διά τι τῶν τοιούτων ὁ υἱὸς αὐτοῦ προετέτακτο. ἀλλὰ προτέτακται μὲν ὁ πατήρ, ὡς ἀρχή. συνεπινοεῖται δ' εὐθὺς ὁ υἱός, οὐ κατὰ τὴν φύσιν, ἀλλὰ κατὰ προσωπικὴν ἰδιότητα, ἣ πρὸς τὸν πατέρα ἀντίκειται ἀναφορικῶς. ἐπεὶ δὲ καὶ τὸ πνεῦμα δεῖ συντετάχθαι ἐν τῇ αὐτῇ τῆς φύσεως τυγχάνον ἑνότητι, εἰ μὲν ὑπό τινι φαντασίᾳ πλάτους πρὸς τὴν τοῦ πνεύματος ὑπόστασιν μεταβαίνομεν τῷ λογισμῷ, καθάπερ ἐπὶ τῶν ἀντιδιῃρημένων ἁπάντων ἔχει, ὥσπερ τι διηρτημένον τὸ πνεῦμα τοῦ υἱοῦ νοηθήσεται. ὡς εἴ τις ὑπὸ τὸν ἄνθρωπον ἀντιδιέλοι τὸν αἰθίοπα καὶ τὸν σκύθην τυχόν, οὐδαμῶς συγγενεῖς ὄντας. ἢ ὡς εἴ τις δύο ἀνθρώπους νοήσειεν, ἐξ ἑνὸς ἀνθρώπου γεγεννημένους. τοῦτο δέ, ἐν μὲν τῇ πρὸς τὴν ἀρχὴν αὐτῶν παραθέσει, ἧς ἐπίσης διΐστανται, καὶ τὴν ἴσην, ἀλλ' οὐχ ὁμοίαν, ἀναφορὰν ἔχουσι πρὸς αὐτήν, ἀληθές ἐστιν. ἐν δὲ τῇ πρὸς ἄλληλα παραθέσει, οὐκ ἔστιν ἀληθές. ὁ γὰρ υἱὸς καὶ τὸ πνεῦμα, διῄρηνται μὲν ἀλλήλων τῷ τῆς ὑπάρξεως τρόπῳ. ἀλλ' οὐ κατ' αὐτήν γε τὴν ὕπαρξιν. ἀλλὰ συμπροΐασί τε ἀλλήλοις. καὶ καθάπερ εἰσὶν ἐν τῷ πατρί, οὕτω καὶ ἀλλήλοις εἰσί, κἂν ἐκείνου τε καὶ ἀλλήλων διακεκριμένα εἶναι πιστεύωνται. ἐκείνου τε γὰρ ἀπροΐτως προΐασι καὶ ἀδιαστάτως, καὶ ἀλλήλων ἀχωρίστως εἰσὶ διακεκριμένα, ἀνάγκη θάτερον διὰ θατέρου νοεῖσθαι προϊόν. καὶ οὕτω διὰ

τοῦ υἱοῦ τὸ πνεῦμα φαμὲν προϊέναι, ὡς διὰ τῆς τοῦ υἱοῦ φύσεως (ὡς οὕτως εἰπεῖν) εἰς τὴν οἰκείαν ὑπόστασιν ἀποστρατευόμενόν τι καὶ ὁριζόμενον. καὶ τοῦτο διὰ τὴν ἄκραν ἑνότητα καὶ τὴν ἀπειρίαν τῆς θείας φύσεως, οὕτως ἔχειν ἀνάγκη. τούτων γὰρ ἕνεκα δεῖ αὐτά, μὴ τῇ ἰδίᾳ μόνον ἀρχῇ, ἀλλὰ καὶ ἀλλήλοις συμπλέκεσθαι. εἴ τι γὰρ πρόεισι Β καὶ Γ ἐκ τοῦ Α, ἄπειρά τε ὄντα, καὶ ἐν φύσει ὄντα μιᾷ. ὡς δὴ πάντα εἰ Α εἶναι. ἡ μὲν Β καὶ ἡ Γ διοίσουσιν ἀλλήλων. ἡ δὲ ἄπειρα εἰσὶ καὶ ἐν τῇ οὐσίᾳ, διὰ τοῦ Β ἔσται τὸ Γ. καὶ τῇ μὲν τοῦ Β προόδῳ συμπαρεκταθήσεται. ἐν δὲ τῷ ἰδιοσυστάτως εἶναι ἐστήξει προελθὸν δι' αὐτοῦ, εἴγε μέλλοι καὶ συνημμένον εἶναι τῷ Β, καὶ διακεκριμένον αὐτοῦ. καὶ οὕτω προσεχῆ μὲν ἔσται τῷ Α καὶ ἄμφω, ὡς δὴ ἐξ ἐκείνου ὄντα. ἀλλήλοις δέ, διὰ τὸν τῆς ἀπειρίας λόγον, καὶ τῆς ἑνότητος, οὕτω τ' ἑνωθήσεται, καὶ οὕτω διακριθήσεται. καὶ ἡ μὲν τοῦ Γ ἐκ τοῦ Α πρόοδος, ὑποστατικὴ ἔσται, καὶ τὸ εἶναι διδοῦσα. ἡ δὲ διὰ τοῦ Β, διακριτικὴ μόνον. τὸν αὐτὸν δὴ τρόπον καὶ εἴ τις ὑφ' ἡμῶν ἀνατυποῦται παρέκτασις ἐν ταῖς προόδοις ἐκείναις, διὰ τὴν ἀμβλυωπίαν ἡμῶν, καὶ τὸ τοῦ πράγματος ὕψος καὶ μέγεθος, ταύτῃ τῷ υἱῷ τὸ πνεῦμα συμπαρατείνεται. καὶ διήκει τε δι' αὐτοῦ. καὶ ἐν αὐτῷ μένει. καὶ οὐδὲν ἧττον εἰς τὴν οἰκείαν ὁρίζεται χωρὶς ἰδιότητα, ἐπειδὴ γὰρ ὁ υἱὸς ἐν ὅλῳ ἐστὶ τῷ πατρί, καὶ ἐν ὅλῳ τῷ υἱῷ ἐστὶν ὁ πατήρ, καὶ οὕτως ἥνωνται φύσει, προσεχῶς δὲ νοοῦνται ἀλλήλοις διὰ τὴν ἀναφορικὴν ἀντίθεσιν καθ' αὑτὴν οὖσαν καὶ ἄμεσον, ἀνάγκη πᾶσα τὸ ἐκ τοῦ πατρὸς προϊόν, διὰ τῆς τοῦ υἱοῦ φύσεως διήκειν ὡς οὕτως εἰπεῖν. καὶ δι' αὐτοῦ πρὸς τὴν οἰκείαν ὁρίζεσθαι διακεκριμένως ὑπόστασιν. ἐκεῖθεν ὑφιστάμενον, ὅθεν κεκίνηται τὴν ἀρχήν. καὶ οὗ τῆς γονιμότητος καρπὸς ἐστὶ συμφυής τε καὶ προσεχὴς κατὰ πάντα λόγον καὶ τρόπον, πλὴν τοῦ μὴ γεγεννῆσθαι. ἀλλ' ὥσπερ ὁ υἱὸς τοῦτ' ἐστὶν, ὅπερ ὁ πατὴρ, ἀλλ' οὐκ ἔστι πατὴρ, οὕτω καὶ τῆς θείας οὐσίας ἐκ τοῦ πατρὸς εἰς τὸ πνεῦμα διὰ τοῦ υἱοῦ διηκούσης (ὡς οὕτως εἰπεῖν) ἥνωται μὲν τῷ υἱῷ τὸ πνεῦμα καὶ διακέκριται. καὶ δι' αὐτοῦ ἐστὶν οὕτως. ἀλλ' οὐκ ἔστιν ὡς ἀπ' αἰτίας αὐτοῦ. οὐ γὰρ διὰ τὴν ἀπειρίαν καὶ τὴν ἄκραν ἑνότητα τῆς θείας οὐσίας ἐν τοῖς τρισὶ προσώποις. ἐξ ὧν ταῦτα

συμ-

συμβαίνῃ, ἢ καὶ τὸ πατρικὸν ἀξίωμα, καὶ ἡ ἰδιότης πρὸς τὸν υἱὸν μετενεχθή-
σεται, ἢ ἡ πρὸς τὴν κοινὴν καὶ πρώτην αἰτίαν ἀναφορὰ τοῦ πνεύματος, δια-
τειχισθήσεται. τοῦτο γὰρ ἄν, τὰς τῆς πίστεως ὑποθέσεις φύρεσθαι ἦν.

ΚΕΦΑΛΑΙΟΝ λϛ.

Βεβαίωσις τῶν περὶ τῆς τοῦ υἱοῦ μεσιτείας εἰρημένων ἀπὸ ῥητῶν.

Ὅτι δὲ ἡ τοῦ υἱοῦ μεσιτεία τοιαύτη τίς ἐστιν οἵαν ἡμεῖς πιστεύο-
μεν, τουτέστιν αἰτιατῶν τάξιν πρὸς τὴν κοινὴν αἰτίαν καὶ πρὸς ἑαυ-
τά, οὐ τάξιν αἰτίων πρὸς τὰ ἐξ αὐτῶν σημαίνουσα, τοῖς τε προειρημένοις
ῥητοῖς τῶν διδασκάλων σαφές ἐστι, καὶ δὴ καὶ ἐκ τούτων γένοιτ᾽ ἂν δῆλον.
ὁ γὰρ Νύσσης ἐν .ϛ. τῶν πρὸς Εὐνόμιον, Τὸ γὰρ μαθεῖν φησίν, ὅτι ἐ- Γρηγ.
κεῖνος ἐστὶν ὄντως ὄν, ᾧ διὰ τῆς σχετικῆς ἐννοίας, ἡ τοῦ υἱοῦ μεγαλειότης ὁ Νύσσ.
συναναφαίνεται, ἡ τελειοτάτη διδασκαλία τῆς εὐσεβείας ἐστί. τοῦ υἱοῦ
καθὼς εἴρηται συνημμένως μεθ᾽ ἑαυτοῦ, τὸ πνεῦμα τῆς ζωῆς καὶ τῆς ἀλη-
θείας ἐνδεικνυμένου. ἐπειδὴ αὐτός ἐστι καὶ ζωὴ καὶ ἀλήθεια. Ἐνταῦθα
γὰρ καὶ τὸν υἱὸν εἰπὼν συναναφαίνεσθαι τῷ πατρί, διὰ τῆς σχετικῆς ἐν-
νοίας, καὶ τὸν υἱὸν συνημμένως μεθ᾽ ἑαυτοῦ τὸ πνεῦμα ἐνδείκνυσθαι. καθὼς
ὁ Βασίλειος ἔλεγε, Τὸν υἱὸν δι᾽ ἑαυτοῦ καὶ μεθ᾽ ἑαυτοῦ γνωρίζειν τὸ πνεῦ- Βασίλ.
μα. καὶ Ἀναστάσιος ἐν τῷ περὶ τῶν ὀρθῶν τῆς Ἐκκλησίας δογμάτων.
Λόγος γὰρ χωρὶς πνεύματος, οὐκ ἔστι φησίν. ὡς οὐδὲ νοῦς χωρὶς λόγου. Ἀναστάσ.
νοῦν δὲ φαμὲν τὸν πατέρα τοῦ λόγου· νοῦς ἐν ᾧ ὁ λόγος. μεθ᾽ οὗ τὸ πνεῦ-
μα τὸ ἅγιον. πνεῦμα στόματος Θεοῦ χρηματίζον. στόμα γὰρ πατρὸς ὁ υἱός.
ὁ δὲ Βασίλειος ἐν τοῖς πρὸς Ἀμφιλόχιον, Ἓν καὶ τὸ πνεῦμα τὸ ἅγιον φησὶ Βασίλ.
δι᾽ ἑνὸς υἱοῦ, τῷ ἑνὶ πατρὶ συναπτόμενον. οὐχ ὡς τοῦ υἱοῦ τῆς συναφείας ὄν-
τος αἰτίου, ἀλλ᾽ ὡς ἐν τῇ τοῦ πνεύματος πρὸς τὸν πατέρα ἀναφορᾷ, τοῦ
υἱοῦ τῷ λογισμῷ παρεμπίπτοντος. ὃς τῷ πατρὶ διὰ τῆς σχετικῆς ἐν-
νοίας συναναφαίνεται. συνεπινοεῖν μὲν γὰρ ἀνάγκη τὸν υἱὸν καὶ τὸ πνεῦμα

ὡς

ὁμοούσια. προσεπινοεῖν δὲ θάτερον αὐτῶν, ὡς διακεκριμένα, τῷ διαφό-
ρως ἐκ τῆς αὐτῆς ἀρχῆς προϊέναι. δεῖ δὲ μᾶλλον τῷ πατρὶ τὸν υἱὸν, ἢ
τὸ πνεῦμα συνεπινοεῖν, διὰ τὴν πρὸς τὸν γεγεννηκότα τοῦ μονογενοῦς ἄμε-
Γρηγ. θεολ. » σον σχέσιν. ὁ δὲ μέγας ἐν θεολογίᾳ Γρηγόριος, ἄναρχον φησὶν ἀρχὴν,
» καὶ τὸ μετὰ τῆς ἀρχῆς, εἷς Θεός. εἰπὼν ἂν οἰκειότερον τὸ ἐκ τῆς ἀρχῆς,
ὅσῳ καὶ τὸ ἐκ τῆς ἀρχῆς πρὸς τὴν ἀρχὴν οἰκείως ἀποδίδοται, εἴπερ
συνῄδει τούτῳ ἀληθεῖ εἶναι τῷ λόγῳ. καὶ ὁ Μάξιμος ἐν τῇ πρὸς Μα-
Μάξιμ. » ρῖνον ἐπιστολῇ, Ἵνα τὸ δι᾽ αὐτοῦ φησὶ προϊέναι δηλώσωσι, καὶ ταύτῃ τὸ
» συναφὲς τῆς οὐσίας καὶ ἀπαράλλακτον παραστήσωσιν. ὁ δὲ Νύσσης ἐν τῷ
Γρηγ. ὁ » κατὰ Μακεδονιανῶν φησὶν, Ἐφ᾽ ὧν ἡ κατὰ τὸ ἀγαθὸν ἐνέργεια, οὐδεμίαν
Νύσσ. » ἐλάττωσιν ἢ παραλλαγὴν ἔχει, πῶς ἐστὶν εὔλογον τὴν κατὰ τὸν ἀριθμὸν
» τάξιν ἐλαττώσεως τινὸς, καὶ τῆς κατὰ φύσιν παραλλαγῆς οἴεσθαι σημεῖον
» εἶναι; ὥσπερ ἂν εἴ τις ἐν τρισὶ λαμπάσι διῃρημένην βλέπων τὴν φλόγα,
» αἰτίαν δὲ τοῦ τρίτου φωτὸς ὑποθώμεθα τὴν πρώτην φλόγα, ἐκ διαδό-
» σεως διὰ τοῦ μέσου τὸ ἄκρον ἐξάψασαν, ἔπειτα κατασκευάζοι πλεονά-
» ζειν ἐν τῇ πρώτῃ φλογὶ τὴν θερμασίαν, καὶ τὰ ἑξῆς. Ἰδοὺ κατὰ τὸν ἀριθ-
μὸν καὶ οὗτος τὴν τάξιν εἶναι φησὶν, ὡς ὁ Κύριλλος εἶπε κατὰ μόνην τῶν
ὀνομάτων τὴν σύνταξιν. παράδειγμα δὲ τῆς τῶν τριῶν ἰσοτιμίας, τὰς
τρεῖς λαμπάδας παρείληφεν. ὡς ἡ προτέρα καὶ τῆς τρίτης αἰτία ἐστὶ,
διὰ τῆς μέσης ταύτην ἐξάψασα καθάπερ ἔκ τινος διαδόσεως, εἰρημένῳ καὶ
ἐνδεῶς ἔχει ἡ εἰκὼν αὕτη πρὸς δήλωσιν τῶν θείων προόδων, καὶ τῆς τῶν
προσώπων διαφορᾶς, μᾶλλον δὲ παντάπασιν ἀνεικείως ἔχει. ἀλλὰ τὴν
ἰσοτιμίαν τῶν θείων προσώπων, εἰ καὶ διῄρηνται προσωπικῶς καὶ συντε-
ταγμένα εἰσὶν, ἀρκούντως ἡ εἰκὼν αὕτη παρίστησι. καὶ τούτου χάριν τοῦ δευ-
τέρου παρείληφεν αὐτὴν ὁ θεῖος οὗτος Γρηγόριος, οὐχ ἕνεκα τῶν προτέ-
Βασίλ. » ρων. καὶ ὁ θεῖος Βασίλειος ἐν τοῖς πρὸς Ἀμφιλόχιον, Ἡ τῆς θεογνωσίας ὁ-
» δὸς ἐστὶν, ἀπὸ ἑνὸς πνεύματος, διὰ τοῦ ἑνὸς υἱοῦ, ἐπὶ τὸν ἕνα πατέρα. καὶ
» ἀνάπαλιν. ἡ φυσικὴ ἀγαθότης, καὶ ὁ κατὰ φύσιν ἁγιασμὸς, καὶ τὸ βασι-
» λικὸν ἀξίωμα, ἐκ τοῦ πατρὸς διὰ τοῦ μονογενοῦς ἐπὶ τὸ πνεῦμα διήκει.
» οὕτω καὶ αἱ ὑποστάσεις ὁμολογοῦνται, καὶ τὸ εὐσεβὲς δόγμα τῆς μοναρ-

χίας

χίας οὐ διαπίπτει. Ἐν τούτῳ δὲ τῷ ῥητῷ, καὶ σαφέστερον ἐστὶν, ὡς ἡ διὰ πρόθεσις, ἐν τῷ ἐκ πατρὸς προϊέναι δι' υἱοῦ τὸ πνεῦμα, οὐ σημαίνει αἰτίαν, ἀλλὰ μεσιτείαν μόνον ὑπερφυᾶ, καὶ τοῖς θείοις προσώποις ἁρμόττουσαν· τουτέστιν ἐξ ἧς ἥτε προσωπικὴ διάκρισις, καὶ ἡ κατ' οὐσίαν συνάφεια καλῶς γνωρίζεται. ἡ γὰρ τῆς θεογνωσίας ὁδὸς φησὶν, ἄρχεται μὲν ἀπὸ τοῦ ἑνὸς πνεύματος. διὰ δὲ τοῦ ἑνὸς υἱοῦ, ἐπὶ τὸν ἕνα πατέρα περαίνει. διότι ἐν τῷ πνεύματι μὲν, κατοπτεύομεν τὸν υἱόν. ἐν δὲ τῷ υἱῷ τὸν πατέρα, ὡς ὁ μέγας εἴρηκεν Ἀθανάσιος. καὶ πάλιν τὸ Βασιλικὸν ἀξίωμα, ἐκ τοῦ πατρὸς διὰ τοῦ μονογενοῦς ἐπὶ τὸ πνεῦμα διήκει· ὅτι παρὰ τοῦ πατρὸς καὶ ἀμφοῖν δίδοται τοῦτο, ἅμα μὲν, καὶ συναϊδίως, ἀλλὰ μετά τινος τάξεως ὑπερφυοῦς. ἧς ἡμεῖς ἐκ τῆς τῶν ὀνομάτων ἀκολουθίας, ἀμυδράν τινα λαμβάνομεν ἔννοιαν. εἴδησιν δὲ οὐδεμίαν ἔχειν δυνάμεθα. ἐπεὶ μηδὲ τὰς προόδους ἐκείνας εἰδέναι δυνάμεθα, καὶ τὴν τούτων διαφοράν, ἀλλ' ἄρρητα πάντῃ καὶ ἀνενόητα ταῦτα διαπεφύλακται, ὡς ἔμπροσθεν ἐδείχθησαν οἱ διδάσκαλοι λέγοντες. καὶ πολλαχόθεν ἄλλοθεν δῆλον ἐστὶν, ὡς οἱ τῆς Ἐκκλησίας διδάσκαλοι, ἐν τῷ δι' υἱοῦ προϊέναι τὸ πνεῦμα φάσκειν ἐκ τοῦ πατρὸς, τὴν τάξιν καὶ τὴν συνέχειαν βούλονται παριστάνειν τῶν θείων ὑποστάσεων. καὶ ὡς ἂν εἴποι τις, ἀλληλουχίαν. καὶ τὴν τοῦ υἱοῦ μεσιτείαν κατὰ τὴν προεπίνοιαν μόνην. διὰ τὸν διάφορον τῆς προόδου τρόπον νοοῦσι. διὰ τοῦτο πηγῇ καὶ ποταμῷ καὶ ὕδατι τὴν Τριάδα παρεικάζουσι. καὶ αὖθις ὀφθαλμῷ καὶ πηγῇ καὶ ποταμῷ, πρὸς τὴν ἀφανεστέραν ἀνιόντες ἀρχήν. καὶ ἡλίῳ καὶ ἀκτῖνι καὶ φωτί· ἢ τρισὶν ἡλίοις ἐχομένοις ἀλλήλων. καὶ ταῦτα λέγουσιν οἱ αὐτοὶ, οἵτινες καὶ διῤῥυτον ποταμὸν, καὶ δίδυμον ἀκτῖνα, τὸν υἱὸν φασὶ καὶ τὸ πνεῦμα. καὶ ἵνα μή τις νομίσῃ διὰ μὲν τῶν ὑστέρων τούτων παραδειγμάτων, τὴν οὐσιώδη ἕνωσιν αὐτῶν παριστᾶν, πρὸς τὴν πρώτην πάντων ἀρχήν· διὰ δὲ τῶν προτέρων, τὴν τῆς αἰτίας τάξιν δηλοῦν, ἐκ πατρὸς δι' υἱοῦ ἐπὶ τὸ πνεῦμα διήκουσαν. διὰ τοῦτο τὸν υἱὸν ἀρνοῦνται αἴτιον εἶναι. καὶ μόνον αἴτιον λέγουσι τὸν πατέρα. ἀλλὰ περὶ τούτων ὕστερον.

ΚΕΦΑΛΑΙΟΝ λϛ.

Τμῆμα τέταρτον. ἐν ᾧ λύσεις τῶν ἐνστάσεων, ἃς ἐπάγουσιν οἱ Λατῖνοι ἔκ τινων ὑποδειγμάτων τε καὶ ῥητῶν, πρὸς βεβαίωσιν τῆς ὑπ' αὐτῶν τιθεμένης τάξεως, καὶ τοῦ τὸν υἱὸν αἴτιον τοῦ πνεύματος εἶναι. καὶ πρῶτον εἰς τὸ ὑπόδειγμα τῶν ἐνεργειῶν τοῦ πυρός.

Ἀλλ' ἐπιφύονται πάλιν ἡμῖν οἱ Λατῖνοι, τοιαύτην εἶναι λέγοντες τάξιν τοῦ υἱοῦ πρὸς τὸν πατέρα, ἥ τις τοῦ πατρὸς ἐστὶ πρὸς τὸν υἱόν. ἐκεῖνο τοῦ Ἀθανασίου προφέροντες, ὅ φησιν ἐν τῇ πρὸς Σεραπίωνα ἐπιστολῇ. (Ἀθανάσ.) ,, Ὅτι τοιαύτην τάξιν καὶ φύσιν ἔχει τὸ πνεῦμα πρὸς τὸν υἱόν, οἵαν ὁ ,, υἱὸς ἔχει πρὸς τὸν πατέρα. καὶ τὸ τοῦ ἱεροῦ Βασιλείου ἐν τοῖς πρὸς Εὐ- (Βασίλ.) ,, νόμιον. Ὥσπερ ἔχει ὁ υἱὸς πρὸς τὸν πατέρα φησίν, οὕτω πρὸς τὸν υἱὸν ,, τὸ πνεῦμα, κατὰ τὴν ἐν τῷ βαπτίσματι παραδεδομένην τοῦ λόγου σύνταξιν. ἅμα δὲ παραδείγματι τῶν κοσμικῶν πραγμάτων διδάσκει. λέγουσι γάρ, ὡς δυοῖν οὐσῶν δραστικῶν δυνάμεων τῷ πυρί, τῆς τε τοῦ θερμαίνειν καὶ τῆς ξηραντικῆς. ὡς δὲ καὶ δυοῖν τῶν ἀναλόγων ἐνεργειῶν, ἡ τοῦ θερμαίνειν προηγεῖται τῆς τοῦ ξηραίνειν. τὸ γὰρ πῦρ θερμαῖνον, ξηραίνει· ἀλλ' οὐ θερμαίνει, ξηραῖνον. κἀντεῦθεν ἡ θέρμη, ξηρότητος ἐστὶν αἰτία. ὥσπερ καὶ αὐτὸ τὸ πῦρ τὸ τὴν θέρμην ποιοῦν. οὕτω δ' ἔχει καὶ ἐπὶ τοῦ προκειμένου φασίν. εἰ δὲ μή, καὶ ἐπίνοιαν μόνον ἂν ἦν, ἡ τῶν προόδων καὶ τῶν προσώπων τάξις. οὐ πραγματική. ἡμεῖς δέ, ὅτι μὲν τὴν τάξιν ταύτην τῆς ἐπινοίας ἐν πατρὶ καὶ υἱῷ πραγματικὴν εἶναι πιστεύομεν, καὶ πρότερον εἰρήκαμεν, καὶ νῦν λέγομεν. ὁ γὰρ θεμέλιος τῆς τοιαύτης προεπινοίας, πραγματικὸς ἐστίν. οὗτος δ' ἐστίν, ἡ τοῦ υἱοῦ καὶ τοῦ πνεύματος διάκρισις, κατὰ τὸν διάφορον τῆς ὑπάρξεως τρόπον σφίσιν ἐγγεγενημένη. τὸ

δὲ

δὲ ὑπόδειγμα τῶν τοῦ πυρὸς ἐνεργειῶν, εἰ καὶ πρὸς φανέρωσιν τοῦ προεπινοεῖσθαι τὴν γέννησιν τοῦ υἱοῦ τῆς προόδου τοῦ πνεύματος, ἅμα καὶ ἀμφοῖν γινομένων, συμβάλλεσθαι τι δοκεῖ, ἀλλὰ πρὸς τὸ δεῖξαι τὸν υἱὸν τοῦ πνεύματος αἴτιον, οὐδεμίαν δύναμιν ἔχειν οἰόμεθα. πρῶτον μὲν γὰρ τὸ θερμαίνειν καὶ ξηραίνειν, ἐνέργεια ἐστὶ τοῦ πυρὸς, ἣ δρᾷ εἰς ἕτερον. ἀλλ' ὁ υἱὸς καὶ τὸ πνεῦμα, ἐνέργεια ἐστὶ μᾶλλον, ἣν ἐνεργεῖ ὁ Θεὸς ἔνδον ἑαυτοῦ. ἀλλ' οὐχ ᾗ ἐνεργεῖ. εἴ γε δεῖ τὸ τῆς φύσεως ἔργον, ἢ τὴν ὑπόστασιν, καλεῖν πως ἐνέργειαν. καὶ εἰ ἡ θέρμη τῆς ξηρότητος αἰτία ἐστὶν, οὐχ ὡς ἐνέργεια τοῦτ' ἔχει. ἀλλὰ τοῦ ἐνεργοῦντος ὑποκειμένου ἕνεκα. αὐτὸ μὲν γὰρ ἐστὶ τὸ ἐνεργοῦν. ἐνεργεῖ δὲ τῇ θέρμῃ. οὐκοῦν αἰτία τῆς ξηρότητος εἶναι ἡ θέρμη λέγοιτ' ἂν καταχρηστικῶς, οὐ κυρίως. ὁ δὲ υἱὸς εἴπερ ἐστὶ τοῦ πνεύματος αἴτιος, ὡς ὑποκείμενον ἂν εἴη ἐνεργοῦν. καὶ πρὸς τούτοις, τὸ πῦρ θερμαίνει μέντοι καὶ ξηραίνει τὸ αὐτό. ἀλλ' ὁ πατὴρ οὐ γεννᾷ καὶ προβάλλει τὸ αὐτό. καὶ ἔτι, τὸ πῦρ ἐπειδάν τι θερμαίνῃ, καὶ ἑπομένως ξηραίνει, τὸ τῆς θέρμης ἐκείνης μετειληφὸς, οὐκ ἂν δύναιτο ξηραίνειν εἰ μὴ τῷ θερμαίνειν. δεῖ γὰρ καὶ ἐν αὐτῷ, τὴν τῶν ἐνεργειῶν ἐκείνων ἢ δυνάμεων, ὡς κἂν τῷ πρώτῳ τάξιν διαφυλάττεσθαι. ἀλλὰ τὸν υἱὸν ἀδύνατον ἐστὶ προβάλλειν γεννῶντα. ὃ δὲ μεῖζον ἐστὶ, τὸ μὲν πῦρ μᾶλλον ἐστὶ τῇ θερμότητι, ἢ τῇ ξηρότητι. ὁ δὲ πατὴρ, οὐδὲν μᾶλλον ἐστὶ γεννήτωρ ἢ προβολεύς. ἀλλ' ὁμοίως ἥ τε γεννητικὴ δύναμις καὶ ἐνέργεια, ἥ τε προβλητικὴ, ἐστὶν ἐν αὐτῷ. Τοῦτο γὰρ ἐστὶν ὁ πατὴρ, πηγαία θεότητος ὁ θεῖος Διονύσιος ἔφη. „ Διονύσ. Καὶ τοῦτο ἐστὶ πατὴρ, γεννήτωρ καὶ προβολεύς, ὁ θεῖος ἔφη Γρηγόριος. „ Γρηγ. θεολ οὐ δὲ ἐστὶν ὁ πατὴρ, οὗ τὸ μὲν αὐτοῦ δεῖ μᾶλλον εἶναι, τὸ δὲ ἧττον ἐν τῷ πατρί. „ οὐδὲ τὸ μὲν προηγεῖσθαι φύσει, τὸ δ' ἕπεσθαι. οὐ δὲ τὸ μὲν ἀκοινώνητον εἶναι, τὸ δὲ κοινωνητόν. οὐκοῦν ἅμα τε ἐστὶ γεννήτωρ καὶ προβολεὺς, καὶ ἐπίσης. καὶ μιᾷ γονιμότητι. συνειλημμένως τε καὶ ἑνοειδῶς νοουμένη, ἐπειδὰν ἐν αὐτῷ τῷ τρόπῳ, τῆς ἐντελεχείας νοῆται. ἀλλ' ἐπειδὰν τῷ τρόπῳ τῆς δευτέρας ἐντελεχείας νοῶνται, δυσί τε ἐνεργεῖ, καὶ τεταγμέναις πρὸς ἀλλήλας. ὡς τῆς ἑτέρας προεπινοουμένης τῇ πρὸς τὴν λοιπὴν παραθέσει. διὸ δὴ καὶ ἐν τοῖς προαγομένοις θάτερον τοῦ λοιποῦ προεπινε-

νόηται. μᾶλλον δὲ διὰ τὸ τὸν υἱὸν προεπινοεῖσθαι τοῦ πνεύματος τὴν εἰρημένην ἕνεκα, καὶ τὴν πρόοδον, ἣ προῆλθεν αὐτὸς προεπινοούμενον. ἐκ γὰρ τοῦ γνωρισθῆναι τὰς θείας ὑποστάσεις ἡμῖν ἀμηγέπως καὶ τὰς τούτων ἐπωνυμίας, ἀκολούθως τι καὶ περὶ τὴν πρόοδον αὐτῶν, συνείροντες λεγόμενον. οὐ τὸ ἀνάπαλιν. εἰ δὲ καὶ ἄλλη τις τοῦ τὴν γέννησιν τῆς ἑτέρας προόδου προεπινοεῖσθαι, καὶ μὴ τὸ ἀνάπαλιν ἐστὶν αἰτία, οὐδεὶς ἂν εἰδέναι δυνάοιτο. πῶς γὰρ, εἴγε μηδὲ τὸν τῆς προόδου τρόπον εἰδέναι δυνάμεθα, ἄρρητόν τε καὶ ἀκατανόητον, (ὡς ἐν τοῖς πρόσθεν δεδήλωται λόγοις) πεφυλαγμένον; Τούτων τε τοίνυν καὶ ἄλλων πολλῶν ἀνομοιοτήτων οὐσῶν τῷ τοῦ πυρὸς ὑποδείγματι πρὸς τὴν ὑποκειμένην ὑπόθεσιν, δι' ἃς οὐκ ἄν τις ῥᾳδίως τούτῳ πιστώσειε, τοῦτ' ἐστιν, ὃ μάλιστα ἀπᾷδον εἶναι δοκεῖ. ὅτι τοῦ μὲν πυρὸς αἱ ἐνέργειαι, ἀνυπόστατοι εἰσίν. ὁ δὲ υἱὸς καὶ τὸ πνεῦμα, ὑποστάσεις εἰσί. δι' ἣν αἰτίαν καὶ τὸ τοῦ ἡλίου, καὶ τῆς ἀκτῖνος καὶ τοῦ φωτὸς ὑπόδειγμα, καλῶς ὁ μέγας ἀποδοκιμάζει Γρηγόριος, λέγων.

Γρηγ. θεολ. » Ἥλιον ἐνεθυμήθην καὶ ἀκτῖνα καὶ φῶς. ἀλλὰ κἀνταῦθα δέος, πρῶτον
» μὲν, μὴ σύνθεσίς τις ἐπινοεῖται τῆς ἀσυνθέτου φύσεως. ὥσπερ ἡλίου, καὶ τῶν
» ἐν ἡλίῳ. δεύτερον δὲ, μὴ τὸν πατέρα μὲν οὐσιώσωμεν. τὰ δὲ ἄλλα μὴ
» ὑποστήσωμεν. Τοῦτο δὲ τὸ δέος καὶ ἡμεῖς περὶ τὴν τοῦ πυρὸς ἐνεργειῶν δεδιότες, καὶ πολλῷ μᾶλλον, οὐκ ἂν ἀπεικότως φοβοίμεθα. ἔπειτα τοῖς μὲν ἄλλοις ὑποδείγμασι, καὶ τοὺς διδασκάλους ἐπὶ κεχρημένους εὑρεῖν, εἰ καὶ μὴ καθάπαξ, τῇ γε χρείᾳ συμμέτρως. τούτῳ δὲ, οὐδεὶς φαίνεται κεχρημένος.

ΚΕΦΑΛΑΙΟΝ λη.

Εἰς τὸ ῥητὸν τοῦ μεγάλου Βασιλείου, τὸ λέγον, ὡς ἔχει ὁ υἱὸς πρὸς τὸν πατέρα, οὕτω καὶ πρὸς τὸν υἱὸν τὸ πνεῦμα.

Τὸ δὲ τοῦ μεγάλου Βασιλείου ῥητὸν, οὑτωσὶ μὲν ἀποτετμημένον, δόξειεν ἄν πως τοῖς τῶν διδασκάλων συκοφάνταις συνηγορεῖν.

εἰ

εἰ δέ τις ἐμβλέψειεν ὅλῃ τῇ τοῦ διδασκάλου προθέσει, πρὸς τῷ μηδὲν αὐτοῖς βοηθεῖν, καὶ συκοφάντας αὐτοὺς ἀποδείκνυσι. τὴν γὰρ περὶ Εὐνόμιον τῷ υἱῷ τοῦ Θεοῦ τὸ πνεῦμα τὸ ἅγιον ὑπαριθμεῖσθαι, μὴ συναριθμεῖσθαι λεγόντων, ὁ διδάσκαλος οὗτος ἐκβάλλει μὲν εὐφυῶς πάνυ τὸ τῆς ὑπαριθμήσεως ὄνομα. ὅπως δὲ καὶ αὐτήν γε τὴν συναρίθμησιν εὐσεβῶς δεῖ νοεῖν, τρόποις πολλοῖς ἀποδείκνυσιν. ἐρωτήσας γὰρ αὐτοὺς πρότερον, πότερον καὶ τὸν υἱὸν ὑπαριθμεῖσθαι τῷ πατρὶ λέγουσι, καὶ τὸ πνεῦμα τῷ υἱῷ, ἢ τῷ πνεύματι μόνῳ τὴν ὑπαρίθμησιν ἀφορίζουσι; καὶ δείξας, ὡς εἰ τὸν υἱὸν ὑπαριθμοῦσι πρὸς τὴν τῶν Ἀνομοίων ἀσέβειαν ὑποφέρονται. καὶ εἰς τὸν υἱὸν βλασφημοῦσιν. εἶτ' ἐπάγει λέξεσιν αὐταῖς οὑτωσίν. Εἰ δὲ τῷ πνεύματι πρέπειν οἴονται μόνῳ τὴν ὑπαρίθμησιν, μανθανέτωσαν, „ Βασίλ.
„ ὅτι κατὰ τὸν αὐτὸν τρόπον συνεκφωνεῖται τῷ Κυρίῳ τὸ πνεῦμα, καθ' ὃν „ καὶ ὁ υἱὸς τῷ πατρί. Τὸ γὰρ ὄνομα πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος, „ ὁμοίως ἐκδέδοται. ὡς τοίνυν ὁ υἱὸς ἔχει πρὸς τὸν πατέρα, οὕτω πρὸς „ τὸν υἱὸν τὸ πνεῦμα κατὰ τὴν ἐν τῷ βαπτίσματι παραδεδομένην σύνταξιν. „ εἰ δὲ τὸ πνεῦμα τῷ υἱῷ συντέτακται, ὁ δὲ υἱὸς τῷ πατρί, καὶ τὸ „ πνεῦμα τῷ πατρὶ δηλονότι. τίνα οὖν ἔχει χώραν, τὸ μὲν συναριθμεῖσθαι· τὸ „ δὲ ὑπαριθμεῖσθαι λέγειν, ἐν μιᾷ καὶ τῇ αὐτῇ συστοιχίᾳ κατατεταγμένων „ τῶν ὀνομάτων; Ποῦ τοίνυν ἐνταῦθα περὶ τὴν θείαν πρόοδον καὶ τάξεως τινὸς ἐν αὐταῖς, ἢ περὶ τῆς ἐν τοῖς θείοις προσώποις κατὰ τὴν αἰτίαν τάξεως, τῷ διδασκάλῳ λόγος τις γέγονεν; ἢ πῶς οὐ συκοφάνται εἰσίν, οἳ τὸν μὲν τοῦ διδασκάλου σκοπὸν συγκρύπτοντες, καὶ τὴν τῶν λόγων πρόθεσιν, τουτὶ δὲ τὸ τεμμάχιον ἀφελόμενοι, τὸν τῆς κακοδοξίας οὕτω πλέκουσι παραλογισμόν; ὡς ἔχει φησὶν ὁ υἱὸς πρὸς τὸν πατέρα, οὕτω καὶ τὸ πνεῦμα πρὸς τὸν υἱόν. ὁ δὲ υἱὸς ἔχει πρὸς τὸν πατέρα, ὡς αἰτιατὸς πρὸς ἰδίαν αἰτίαν. καὶ τὸ πνεῦμα ἄρα πρὸς τὸν υἱὸν οὕτως ἔχει. οὕτω καὶ τοὺς εὐρωπαίους ἐξηγοῦνται πατέρας ὡς ἔοικε. καὶ τὰ ἐκείνων συμπεράσματα πρὸς τὴν ἰδίαν γνώμην μεταποιοῦσι. πῶς γὰρ οὐκ ἄν τις αὐτῶν καταγνοίη, εἰ τοῦ βασιλείου συμπεραίνοντος, ὅτι τὸ πνεῦμα ἄρα τῷ υἱῷ συντέτακται καὶ συναρίθμηται, καὶ δι' αὐτοῦ τῷ πατρί, οὐχ ὑπαριθ-

μένμμον ἐστὶν, αὐτοὶ συμπεραίνουσιν, ὅτι τὸ πνεῦμα ἄρα αἰτιατὸν ἐστὶ τοῦ υἱοῦ, περὶ οὗ οὐδεμία που τῷ διδασκάλῳ πρόθεσις ἦν· καίτοι εἴγε καὶ παντάπασιν οὕτως εἶχε τὸ ῥητὸν, ὡς αὐτοὶ ἐξηγοῦνται συλλογισάμενοι, οὐκ ἂν εἶχοι συμπεραίνειν τὸν υἱὸν αἴτιον εἶναι τοῦ πνεύματος. τὸ γὰρ τῆς ὁμοιότητος ἐπίρρημα, οὐχὶ καὶ πρὸς ἅπασαν ὁμοίωσιν ἕλκειν ἐχρῆν. ἢ γὰρ ἂν ἔδει καὶ τὸ πνεῦμα, γέννημα οἴεσθαι τοῦ υἱοῦ, ὡς αὐτὸς ὁ υἱὸς ἔχει πρὸς τὸν πατέρα. τοῦτο δὲ ψεῦδος ἂν ἦν. οὐκοῦν περὶ τῶν ἀληθῶν τε καὶ ὁμολογημένων τὴν ὁμοιότητα ταύτην αὐτοὺς λαμβάνειν ἐχρῆν, οὐ περὶ πάντων, ὧν ἂν βουληθεῖεν κατ᾽ ἐξουσίαν.

ΚΕΦΑΛΑΙΟΝ λθ.

Εἰς τὸ ῥητὸν τοῦ Ἀθανασίου, τὸ λέγον, ὅτι τοιαύτην τάξιν ἔχει καὶ φύσιν τὸ πνεῦμα πρὸς τὸν υἱόν, οἵαν ὁ υἱὸς πρὸς τὸν πατέρα.

ΟΥτω δὲ καὶ τὴν Ἀθανασίου ῥῆσιν ἐκλαμβάνεσθαι δίκαιον. ἐκεῖνος γὰρ τὴν τοῦ υἱοῦ πρὸς τὸν πατέρα δείξας εὔτακτον συμφυΐαν, τὴν αὐτὴν δὲ εἰπὼν καὶ τοῦ πνεύματος εἶναι πρὸς τὸν υἱόν, ἐπήγαγε συμπεραίνων,

Ἀθανάσ. » Τοιαύτην δὲ τάξιν καὶ φύσιν ἔχοντος τοῦ πνεύματος πρὸς τὸν υἱόν, οἵαν ὁ υἱὸς
» ἔχει πρὸς τὸν πατέρα, πῶς ὁ τοῦτο κτίσμα λέγων, οὐ τὸ αὐτὸ καὶ περὶ τοῦ
» υἱοῦ ἐξ ἀνάγκης φρονήσει; Συντετάχθαι δὲ δήπου τὸ πνεῦμα τῷ υἱῷ,

καὶ συμπεφυκέναι καθάπερ ὡς ὁμοούσιον, ταῖς ἐκ τῶν γραφῶν ἀπέδειξε μαρτυρίαις. ἐν αἷς οὐδαμοῦ τὸν υἱὸν δοκεῖ τοῦ πνεύματος αἴτιον λέγειν, ἢ τὸ πνεῦμα ἐκ τοῦ υἱοῦ ἐκπορεύεσθαι. τοὐναντίον μὲν οὖν, καὶ διαστέλλει καλῶς. καὶ γάρ φησιν,

Ἀθανάσ. » Ὥσπερ γέννημα μονογενές ὁ υἱός ἐστιν, οὕτω καὶ τὸ
» πνεῦμα παρὰ τοῦ υἱοῦ διδόμενον καὶ πεμπόμενον, καὶ αὐτὸ ἕν ἐστι. καὶ οὐ

πολλά. οὐκ εἶπεν οὖν ἐκπορευόμενον, ἢ προβαλλόμενον, ἢ ὑφιστάμενον. ἐγκαίρως ἂν εἰπών, εἴπερ τοῦτο ἐφρόνει. καὶ φρονήσας ἄν, εἴπερ τὴν γραφὴν τοῦθ᾽ εὕρισκε λέγουσαν, ἐπεὶ καὶ τὸν υἱὸν γέννημα μονογενὲς τοῦ πατρὸς ἐκά-

λεσεν,

λέσει, ἐκ τῆς ἱερᾶς γραφῆς εἰληφώς. ἀλλὰ διδόμενόν εἶπεν ἐκ τοῦ υἱοῦ καὶ πεμπόμενον. ταῦτα γὰρ ἐκείνη φησίν, ὥστε τῷ μὲν φύσει συντετάχθαι, καὶ εὐτάκτως ἡνῶσθαι τὸν υἱὸν τὸ πνεῦμα, δείκνυσι τὸ πνεῦμα μὴ εἶναι κτίσμα. διὰ τὸ οὕτως ἔχειν καὶ τὸν υἱὸν πρὸς τὸν πατέρα. ἐν δὲ τῷ τοιαύτην τάξιν εἰπεῖν, οὐχὶ καὶ πᾶσαν ὁμοιότητα δίδωσιν ἐννοεῖν, ἀλλ' ἣν αἵ τε τῆς πίστεως ὑποθέσεις βούλονται, καὶ ἣν αὐτὸς γραφικαῖς μαρτυρίαις ἔδειξε παραλαβών· αἱ πᾶσαι τὴν τῆς φύσεως ὁμοιότητα, μᾶλλον δὲ ἑνότητα παριστάνουσιν εὐτάκτως ἐκ τοῦ πατρὸς διήκουσαν δι' υἱοῦ ἐπὶ τὸ πνεῦμα. οὐ καὶ τὸ ἐν τῷ παράγεσθαι, ἢ ὑφίστασθαι θάτερον ἐκ θατέρου. ὥσπερ οὖν διὰ τὸ ἄλλο πρόσωπον μετ' ἄλλο τετάχθαι κατὰ τὸν ἀριθμόν, οὐδεμία διαφορὰ φύσεως ἐν αὐτοῖς ἐστὶν ἐξ ἀνάγκης, ὡς οἱ αἱρετικοὶ συνεπέραινον. τοῦ μεγάλου Βασιλείου λέγοντος ἐν ἐκείνῳ τῷ μέρει,

Βασιλ.

Ὅλως δὲ τί τῶν πάντων ἐξέστη ποτὲ τῆς ἑαυτοῦ φύσεως ἀριθμούμενον; οὕτως οὖν δὲ ἡ ἀντιθετικὴ τῆς αἰτίας τάξις, τὰ θεῖα πρόσωπα διαλαμβάνειν ἐξ ἀνάγκης ποτὲ πιστευθήσεται. ἀλλ' εὐτάκτως μὲν τὴν συμφυΐαν ἕξουσιν. ὁ δὲ λόγος τῆς τάξεως, ἢ σιωπῇ τιμηθήσεται παρ' ἡμῶν, ἢ εὐσεβῶς καὶ ὡς ταῖς κοιναῖς ὑποθέσεσι συμφέρει τῆς πίστεως νοηθήσεται. ἐν τῷ αὐτῷ γὰρ κεφαλαίῳ φησὶν ὁ μέγας οὗτος διδάσκαλος.

Ὁ αὐτός.

Ἀλλ' ὦ σοφώτατε· μάλιστα μὲν ὑπὲρ ἀριθμὸν ἔστω τὰ ἀνέφικτα, ὡς ἡ παλαιὰ τῶν ἑβραίων εὐλάβεια, ἰδίοις σημείοις τὸ ἀνεκφώνητον ὄνομα τοῦ Θεοῦ διεχάραξε. καὶ ἐκ τούτων τὴν κατὰ πάντων ὑπεροχὴν παριστῶσα· εἰ δ' ἄρα δεῖ καὶ ἀριθμεῖν, μήτοιγε καὶ ἐν τούτῳ κακουργεῖν τὴν ἀλήθειαν. ἢ γὰρ σιωπῇ τιμάσθω τὰ ἀπόρρητα, ἢ εὐσεβῶς ἀριθμείσθω τὰ ἅγια. Οὕτω τοίνυν καὶ ἡμεῖς λέγομεν. ὡς μάλιστα μὲν ὑπὲρ τάξιν ἐστὶ τὸ θεῖον. εἰ δ' ἄρα δεῖ καὶ τάξιν τινὰ πιστεύειν αὐτῶν, μήτοιγε καὶ ἐν τούτῳ κακουργεῖν τὴν ἀλήθειαν. ἢ γὰρ σιωπῇ τιμᾶσθαι δεῖ τὰ ἀπόρρητα, ἢ εὐσεβῶς τὴν τῶν θείων τάξιν ἐπινοεῖν· καὶ ὡς αὐτοῖς ἀρέσκει τοῖς ἐκ πνεύματος πεφωτισμένοις διδασκάλοις ἡμῶν. ἀρέσκει δὲ πᾶσιν ὡς εἴρηται, καθὼς ἡμῖν παρεδόθη τὴν τάξιν διαφυλάττειν. καὶ τὸν πατέρα μὲν ἐπινοεῖν τοῦ υἱοῦ, ὡς τὸ αἴτιον τοῦ ἐξ αὐτοῦ· προεπινοεῖν δὲ αὐτὸν καὶ τοῦ πνεύ-

ματος

ματος οὕτως. Ἀλλὰ μετά τινος διαφορᾶς· ὅτι τοῦ μὲν υἱοῦ προσεχῶς. καὶ μηδενὸς ἄλλου μεταξὺ παρεμπίπτοντος. τοῦ δὲ πνεύματος τῆς τοῦ υἱοῦ μεσιτευούσης ἐννοίας. ὅθεν καὶ ἡ τοῦ υἱοῦ πρὸς τὸ πνεῦμα τάξις ἀνίσχει, τῇ διαφόρῳ πρὸς τὴν κοινὴν αἰτίαν ἀναγωγῇ συναναφυομένη καλῶς. ὥσπερ γὰρ αὐτά, διὰ τὸν πατέρα εἰσί, καὶ ἕν εἰσι μετ' αὐτοῦ, οὕτω καὶ ἡ πρὸς ἄλληλα τάξις αὐτῶν, διὰ τὴν πρὸς ἐκεῖνον τάξιν ἐστί. καὶ μία τάξις ἐστὶ διὰ πάντων. καὶ ὑφ' ἕνα λόγον τὸν τῆς αἰτίας, ὡς ὁ Νύσσης εἶπε Γρηγόρειος. διότι ὡς ἕν εἰσι φύσει, οὕτω καὶ τρία τῷ τῆς αἰτίας εἰσὶ λόγῳ. ὃς αὐτοῖς ἐμφιλοχωρεῖ, πῇ μὲν ἀντιθετικῶς. πῇ δὲ διαφόρως, ὡς εἴρηται πρότερον.

ΚΕΦΑΛΑΙΟΝ μ.

Εἰς τὸ ῥητὸν τοῦ Νύσσης, ἐν ᾧ λέγεται, ὅτι τὸ μὲν πνεῦμα λέγεται τοῦ υἱοῦ. ὁ δὲ υἱὸς τοῦ πατρὸς οὐ λέγεται. οὐ δὲ ἀντιστρέφει ἡ σχετικὴ αὕτη ἀκολουθία. ἐν ᾧ καὶ περὶ τῆς σχέσεως τῶν θείων προσώπων πρὸς ἄλληλα. καὶ ἔλεγχος ὡς οἱ Λατῖνοι σοφίζονται περὶ τῆς σχέσεως. καὶ ὡς κακούργως ἐξηγοῦνται τοῦτο τὸ ῥητόν.

Ἐπεὶ δὲ καὶ ἐκ τῆς τοῦ Γρηγορείου τοῦ Νύσσης ῥήσεως ἐκείνης, ἡμῖν τε ἐνοχλοῦσι, καὶ τοῖς σεσοφισμένοις περὶ τῆς τάξεως αὐτῶν λόγοις βοήθειάν τινα παρέχειν πειρῶνται, ἐν ᾗ φησιν ὅτι, (Γρηγ. Νύσσ.) Ὁ δὲ υἱὸς τοῦ πνεύματος οὔτε ἐστὶν οὔτε λέγεται, οὔτε ἀντιστρέφει ἡ σχετικὴ αὕτη ἀκολουθία· ἃ μὴ αὐτοὶ συνηγόρῳ δῆθεν ἐν τῇ ῥήσει χρώμενοι ταύτῃ παραλογίζονται, καὶ τοιαύτας προτάσεις παραλαμβάνοντες, ὅτι φυσικὴ ἐστὶν ἡ τῶν προσώπων ἐκείνων τάξις, καὶ ἀναγκαῖος, καὶ ἄτρεπτος, ταύτας περιττὸν ἐστὶν ἐκτίθεσθαι νῦν. τὸν δὲ τοῦ διδασκάλου σκοπὸν φανερώσομεν ὑπὲρ ἡμῶν ὄντα, καὶ Λατίνοις οὐδὲν κοινὸν ἔχοντα. καὶ οὕτω τὴν

ὁδόν,

ὁδὸν, ἢ λυτέον ἂν εἴη τὰς τοιαύτας ἐπιχειρήσεις ἐκείνων, πάνυ φήσομεν προφανῆ. πρῶτον δὲ δεῖ τὴν ῥῆσιν αὐτὴν ἐκθέσθαι τοῦ διδασκάλου. ἐπειδὴ γὰρ ἐν ταῖς εἰς τὸ πάτερ ἡμῶν ὁμιλίαις, τὸ ἐλθέτω ἡ βασιλεία σου ἐξηγούμενος, προαποδεδειγμένου τοῦ τὴν αὐτὴν πατρὸς καὶ υἱοῦ εἶναι φύσιν, πρὸς τὸν περὶ τοῦ πνεύματος μεταβέβηκεν ἀκολούθως λόγον,

Ὥστε εἰ τῷ πατρὶ φησὶ κατὰ τὴν φύσιν ὁ υἱὸς ἥνωται, τῆς δὲ τοῦ υἱοῦ φύ- Γρηγ.
σεως διὰ τῆς τῶν ἐνεργειῶν ταυτότητος οὐκ ἀλλότριον ἀπεδείχθη τὸ Νύσ.
πνεῦμα τὸ ἅγιον, μία κατὰ τὸ ἀκόλουθον ἀποδέδεικται τῆς ἁγίας Τριάδος ἡ φύσις. οὐ συγχεομένης ἐφ' ἑκάστης τῶν ὑποστάσεων, τῆς κατ' ἐξαίρετον ἐπιθεωρουμένης αὐτοῖς ἰδιότητος. οὐ δὲ τῶν γνωρισμάτων ἐν ἀλλήλοις ἀλλασσομένων, ὥστε τὸ σημεῖον τῆς πατρικῆς ὑποστάσεως, ἐπὶ τὸν υἱὸν ἢ τὸ πνεῦμα μετενεχθῆναι. ἢ τοῦ υἱοῦ πάλιν ἑνὶ τῶν προκειμένων ἐφαρμοσθῆναι, ἢ τὴν τοῦ πατρὸς ἰδιότητα τῷ πατρί τε καὶ τῷ υἱῷ ἐπιφαίνεσθαι. ἀλλ' ἐν τῇ κοινότητι τῆς φύσεως, ἀκοινώνητος ἡ τῶν ἰδιαζόντων θεωρεῖται διάκρισις. ἴδιον τοῦ πατρὸς τὸ μὴ ἐξ αἰτίας εἶναι. τοῦτο οὐκ ἔστιν ἴδιον ἐπὶ τοῦ υἱοῦ καὶ τοῦ πνεύματος. ὅ, τε γὰρ υἱὸς ἐκ τοῦ πατρὸς ἐξῆλθε (καθά φησιν ἡ γραφὴ) καὶ τὸ πνεῦμα ἐκ τοῦ Θεοῦ καὶ παρὰ τοῦ πατρὸς ἐκπορεύεται. ἀλλ' ὥσπερ τὸ ἄνευ αἰτίας εἶναι μόνου τοῦ πατρὸς ὄν, τῷ υἱῷ καὶ τῷ πνεύματι ἐφαρμοσθῆναι οὐ δύναται, οὕτω τὸ ἔμπαλιν, τὸ ἐξ αἰτίας εἶναι, ὅπερ ἴδιον ἐστὶ τοῦ υἱοῦ καὶ τοῦ πνεύματος, τῷ πατρὶ ἐπιθεωρηθῆναι φύσιν οὐκ ἔχει. κοινοῦ δὲ ὄντος τῷ υἱῷ καὶ τῷ πνεύματι τοῦ μὴ ἀγεννήτως εἶναι, ὡς ἂν μή τις σύγχυσις περὶ τὸ ὑποκείμενον θεωρηθείη, πάλιν ἔστιν ἄμικτον, τὴν ἐν τοῖς ἰδιώμασιν αὐτῶν διαφορὰν ἐξευρεῖν. ὡς ἂν καὶ τὸ κοινὸν φυλαχθείη, καὶ τὸ ἴδιον μὴ συγχυθείη. ὁ γὰρ μονογενὴς υἱὸς ἐκ τοῦ πατρὸς παρὰ τῆς ἁγίας γραφῆς ὀνομάζεται. καὶ μέχρι τούτου ἵστησιν ὁ λόγος αὐτοῦ τὸ ἰδίωμα. τὸ δὲ ἅγιον πνεῦμα, καὶ ἐκ τοῦ πατρὸς λέγεται, καὶ τοῦ υἱοῦ εἶναι προσμαρτυρεῖται. εἰ γάρ τις πνεῦμα φησὶ Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ. οὐκοῦν τὸ μὲν πνεῦμα τὸ ἐκ τοῦ Θεοῦ ὄν, καὶ Χριστοῦ ἐστὶ πνεῦμα. ὁ δὲ υἱὸς ἐκ τοῦ Θεοῦ ὤν, οὐκέτι τοῦ πνεύματος. οὔτε ἐστίν, οὔτε λέγεται. οὔτ' ἀντιστρέφει

» ἡ σχετικὴ αὕτη ἀκολουθία. ὡς δύνασθαι κατὰ τὸ ἴσον δι' ἀναλύσεως
» ἀντιστρέφεσθαι τὸν λόγον. καὶ ὥσπερ Χριστοῦ τὸ πνεῦμα λέγεται, οὕτω καὶ
» τοῦ πνεύματος Χριστὸν ὀνομάζεται. ταύτης τοίνυν τῆς ἰδιότητος, τρανῶς
» καὶ ἀσυγχύτως. τὸ ἕτερον τοῦ ἑτέρου διακρινούσης, τῆς δὲ κατὰ τὴν ἐνέρ-
» γειαν ταυτότητος τὸ κοινὸν ἐνεργούσης τῆς φύσεως, ἔρρωται ἑκατέρωθεν
» ἡ εὐσεβὴς περὶ τὸ Θεῖον ὑπόληψις. ὥστε καὶ ἀριθμεῖσθαι τὴν Τριάδα διὰ
» τῶν ὑποστάσεων, καὶ εἰς ἑτεροφυῆ τμήματα μὴ διακόπτεσθαι. τίς οὖν
» ἡ μανία τῶν πνευματομαχούντων; καὶ τὰ ἑξῆς. Ἐνταῦθα τοίνυν ὁ μὲν
σκοπὸς πρόδηλός ἐστιν, ὅτι περὶ τῆς τοῦ πνεύματος θεότητος κατὰ τῶν
ταύτῃ μαχομένων ἐστίν. ὥσπερ δὲ ἐπεισόδιόν τι, καὶ τὸν περὶ τῆς ἑνώσεως
καὶ τῆς διακρίσεως συνύφηνε λόγον. καὶ ἡ τοῦ λόγου προχώρησις φανερά,
ὅτι ἐκ τῆς κατὰ τὴν ἐνέργειαν ταυτότητος, τὴν ἑνότητα τῆς οὐσίας καὶ τὴν
ἰσοτιμίαν. * ἐκ δὲ τῶν ἰδιαζόντως ἐπιθεωρουμένων ἑκάστῃ τῶν ὑποστά-
σεων, τὴν Τριάδα καὶ τὸ πλῆθος συνάγει. σαφὴς δὲ ἐστὶ καὶ ἡ τοῦ διδασ-
κάλου περὶ τῶν θείων δογμάτων εὐλάβεια. τὴν γὰρ ἱερὰν γραφήν,
κανόνα καὶ ὅρον τῶν περὶ θεοῦ λόγων καὶ οὗτος μετὰ τῶν λοιπῶν δι-
Διονύσ. » δασκάλων ποιεῖται, Διονυσίῳ καθάπαξ ἑπόμενος. ὅς φησι. Μὴ τολμη-
» τέον εἶναι παρὰ τὰ θεοειδῶς ἡμῖν ἐκ τῶν ἱερῶν λογίων ἐκπεφασμένα
Χρυσός. » λέγειν τι καὶ φρονεῖν. Καὶ τῷ χρυσῷ τὴν γλῶτταν σύμφωνα λέγων, Ἃ
Γρήγ. » μὴ γέγραπται, μὴ δὲ δεῖν φρονεῖν ἀξιοῦντι. Ἡ γὰρ ἁγία γραφὴ φησὶ, τὸν
Νύσσ. » υἱὸν ἐκ τοῦ πατρὸς εἶναι λέγει. πρὸς δὲ τὸ πνεῦμα οὐδαμῶς αὐτὸν ἀπο-
» δίδωσι. τὸ δὲ πνεῦμα τὸ ἅγιον, ἐκ τοῦ πατρὸς εἶναι λέγει, καὶ τοῦ υἱοῦ
» εἶναι προσμαρτυρεῖ. οὐκοῦν καὶ ἡμᾶς τοῖς ἐν τῇ ἱερᾷ γραφῇ λεγομέ-
νοις μόνοις πείθεσθαι δεῖ. καὶ ταῦτα κανόνα καὶ ὅρον τῆς ἡμετέρας περὶ
τῶν θείων δόξης ποιεῖσθαι. Ἔδοξε μὲν ἄν τινι φησὶν, ἐπεὶ τῆς αὐτῆς εἰσὶ
φύσεως ὁ υἱὸς καὶ τὸ πνεῦμα, τοῖς αὐτοῖς ἰδιώμασιν ἄμφω χαρακτηρίζε-
σθαι. καὶ καθάπερ ἀκολουθεῖ πῶς τὸ πνεῦμα ἐκ τοῦ Θεοῦ εἶναι, τὸ καὶ Χριστοῦ
πνεῦμα εἶναι αὐτό, οὕτω καὶ πῶς τὸν υἱὸν ἐκ τοῦ Θεοῦ εἶναι ἀκολουθεῖν, τὸ καὶ
τοῦ πνεύματος αὐτὸν εἶναι. τὸ δ' οὐχ οὕτως ἔχει. ἀλλὰ τὸ μὲν πνεῦμα
καὶ ἐκ τοῦ Θεοῦ ἐστί. καὶ Χριστοῦ πνεῦμα ἐστίν. ὁ δὲ υἱὸς ἐκ τοῦ Θεοῦ ὤν,

οὐκέτι καὶ τοῦ πνεύματος, οὔτ' ἐστὶν, οὔτε λέγεται. οὐ δὲ ἀντιστρέφει ἡ σχετικὴ αὕτη ἀκολουθία. τουτέστιν οὐκ ἀκολουθεῖ τῷ τὸ πνεῦμα Χριστοῦ εἶναι, καὶ τὸν υἱὸν τοῦ πνεύματος εἶναι. καθάπερ δηλονότι τῷ τὸν υἱὸν τοῦ πατρὸς εἶναι, καὶ τὸν πατέρα τοῦ υἱοῦ εἶναι ἀκολουθεῖ, ὡς καὶ ἐπὶ τῶν ἄλλων ἀναφορικῶν ἔχει. καὶ τούτου λόγος ἐστὶ, οὐχ ὅτι γόνιμος ἐστὶν ὁ υἱὸς τοῦ πνεύματος, καὶ διὰ τοῦτο τὰ τῆς ὑπερουσίου θεογονίας, οὐκ ἀντιστρέφει πρὸς ἄλληλα. καὶ ὁ πατὴρ γὰρ γόνιμος ἐστὶ τοῦ υἱοῦ, ἀλλ' ἡ σχετικὴ αὕτη ἀκολουθία, ἐπ' ἐκείνων ἀντιστρέφει καὶ πάνυ. ὡς γὰρ ὁ υἱὸς τοῦ πατρὸς, οὕτω καὶ ὁ πατὴρ τοῦ υἱοῦ λέγεται. ἀλλὰ διὰ τὴν τῶν ὀνομάτων σημασίαν οὐκ ἀντιστρέφει. τὸ μὲν γὰρ πνεῦμα οὐκ ἀναφορικὸν μόνον ἐστὶν, ἀλλὰ καὶ ἀπολελυμένως λέγεται. ὥσπερ ὁπόταν Θεὸς πνεῦμα καλῆται. καὶ ἐπειδὰν ἀναφορικῶς λέγηται, οὐκ ἀεὶ τὴν τῆς ὑπάρξεως αἰτίαν ἔχει συνεπομένην. ὥσπερ ἐπειδὰν τοῦ υἱοῦ λέγηται εἶναι τὸ πνεῦμα τὸ ἅγιον. πνεῖται γὰρ ἐκ τοῦ υἱοῦ τὸ πνεῦμα. ὥσπερ καὶ αὐτὸ πνεῖ ὅπου θέλει κατὰ τὸν θεῖον ἀπόστολον. καὶ δῶρον ἐστὶν, οὐ πατρὸς μόνον καὶ υἱοῦ πρὸς τὴν κτίσιν. ἀλλ' ἤδη καὶ ἑαυτοῦ κατὰ τὸν Αὐγουστῖνον. ἐπεὶ καὶ πνεῦμα οὐ μόνον ἡ τοῦ πνεύματος ὑπόστασις, ἀλλὰ καὶ ἡ τούτου ἐνέργεια λέγεται, καὶ ἡ χάρις κατὰ τὸν θεῖον Χρυσόστομον. καὶ ἔχει μὲν ὁ υἱὸς τὸ πνεῦμα συναϊδίως καὶ συμφυῶς, καὶ οὐδὲν ἧττον ἢ ὁ πατὴρ, ὡς ἀγαθὸν τῆς θείας φύσεως, ἣν ἐκ τοῦ πατρὸς ἔχει λαβών. ἀλλ' οὐχ ὑφίστησιν αὐτὸ ἐν τῷ ἰδίῳ εἶναι. ὁ γὰρ τῷ υἱῷ τὴν φύσιν διδοὺς, καὶ οὕτως αὐτὸν προσωπικῶς ὑφιστὰς, οὗτος καὶ τὸ πνεῦμα ὑφίστησι. ταύτῃ τοι τὸ πνεῦμα τὸ ἅγιον, πνεῦμα μὲν τοῦ Θεοῦ καλεῖ, διὰ τὴν σχέσιν ὁ θεῖος ἀπόστολος, καὶ τὴν φυσικὴν συγγένειαν τῆς θεότητος. ἐκ δὲ τοῦ Θεοῦ τοῦτο πάλιν λέγει, διὰ τὴν ἐκ τοῦ Θεοῦ ὕπαρξιν. Χριστοῦ δὲ πνεῦμα μὲν λέγει διὰ τὴν σχέσιν. ἐξ αὐτοῦ δὲ, οὐ λέγει που, διὰ τὸ μηδὲ ἐξ αὐτοῦ τὴν ὕπαρξιν ἔχειν. πνεῦμα μὲν οὖν οὕτω λέγεται τοῦ υἱοῦ. οὐδὲν γὰρ κωλύει τοῦτο, καὶ συγγενὲς αὐτὸ νοεῖσθαι κατὰ τὴν φύσιν, καὶ πνεόμενον ἐξ αὐτοῦ κατά τινα τρόπον ὡς εἴρηται. ὁ δὲ υἱὸς τοῦ πνεύματος οὐκ ἄν ποτε ῥηθείη καλῶς. τὸ γὰρ τοῦ υἱοῦ ὄνομα, τὴν πρὸς τὸν πατέρα ἀντι-

θέσιν προηγουμένως ἐκφαίνει. καὶ ἑπομένως τὴν κατὰ φύσιν παρίστησι ὁμοιότητα, τῶν διδασκάλων πάντων οὕτω λεγόντων. καὶ οὗ ἂν λέγοιτο εἶναι, τοῦτο πατέρα εἶναι ἀνάγκη. ὥσπερ Σωκράτης υἱὸς Σωφρονίσκου λέγοιτο, ἀνάγκη καὶ σωφρονίσκον πατέρα τοῦ Σωκράτους ἅμα νοεῖν. εἰ τοίνυν ὁ υἱὸς ἐλέγετο τοῦ πνεύματος εἶναι, ἐνοεῖτ' ἂν τὸ πνεῦμα τούτου εἶναι πατήρ. καὶ ἡ κατὰ τὴν φυσικὴν οἰκειότητα σχέσις, ὑπὸ τῆς ὀνόματος σημασίας καλυπτομένη, ἐφαίνετ' ἂν οὐδαμοῦ. καὶ ὑπὸ τοῦ ψεύδει τὸ ἀληθὲς ἂν ἐκρύπτετο. ἀλλὰ τοῦτο υἱοῦ μὲν πνεῦμα λέγεται. μηδέν τι παραβλαπτομένης τῆς τοῦ υἱοῦ σημασίας, ἀλλὰ τὴν σχέσιν τῆς οἰκειότητος. συνεμφαίνει γὰρ ἑαυτῷ τὸν πατέρα. τῆς δὲ κατὰ φύσιν οἰκειότητος τοῦ πνεύματος πρὸς τὸν υἱὸν μόνης ἐνδεικνυμένης τῷ λόγῳ. συγχωρεῖ γὰρ ὡς εἴρηται τοῦτο, ἡ τοῦ πνεύματος προσηγορία. ὁ δὲ υἱὸς τοῦ πνεύματος οὐ λέγεται, ὡς αὐτίκ' ἂν τῆς πατρικῆς ἰδιότητος εἰς τὸ πνεῦμα μεταστάσης, διὰ τὴν πρὸς αὐτὸ τοῦ υἱοῦ ἀνταπόδοσιν. τοῦτο δὲ καὶ Αὐγουστίνῳ δοκεῖ. ἐν γὰρ τῷ τοῦ περὶ τριάδος πέμπτῳ, τάδε φησί.

Αὐγουστῖνος περὶ Τριάδος.

„ Λέγομεν τὸ πνεῦμα τὸ ἅγιον τοῦ πατρός.
„ ἀλλ' οὐχὶ καὶ ἐναλλὰξ λέγομεν τὸν πατέρα τοῦ πνεύματος τοῦ ἁγίου, ἵνα μὴ υἱὸς
„ αὐτοῦ νοηθείη τὸ πνεῦμα τὸ ἅγιον. καὶ αὖθις. λέγομεν τὸ πνεῦμα τὸ ἅγιον
„ τοῦ υἱοῦ, ἀλλ' οὐχὶ λέγομεν καὶ τὸν υἱὸν τοῦ ἁγίου πνεύματος. ἵνα μὴ πατὴρ
„ αὐτοῦ νοηθείη τὸ πνεῦμα τὸ ἅγιον.

Ὅτι δὲ τὸ πνεῦμα τοῦ υἱοῦ λέγεται, διὰ τὴν φυσικὴν πρὸς τὸν υἱὸν σχέσιν καὶ οἰκειότητα, φθάσαντες τοῖς τῶν ἱερῶν διδασκάλων ῥητοῖς ἀπεδείξαμεν. ἀλλ' οἱ Λατῖνοι ταύτης καταφρονοῦντες τῆς ἐξηγήσεως, ἢ μὴ συνορῶντες εἰπεῖν οἰκειότερον, τὴν τῆς αἰτίας σχέσιν, αἰτίαν εἶναι λέγουσι τοῦ μὴ ἀντιστρέφειν. κἀντεῦθεν ἐπισυνάγουσι τὸ πνεῦμα τοῦ ἐκ τοῦ υἱοῦ εἶναι, εἴτουν ὑφίστασθαι. φασὶ γὰρ, ὁ υἱὸς τοῦ πνεύματος οὐ λέγεται, διὰ τὸ μὴ εἶναι ἐκ τοῦ πνεύματος. οὐκοῦν τὸ πνεῦμα λέγεται τοῦ υἱοῦ, διὰ τὸ εἶναι ἐκ τοῦ υἱοῦ. τί τοίνυν ἐροῦσι περὶ τοῦ πατρὸς ἐπειδάν τις αὐτῶν πυνθάνηται, διατί μὴ λέγεται τοῦ πνεύματος, πατήρ; ἆρ' ἐροῦσι διὰ τὸ μὴ εἶναι τὸν πατέρα ἐκ τοῦ πνεύματος; καὶ μὴν τὸ τοῦ πατρὸς, ὄνομα ἐνεργητικὴν ἔχει τὴν σημασίαν. καὶ οὐδεὶς ἀκούσας πατέρα πνεύματος, ὑπώπτευσεν ἂν αὐτὸν ἐκ τοῦ πνεύματος εἶναι. ἔλει-

γων

γῶν καὶ πατέρα πνεύματος εἶναι τὸν πατέρα καὶ λέγεσθαι. ἐξ αὐτοῦ γὰρ ἐστὶ τὸ πνεῦμα. καὶ παρ' αὐτοῦ ἐκπορεύεται. καθάπερ ὁ υἱὸς ἐξ αὐτοῦ γεννᾶται. ἢ δῆλον ὅτι διὰ τὸ τὸν πατέρα μὲν υἱοῦ εἶναι πατέρα. τὸ δὲ πνεῦμα μὴ εἶναι υἱὸν, διὰ τοῦτο οὐ λέγεται πατὴρ πνεύματος, ὥσπερ πνεῦμα πατρός. πνεῦμα δὲ πατρὸς λέγεται. καὶ οὐδεὶς νοεῖ τοῦτο υἱόν. διά τε τὴν εὐρυχωρίαν τῆς τοῦ πνεύματος σημασίας ὡς εἴρηται. καὶ διὰ τὸ τὸν υἱὸν προεπινοεῖσθαι τοῦ πνεύματος, τῷ πατρὶ συνεπινοούμενον. καὶ τοῦτο πρότερον ἐπεξείργασθαι. οὐκοῦν οὕτω καὶ ὁ υἱὸς οὐ λέγεται τοῦ πνεύματος, διότι τὸ πνεῦμα αἰτιατόν ἐστιν αὐτοῦ, καὶ τὰ τῆς θεογονίας οὐκ ἀντιστρέφει. εἰ γὰρ τὸ πνεῦμα αἰτιατόν ἐστι τοῦ υἱοῦ, οὔπω σαφές ἐστιν ἡμῖν καὶ Λατίνοις ὁμοῦ, ὥστε τούτου δοθέντος, ἐντεῦθεν καὶ τὴν τοῦ Νύσσης ῥῆσιν, ἐξηγεῖσθαι βούλεσθαι. καὶ διὰ τοῦτο οὐδὲν ἀνάγκης ταύτῃ τῇ τῶν Λατίνων προσέσειν ἐξηγήσει. εἰ δ' οὖν τὴν φυσικὴν σχέσιν μόνον ἐσήμαινε τὰ θεῖα ταῦτα ὀνόματα, καὶ μήτε τὴν αἰτίαν, μήτε τὸν τῆς αἰτίας τρόπον ἐδήλου, οὐδὲν ἂν ἐκώλυσε τὸν πατέρα μὲν τοῦ πνεύματος εἰπεῖν, τὸν δὲ υἱὸν τοῦ πνεύματος διὰ τὴν τῆς φύσεως οἰκειότητα. νῦν δὲ ἐκεῖνό τε ἡ τοῦ γεννᾷν ἔμφασις ὑποκαθημένη τῷ πατρικῷ ὀνόματι, καὶ τοῦτο ἡ τοῦ γεννᾶσθαι ἔμφασις τῷ τοῦ υἱοῦ ὀνόματι συνεμφαινομένη κωλύει. ὅπου δὲ ἡ σημασία τῶν ὀνομάτων, οὐδέν τι προσίσταται, τῆς μὲν ἐκ προθέσεως προκειμένης, οὐδαμῶς ἡ ἀντιστροφὴ γίγνεται. ἄνευ δὲ τῆς προθέσεως, καὶ πάνυ δύναται γενέσθαι. οἷον τὸ πνεῦμα μὲν ἐκ τοῦ προβολέως. ἀλλ' οὐχ ὅγε προβολεὺς ἐκ τοῦ πνεύματος. πρόβλημα δὲ τοῦ προβολέως ἐστί. καὶ προβολεὺς ὡσαύτως προβλήματος. καὶ υἱὸς μὲν ἐκ πατρός. ἀλλ' οὐχ ὅγε πατὴρ ἐξ υἱοῦ. υἱὸς μέντοιγε πατρός, καὶ πατὴρ υἱοῦ, καὶ ἔστι καὶ λέγεται. ἐπὶ δέ γε τοῦ πνεύματος πρὸς τὸν υἱόν, οὐχ ὁμοίως ἔχει. ἀλλὰ καὶ τὸ πνεῦμα, οὐ λέγεται ἐκ τοῦ υἱοῦ. καὶ υἱὸς ἐκ τοῦ πνεύματος πολλῷ μᾶλλον, οὐδ' ὁπωσοῦν. υἱοῦ μὲν λέγεται τὸ πνεῦμα. ἀλλ' ὁ υἱὸς τοῦ πνεύματος οὐδαμῶς. ὥστε διὰ τὴν τοῦ ὀνόματος σημασίαν ταῦτα συμβαίνει. οὐχ ἕνεκά γε τῆς θεογονίας, ἥτις ἐστὶν ἐκ θατέρου πρὸς θάτερον ἄνευ ἀντιστροφῆς, κατὰ τὸν ἱερὸν Διονύσιον. ὥστε τοῦ μὲν μὴ λέγεσθαι τὸν υἱὸν τοῦ πνεύ-

ματος, αἰτίαν ἀποδιδοῦσι Λατίνοις, τὸ μὴ εἶναι τὸν υἱὸν ἐκ τοῦ πνεύματος, συνομολογοῦμεν πάνυ καλῶς. τὸ δὲ πνεῦμα υἱοῦ λέγεσθαι διὰ τὴν ἐξ αὐτοῦ ὕπαρξιν, οὐκ ἄν ποτ᾽ ἐκείνοις πειθοίμεθα. ἀλλὰ μᾶλλον ταῖς τῆς πίστεως ὑποθέσεσι, καὶ τοῖς ἱεροῖς διδασκάλοις πειθόμεθα. οἱ μὲν γὰρ φασίν, ὅτι τοῦ υἱοῦ πνεῦμα λέγεται, ὡς ᾠκειωμένον κατὰ φύσιν αὐτῷ. προϋποτιθέντες ἐκ τοῦ Θεοῦ τοῦτο λέγεσθαι, ὡς ἐκ τοῦ Θεοῦ προελθόν. ὁ δὲ υἱὸς τοῦ Θεοῦ, πνεῦμα μὲν ἀληθείας ἀποκαλεῖ τοῦτο, τουτέστιν ἑαυτοῦ. ἐκπορεύεσθαι δὲ διωρισμένως εἶπεν ἐκ τοῦ πατρός. καὶ ὁ θεῖος αὖθις ἀπόστολος. τοῦ Θεοῦ μὲν εἶναι φησὶ τοῦτο, καὶ ἐκ τοῦ Θεοῦ. ἐκ δὲ τοῦ υἱοῦ, τοῦτο οὐδαμοῦ φησὶν εἶναι. ἀλλὰ μόνον πνεῦμα καλεῖ Χριστοῦ, καὶ πνεῦμα υἱοῦ. Λατῖνοι δὲ οὕτω πάντα κατ᾽ ἐξουσίαν ἐξηγοῦνται πολλήν, ὥστε πρὸ ἱερὸν μὲν τὴν τοῦ διδασκάλου νενοθεύκασι ῥῆσιν. κἀκείνου λέγοντος καὶ τοῦ υἱοῦ εἶναι προσμαρτύρεται, αὐτοὶ καὶ ἐκ τοῦ υἱοῦ εἶναι προσμαρτύρεται προσεθήκαν. οὐκ ἐνθυμηθέντες, ὅτι παρὰ πόδας αὐτοῖς ὁ τῆς κακουργίας ἔλεγχος ἀπαντήσει. ἐπάγει γὰρ εὐθὺς ὁ διδάσκαλος τὴν μαρτυρίαν, Χριστοῦ πνεῦμα λέγουσαν. τουτέστιν υἱοῦ. καὶ πάλιν ὥσπερ ἐπαναλαμβάνων φησίν, οὐκοῦν τὸ πνεῦμα τὸ ἐκ τοῦ Θεοῦ, καὶ Χριστοῦ πνεῦμα ἐστίν. ἔψευσε δὲ αὐτοὺς τῶν ἐλπίδων, καὶ τὰ πλεῖστα τῶν βιβλίων τὴν λύμην διαφυγόντα, καὶ τὴν ἀληθινὴν γραφὴν περισώζοντα. εἶτα καθάπερ ἑαυτῶν καταγνόντες, καὶ τὴν κακουργίαν ταύτην μισήσαντες, ἐκ τοῦ μὴ ἀντιστρέφειν ἐπιχειροῦσιν. ἐκεῖνα λέγοντες, ἃ καὶ ὑφ᾽ ἡμῶν ἐξελήλεγκται νῦν. καὶ πολλοῖς ἄλλοις τρόποις, ῥᾴδιον ἐστὶν ἐξελέγχεσθαι, μηδὲν ἀνάγκης ἔχοντα. ἀλλὰ καὶ τὰς σχέσεις διαιρούμενοι, ἐν ὅσαις τε κατηγορίαις εὑρίσκονται, καὶ ποσαχῶς λέγονται, ὅτι κατ᾽ ἰσότητα καὶ ὑπεροχήν τε καὶ ὕφεσιν, καὶ τοιαῦτα τινὰ τεχνολογοῦντες, τὴν τοῦ υἱοῦ πρὸς τὸ πνεῦμα σχέσιν, αἰτίας σχέσιν οἴονται δεικνύναι καλῶς. πολὺ δὲ ἀπέχουσι τὰ τοιαῦτα ἐπὶ τῶν θείων ἀληθῆ εἶναι καὶ κύρια. εἰ γὰρ κατὰ τὰς τοιαύτας τεχνολογίας, καὶ τὴν ἡμετέραν ὁριούμεθα πίστιν, πολλὰ τῶν ὁμολογουμένων διαγραψόμεθα. οἷς τὰ ἐκ τῆς ἀνθρωπίνης μηχανῆς οὐδ᾽ ὅλως συνάδει. ἀλλὰ δὴ μᾶλλον αὐτῷ Γρηγορίῳ προσέχειν.

χειν. ὃς τὸ μὲν μὴ ἀντιστρέφειν τὴν σχετικὴν ἐκείνην ἀκολουθίαν, σημεῖον τῆς προσωπικῆς αὐτῶν διακρίσεως ποιεῖται. τὴν δὲ τοῦ μὴ ἀντιστρέφειν αἰτίαν σιγᾷ. τολμηρὸν ἴσως οἰόμενος τὰς σχέσεις ἐκείνας διασμιλεύειν. καὶ τῇ γραφικῇ βουλόμενος αὐθεντίᾳ μόνῃ προσέχειν, υἱοῦ μὲν τὸ πνεῦμα λεγούσῃ. τὸν υἱὸν δὲ τοῦ πνεύματος οὐ λεγούσῃ, διὰ τὴν τοῦ ὀνόματος σημασίαν ὡς ἔοικε. δι' ἣν οὔτε λέγεσθαι, οὔτε εἶναι, δυνατὸν ἐστὶ τὸν υἱὸν τοῦ πνεύματος. οὐδὲν γάρ ἐστι χαλεπὸν μέχρι τοσούτου μαντεύεσθαι. καὶ τῷ Δαμασκηνῷ δὲ πείθεσθαι δεῖ, εἰδότι μὲν τὰ τοῦ Γρηγορίου καλῶς, λέγοντι δὲ περὶ τοῦ υἱοῦ καὶ τοῦ πνεύματος, οὕτως. Ἐκ ,, Δαμασκ.
τοῦ υἱοῦ δὲ τὸ πνεῦμα, οὐ λέγομεν. πνεῦμα δὲ υἱοῦ ὀνομάζομεν. τὸν δὲ ,,
υἱὸν, οὔτε τοῦ πνεύματος λέγομεν, οὔτε μὴν ἐκ τοῦ πνεύματος. καὶ μόνον ,,
αἴτιον λέγοντι τὸν πατέρα. καὶ τὸ πνεῦμα μὴ ἔχειν τὴν ὕπαρξιν ἐκ τοῦ υἱοῦ δογματίζοντι. Εἰ τοίνυν ὁ Νύσσης, διακρίνει μὲν τῷ ἀντιστρόφῳ τῆς σχέσεως. τὸν δὲ τῆς σχέσεως οὐκ ἐκτίθεται λόγον ἐναργῶς, ἀπόρρητον ὄντα. σὺν δὲ τούτῳ καὶ ὁ θεολόγος Γρηγόριος, ὅπως ἔχει τὰ θεῖα πρὸς ,, Γρηγ. ὁ
ἄλληλα σχέσεώς τε καὶ τάξεως, αὐτῇ μόνῃ τῇ Τριάδι συγχωρεῖν εἰδέναι ,, θεολ.
φησίν. οἱ δὲ μετ' αὐτοὺς ἅπαντες, ἐν οἷς ἐστὶ καὶ ὁ Δαμασκηνὸς Ἰωάννης, τὴν τῆς οὐσίας οἰκειότητα καὶ συγγένειαν, οὐ τὴν κατ' αἰτίαν ἀντίθεσιν, ἀποδιδόασι τῷ υἱῷ πρὸς τὸ πνεῦμα τοῖς λογίοις ἀκολουθοῦντες, ἡμεῖς Λατίνοις προσεξόμεν, ἰσότητας ἡμῖν καὶ ὑποθέσεις καὶ ὑφέσεις σχέσεων διαιροῦσι; καὶ ἐκ τοιούτων τινῶν μικρολογιῶν, τὴν ἀνάγκην τῆς ἑαυτῶν εἰσάγουσι δόξης; καὶ συνεπιθυμήσομεν καὶ ἡμεῖς αὐτοῖς ὧν οὐκ ἔξεστι; οὐδὲ ἐκδέδοται ζητεῖν ἢ πολυπραγμονεῖν; οὐκ ἄρα δόξομεν ἀκούειν τοῦ Γρηγορίου καλῶς, ἐν τῷ πρὸς Ἥρωνα λέγοντος λόγῳ.
Κρεῖσσον καμεῖν ἐν τοῖς λογισμοῖς, μετὰ τῆς ὁδηγίας τοῦ πνεύματος, ἢ προ- ,, Γρηγ. θεολ.
χείρως ἀντεμβῆναι τὴν ῥαστώνην διώκοντα. διὰ τοῦτό μοι τὰς ἐνστάσεις. ,,
καὶ τὰς ἀντιθέσεις, καὶ τὴν νέαν εὐσέβειαν, καὶ τὴν μικρόλογον σοφίαν. ,,
ἢ διὰ τοῦτο πλέον, ἢ τὰ τῶν ἀραχνίων νήματα. μυίας μὲν κρατοῦντα, ,,
σφηξὶ δὲ ῥηγνύμενα. οὔπω λέγω δακτύλοις. οὐδ' ἄλλῳ τινὶ τῶν ,,
βαρυτέρων σωμάτων. ἓν δίδασκε φοβεῖσθαι μόνον, τὸ λύειν τὴν πίστιν ἐν ,,

τοῖς ,,

» τοῖς σοφίσμασιν. οὐ δεινὸν ἡττηθῆναι λόγῳ· οὐ γὰρ πάντων ὁ λόγος. δει» νὸν δὲ ζημιωθῆναι θεότητος. πάντων γὰρ ἡ ἐλπίς. Οὐκοῦν οὐδὲν φησὶν ἐννοήσομεν περὶ τῶν ἐν τοῖς θείοις προσώποις σχέσεων; ἀλλ᾽ ὥσπερ μύοντες τὰς ψυχικὰς αἰσθήσεις, ἀνεξετάστως ταῦτα παραδεξόμεθα; καὶ σχετικὴν ἀκολουθίαν ἀκούοντες, οὐ ζητήσομεν τίς ἂν εἴη αὕτη, ἢ φωνήν τινα ἄσημον ἐροῦμεν τὸν διδάσκαλον ἐκεῖνον ἐξενεγκεῖν; οὐ δ᾽ ἡμεῖς τοῦτο φαμέν. ἀλλ᾽ ἐπὶ τῶν τῆς θεολογίας μένοντας ὅρων, οὕτω ταῦτα ζητεῖν καὶ νοεῖν, καὶ μηδόλως ὑπερπηδῶντας, ἡμῖν τε αὐτοῖς καὶ πᾶσι τοῖς ἀδελφοῖς συμβουλεύομεν. οἷον τὸ μὲν θεῖον ἢ ἓν ἐστὶ κατὰ φύσιν, καὶ ἄσχετόν ἐστιν. ἀλλ᾽ ἢ τοῖς προσώποις ὑπερφυῶς διακρίνεται, καί τινα σχέσιν ἐν ἑαυτῷ ἔχει. διακρίνεται δὲ, τῷ μὴ γεγεννῆσθαι, καὶ γεγεν» νῆσθαι, καὶ ἐκπορεύεσθαι. Αὐτὸ γὰρ τὸ μὴ γεγεννῆσθαι, καὶ γεγεννῆσθαι, » καὶ τὸ ἐκπορεύεσθαι (φησὶν ὁ μέγας Γρηγόριος) τὸν μὲν πατέρα. τὸν δὲ » υἱόν. τὸ δὲ τοῦθ᾽ ὅπερ λέγεται πνεῦμα ἅγιον, προσηγόρευσεν. Οὐκοῦν τὰ θεῖα πρόσωπα σχέσιν ἔχει πρὸς ἄλληλα, τὴν ἐκ τῶν ὀνομάτων τούτων ἐμφαινομένην. αὐτίκα ὁ υἱὸς ἐκ τοῦ πατρὸς γεννηθεὶς, καὶ ἀπ᾽ αἰτίας ἐστὶ τοῦ πατρὸς, καὶ ὁμοούσιος ἐστὶν αὐτῷ. καὶ ἄμφω ταῦτα τῇ σχετικῇ ταύτῃ τοῦ υἱοῦ προσηγορίᾳ συναναφαίνεται. φησὶ γὰρ ὁ προσε» χῶς εἰρημένος διδάσκαλος. Οὐκ ἐπειδὴ κατά τινα σχέσιν ὑψηλοτέραν » υἱὸς ὁ υἱὸς, οὐ δυνηθέντων ἡμῶν ἄλλως ἢ οὕτως ἐνδείξασθαι τὸ ἐκ Θεοῦ » καὶ τὸ ὁμοούσιον, ἤδη καὶ πάσας οἰκτέον ἀναγκαῖον εἶναι τὰς κάτω κλήσεις καὶ » τὰς ἡμετέρας συγγενείας μεταφέρειν ἐπὶ τὸ θεῖον. Οὐκοῦν τὸ υἱὸς ὄνομα, καὶ τὴν αἰτίαν καὶ τὴν ὁμοουσιότητα συνεμφαίνει καλῶς. ἔκ τε γὰρ τοῦ γεγεννηκότος ἐστὶ, καὶ τῆς αὐτῆς οὐσίας ἐστὶν ἐκείνῳ. οὕτω γὰρ ἔχει καὶ ἐπὶ τῆς κάτω γεννήσεως. ὅτι τὸ γεννώμενον ἔκ τινος, τὴν τοῦ γεγεννηκότος οὐσίαν καὶ φύσιν ἐξ ἐκείνου λαμβάνει. ὡσαύτως δὲ καὶ ἡ τοῦ πνεύματος κλῆσις νοουμένη θεοπρεπῶς, ἀρκοῦσαν ἔχει τὴν ἔμφασιν τῆς κατ᾽ οὐσίαν ἑνότητος. ὥσπερ γὰρ τὸ ψυχικὸν ἐν ἀνθρώπῳ πνεῦμα, τὴν αὐτοῦ φύσιν ἅπασαν διιὸν, κινήσεως καὶ ζωῆς αἴτιον γίνεται, οὕτω καὶ τὸ πνεῦμα τὸ ἅγιον, ὥσπερ ὁρμή τις καὶ κίνησις ἐνδοτέρα τῆς ὑπερφυοῦς ἐκείνης οὐσίας νοεῖται. προχεο-

μένη

Γρηγ. ὁ θεολ.

Ὁ αὐτός.

μένη ποτὲ καὶ εἰς τὰ ἔξω, διὰ τοῦ Θεοῦ. εἴθ' ὡς διὰ λόγου, εἴθ' ὡς διὰ στόματος. δεῖ μέντοιγε πάντα ταῦτα θεοπρεπῶς ἐκεῖ νοεῖν, τὴν τοῦ σώματος καὶ τῆς ὕλης καὶ τῆς κινήσεως φαντασίαν ἀπορραπίζοντας. οὐκ ἐκ τοῦ πνεύματος μόνου, ἀλλὰ καὶ ἐκ τῆς θείας οὐσίας ὅλως, καθάπαξ ἁπλουστάτης οὔσης καὶ ἀσωμάτου. τοῦτο τοίνυν τὸ πνεῦμα, ἐπειδὰν μὲν λέγηται τοῦ Θεοῦ ὁμοούσιον, τῷ Θεῷ ἀνυμνεῖται. πρῶτον μὲν γὰρ οὐκ ἔστι δυνατὸν εἶναι τι τοῦ Θεοῦ τῆς θείας φύσεως ἀποτετμημένον. ἔπειτα δὲ καὶ ὁ ἱερὸς Ἀθανάσιος ἐν τῷ εἰς τὴν σάρκωσιν λόγῳ, περὶ τοῦ πνεύματος τοῦ ἁγίου τὸν λόγον ποιούμενος, οὕτω φησίν. Ὁμοίως δὲ καὶ περὶ τοῦ πνεύ- » Ἀθανάσ.
ματος ὁ Παῦλος λέγει. ἡμῖν δὲ ἀπεκάλυψεν ὁ Θεὸς διὰ τοῦ πνεύματος » α. Κορινθ.
αὐτοῦ. τὸ γὰρ πνεῦμα ἅπαντα ἐρευνᾷ καὶ τὰ βάθη τοῦ Θεοῦ. τίς γὰρ οἶδεν » β.
ἀνθρώπων τὰ τοῦ ἀνθρώπου, εἰμὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ; οὕτω καὶ »
τὰ τοῦ Θεοῦ οὐδεὶς ἔγνωκεν, εἰμὴ τὸ πνεῦμα τοῦ Θεοῦ· ὥσπερ οὖν τὸ πνεῦμα τοῦ »
ἀνθρώπου, τῆς ἀνθρωπότητος αὐτοῦ καὶ τῆς οὐσίας οὐ κεχώρισται, οὕτω καὶ τὸ »
τοῦ Θεοῦ, τῆς θεότητος αὐτοῦ καὶ τῆς οὐσίας οὐκ ἔστιν ἀλλότριον. οὐ μόνον »
δὲ ὁμοούσιον τῷ Θεῷ τοῦτο δείκνυσιν ἡ γραφὴ, ἐν τῷ λέγειν αὐτὸ πνεῦμα »
Θεοῦ, ἀλλὰ καὶ ἐκ τοῦ Θεοῦ τοῦτ' εἶναι λέγει καθάπερ καὶ τὸν λόγον. ἵνα »
μὴ πλείω τὰ ἄναρχα πιστευθῶσιν, ἢ πλείους αἱ τῶν ὄντων ἀρχαί. Ἔστι τοί- »
νυν ἡ αὐτὴ σχέσις υἱοῦ τε πρὸς πατέρα καὶ πνεύματος. φυσικῶς γὰρ ἐστὶν ἐξ αὐτοῦ τοῦτο, καθάπερ καὶ ὁ υἱὸς, τῷ τρόπῳ μόνον διαφέρουσι τῆς ἐκεῖθεν ὑπάρξεως. καὶ αὕτη μία οὖσα ἡ σχέσις, διττὴ καταπημαίνεται λόγοις. ἔνθεν μὲν γὰρ ἐκ τοῦ Θεοῦ λέγεται, διὰ τὴν ἐκεῖθεν ὕπαρξιν. ἔνθεν δὲ πνεῦμα Θεοῦ, διὰ τὸ γνήσιον καὶ ἀχώριστον τῆς οὐσίας. ὡς ἐν τῷ προσεχῶς μνημονευθέντι λόγῳ, φησὶν ὁ ἱερὸς Ἀθανάσιος. μία δὲ καὶ πρὸς τὸν υἱὸν ἐστὶν ἡ τοῦ πνεύματος σχέσις, ἡ κατ' οὐσίαν ἑνότης δηλαδὴ, μετὰ τοῦ κατὰ τὴν ὑπόστασιν ἰδιάζοντος. τὸ δὲ κατὰ τὴν ὑπόστασιν ἰδιάζον τῷ πνεύματι, πρὸς μὲν τὸν πατέρα, τὸ προελθεῖν ἐξ αὐτοῦ πεποίηκε τοῦ πατρός. πρὸς δὲ τὸν υἱὸν, τὸ διαφόρως ἐκ τῆς αὐτῆς ἀρχῆς ὑποστῆναι. καὶ ταύτην τὴν σχέσιν ἀρκούντως ἑνὶ λόγῳ δεδήλωκεν ἡ γραφὴ, πνεῦμα υἱοῦ τοῦτο καλέσασα. καὶ πνεῦμα Χριστοῦ. εἰ γὰρ εἰσὶν οὗτοι πάντες οἱ λόγοι, τὸν αὐτὸν τοῦ σημαίνειν ἔχοντες τρόπον. καὶ τὸ μὲν τῆς ὑποστάσεως

δείκνυσιν ἰδιάζοι, ἐν τῷ τοῖς ὀνόμασι διαιρεῖν, οἷς ὁ διάφορος τῆς ὑπάρ-
ξεως τρόπος συναναφαίνεται. ᾧ καθάπαξ τὰ θεῖα πρόσωπα διακέκρι-
ται. τῷ μὲν γὰρ υἱῷ, ἡ γέννησις. τῷ δὲ πνεύματι, ἡ πρόοδος συνεπινοεῖ-
ται. οἷς ἰδιοσυστάτως ὑφεστήκασιν, ὁ υἱὸς καὶ τὸ πνεῦμα. τὴν δὲ τῆς φύ-
σεως ἑνότητα, ἐν τῷ τοιούτῳ δεσμῷ τοῦ λόγου παρίστησι. συνάπτει γὰρ ὁ
λόγος οὗτος τὸ πνεῦμα τῷ υἱῷ. καθάπερ εἰσὶ καὶ συνημμένα τῇ φύσει. οὐ γὰρ
ὡς κτῆμα, οὐ δὲ ὡς μέρος τοῦ υἱοῦ εἶναι λέγεται. ἀλλ' ὡς οὐσίας αὐτότη-
τι καὶ ἑνότητι πρὸς τὸν υἱὸν τοῦ Θεοῦ συνδούμενον ἀπορρήτως. ὡς καὶ αὐτὸ
Θεοῦ πνεῦμα ὄν, καθάπερ ἐκεῖνος λόγος ἐστὶ τοῦ Θεοῦ. ὥσπερ ἀλλαχοῦ τῇ
κοινωνίᾳ τῶν ὀνομάτων, ἡ γραφὴ τὸ τῆς φύσεως ὑπερηνωμένον, ἐνδείκ-
νυται. καὶ Χριστὸν τὸ πνεῦμα προσαγορεύει. ὃ προδήλως πλέον εἰς τὴν
ταυτότητα δύναται τοῦ πνεῦμα Χριστοῦ τοῦτο λέγεσθαι. δείκνυται γὰρ
οὕτω τῷ υἱῷ τοῦ Θεοῦ συνουσιωμένον, καὶ ὅλον ἐν αὐτῷ ὅλῳ ὄν. φησὶ γὰρ
Κύριλ. » ὁ Κύριλλος ἐν θησαυροῖς ἐν τῷ περὶ τοῦ πνεύματος λόγῳ, Δέχου μοι
» πάλιν ἐντεῦθεν ὀρθὰς περὶ τοῦ ἁγίου πνεύματος τὰς ἐννοίας. ἵνα δὴ καὶ
» ἐκμάθῃς αὐτὸ τῆς τοῦ σωτῆρος ὑπάρχον οὐσίας. καὶ τῆς μιᾶς θεότητος οὐκ
» ἀλλότριον. πνεῦμα γὰρ ἀποκαλέσας αὐτὸ τοῦ Θεοῦ, εὐθὺς καὶ πνεῦμα λέ-
» γει Χριστοῦ. δεικνύων ὅτι πάντα τὰ τοῦ πατρὸς ἴδια, διαβαίνει φυσι-
» κῶς καὶ ἐπὶ τὸν ἐξ αὐτοῦ γεννηθέντα υἱόν. Χριστὸν δὲ πάλιν εὐθὺς τὸ πνεῦ-
» μα καλεῖ. λέγων; εἰ δὲ Χριστὸς ἐν ἡμῖν, οὐκ ἀλλότριον αὐτὸ δεικνύων
» τῆς τοῦ λόγου φύσεως. ἀλλ' ὄντως ἡνωμένον εἰ καὶ ἐστὶν ἰδιοσύστατον, ὡς
» αὐτό τε ὑπάρχειν ἐν υἱῷ, καὶ υἱὸν ἐν αὐτῷ, διὰ τὴν τῆς οὐσίας ταυ-
τότητα. Τοιαύτην τινὰ τὴν τοῦ πνεύματος σχέσιν πρὸς τὸν υἱόν, αἱ τῆς
πίστεως ἡμᾶς ὑποθέσεις, καὶ τῶν διδασκάλων οἱ λόγοι διδάσκουσιν, ἥ-
τις ἡ αὐτὴ ἐστὶν αὐτῷ καὶ πρὸς τὸν πατέρα. πλὴν τοῦ ἐκεῖθεν ὑφίστασθαι.
ὡς γὰρ ἥνωταί τε τῷ πατρὶ κατὰ φύσιν, καὶ προσωπικῶς αὐτοῦ διακέκρι-
ται, οὕτω δὴ καὶ τοῦ υἱοῦ, διακέκριται μὲν καθ' ὑπόστασιν. ἥνωται δὲ
κατὰ φύσιν. καὶ αὕτη ἐστὶν ἡ τοῦ πνεύματος φύσις καὶ τάξις πρὸς τὸν υἱόν,
ἣν οἱ διδάσκαλοι τὴν αὐτὴν εἶναι λέγουσι καὶ τοῦ υἱοῦ πρὸς τὸν πατέρα.
καὶ μέχρι τούτων ἡ ὁμοιότης ἐστίν. εἰ δὲ πάντα εἶχεν ὁμοίως, ὥστε καὶ τὸν υἱὸν

εἶναι

εἶναι τοῦ πνεύματος αἴτιον, εἴδει γ' ἂν καὶ κατὰ τὸν τῆς προόδου τρόπον, εἶναι τὴν ὁμοιότητα. ἀλλὰ δῆλον, ὅτι περιαιρουμένων τῶν ἀσυνθέτων, ἐν τοῖς ἁρμόττουσι καὶ ἀληθέσιν, ἡ ὁμοιότης τῆς σχέσεώς τε καὶ τάξεως περισώζεται μόνοις. ἀλλ' οὐδ' ἀνάγκη κατὰ τὴν τῆς αἰτίας ἀντίθεσιν, μόνον εἶναι τὴν σχέσιν ἐν τοῖς θείοις προσώποις. ἀλλὰ δὴ καὶ τὸ ἀπὸ τῆς αὐτῆς προελθεῖν αἰτίας, κατὰ τὸ αὐτὸ τῆς φύσεως εἶδος, μετά τινος ἰδιότητος, σχέσιν ἐν τοῖς οὕτω προαγομένοις ποιεῖ. ὥσπερ ἐν τοῖς ἀδελφοῖς, παρὰ τοῦτο μόνον ἐστὶν ἡ διαφορά, ὅτι δύο μὲν ἀδελφοὶ ἐκ τοῦ αὐτοῦ πατρὸς προελθόντες, τὸ αὐτό τε τῆς φύσεως εἶδος, καὶ κατὰ τὸν αὐτὸν λαμβάνουσι τρόπον, τοῖς ἀπὸ τῆς ὕλης, ἢ τῆς ποσότητος ἰδιώμασι μόνοις διακρινόμενοι. ὁ δὲ υἱὸς τοῦ θεοῦ, καὶ τὸ πνεῦμα τὸ ἅγιον, τὴν αὐτὴν μὲν φύσιν, ἀλλ' οὐ τῷ αὐτῷ τῆς προόδου τρόπῳ λαμβάνουσι. καὶ τοῦτο τοῖς θείοις ὑπερφυές πρόσεστιν. ἐπ' οὐδενὸς γὰρ ἐστὶν ἀληθές, πλὴν ἐπ' αὐτῶν. ἀλλὰ πάντα τὰ ἐκ τῆς αὐτῆς ἀρχῆς προϊόντα συνωνύμως τε, καὶ κατὰ τὸ αὐτὸ τῆς φύσεως εἶδος, καὶ κατὰ τὸν αὐτὸν ἀπαραλλάκτως τρόπον, ἐξ ἐκείνης προΐασιν. ὥσπερ οὖν ἐπὶ τῶν ἀνθρώπων, ἡ μὲν τις σχέσις τοῦ πατρὸς ἐστὶ πρὸς τὸν υἱόν. ἡ δὲ τις δυοῖν υἱοῖν πρὸς ἀλλήλους. καὶ πρόσεστι μὲν ἀμφοτέραις ταῖς σχέσεσιν, ἡ κατὰ φύσιν ὁμοιότης. καὶ ἡ κατὰ τὰς ὑποστάσεις διάκρισις. αἴτιον δὲ τῆς διακρίσεως, οὐ τὸ αὐτὸ ἐστὶν ἐν ἀμφοῖν. ἀλλὰ τῇ μὲν, ἡ κατ' αἰτίαν ἀντίθεσις. τῇ δὲ, τὸ τὴν αὐτὴν φύσιν ἐν διαφόροις ἰδιώμασι προσειλῆφθαι. οὕτω δὴ καὶ ἐπὶ τῶν θείων ἔχει προσώπων. ἐστὶ μὲν τις σχέσις τοῦ πατρὸς πρὸς τὰ ἐξ αὐτοῦ. ἔστι δέ τις καὶ τοῦ υἱοῦ πρὸς τὸ πνεῦμα. καὶ πρόσεστι μὲν ἀμφοτέραις ταῖς σχέσεσιν, ἡ κατὰ τὴν φύσιν ταυτότης, καὶ ἡ κατὰ τὰς ὑποστάσεις διάκρισις. ἃ δὴ τὸν τῆς φυσικῆς σχέσεως συνίστησι λόγον, οὐ μὲν τοίγε τὸ αὐτὸ ἐστὶν ἐν ἀμφοῖν τῆς διακρίσεως αἴτιον. ἀλλὰ τῇ μὲν, ἡ κατ' αἰτίαν ἀντίθεσις, τῇ τοῦ πατρὸς δηλονότι πρὸς τὰ ἐξ αὐτοῦ. τῇ δὲ λοιπῇ, τὸ κατὰ τὰς ὑποστάσεις ἰδιάζον, ὅπερ αὐτοῖς ἐκ τοῦ διαφόρου τῆς ὑπάρξεως τρόπου συνέπεται. ἕως ἂν οὖν καὶ τὰ ἐκ τῆς αὐτῆς αἰτίας φυσικῶς προϊόντα, μετά τινος ἰδιότητος σχέσιν τινὰ πρὸς ἄλληλα ἔχῃ. (ἣν αὐτοὶ φαῖεν ἂν εἶναι

Λατῖνοι τὴν τῆς ἰσότητος) οὐδεὶς ἡμᾶς ἀναγκάσῃ λόγος, σχετικὴν ἀκολουθίαν νοεῖν ἐν υἱῷ πρὸς τὸ πνεῦμα, τὴν κατ' αἰτίαν ἀντίθεσιν, ἣν αὐτοὶ φασὶν ὑπερθέσεως καὶ ὑφέσεως εἶναι. οὐδ' ἀπὸ τῆς ὕλης ἡμᾶς θορυβήσουσιν, ἕως ἂν ἐν μὲν τοῖς ἀδελφοῖς, ἡ παρὰ τὴν ὕλην καὶ τὰς ἐξ αὐτῆς ἰδιότητας διαφορὰ διαμένει. ἐν δὲ τοῖς θείοις προσώποις, ὁ διάφορος τρόπος τῆς προόδου, διαμένειν ἔχῃ τὰ προϊόντα καλῶς. τοῦ δὲ τὴν σχέσιν ταύτην ἰσότητος οὖσαν, ὅμως μὴ ἀνταποδίδοσθαι, ἡ τῶν ὀνομάτων σημασία γέγονεν αἰτία. ὁ γὰρ υἱὸς εἰ ἀνταποδοθείη τοῦ πνεύματος, τὸ πνεῦμα πατὴρ ἔσται. ἀλλ' οὔθ' ὁ υἱὸς πατὴρ εἶναι δύναται, οὔτε τὸ πνεῦμα, ἕως ἂν υἱὸς ὦσι καὶ πνεῦμα. εἷς γὰρ ἐστὶ καὶ μόνος ἐν τοῖς θείοις πατήρ. ἐπεί τοιγε καλῶς γινομένης τῆς ἀνταποδόσεως, ἀντιστρέψει δήπου καλῶς. οἷον. ἐπεὶ πνεῦμα τοῦ υἱοῦ πάντες οἱ διδάσκαλοι λέγουσιν, ὡς ᾠκειωμένον τῷ υἱῷ κατὰ φύσιν, ὡς συγγενὲς κατὰ τὴν θεότητα καὶ ὁμοούσιον, μετειλήφθω πρὸς τὸ σαφέστερον αὕτη ἡ ἀκολουθία. καὶ λεγέσθω κατὰ τοὺς ἱεροὺς διδασκάλους, τὸ πνεῦμα ὁμοούσιον τῷ υἱῷ. καὶ ὁ υἱὸς ἐκ κοινοῦ ὁμοούσιος ἔσται τῷ πνεύματι. καὶ ᾠκειωμένος αὐτῷ κατὰ φύσιν. ἀλλ' οὐχ υἱὸς δήπου ἔσται τοῦ πνεύματος, διὰ τὴν εἰρημένην αἰτίαν. εἰ δέ τις οἴοιτο μὴ εἶναι ἀρκοῦσαν αἰτίαν τοῦ μὴ ἀντιστρέφειν τὸν υἱὸν πρὸς τὸ πνεῦμα, τὴν τοῦ ὀνόματος σημασίαν, ἀλλά τινα πραγματωδεστέραν αἰτίαν ἐπιζητεῖν, περίεισιν ὁ λόγος, καὶ τοιαύτην αὐτῷ αἰτίαν παρέξεται. ἀλλὰ νῦν ἀρκείτω τοῦτο ἡμᾶς ἐπιδεδεῖχθαι, ὡς ὁ μὲν μακάριος Νύσσης, καὶ νῦν πρὸς ἡμῶν ἐστὶ καὶ πρὸς ἑαυτοῦ. καὶ τῆς λατινικῆς ἐξηγήσεως, οὐδὲ μίαν ἀφορμὴν σαφῆ τε καὶ δικαίαν παρέχει. τὸ δὲ ἐκ τῆς αὐτῆς αἰτίας φυσικῶς προελθεῖν τὸν υἱὸν καὶ τὸ πνεῦμα, μὴ μέντοιγε κατὰ τὸν αὐτὸν τῆς προόδου τρόπον, τοῦτο καὶ τὴν ἕνωσιν ἐν σφίσι καὶ τὴν διάκρισιν, καὶ ὅλως τὴν πρὸς ἄλληλα σχέσιν ποιεῖ. τὸ δὲ καὶ τὸν υἱὸν εἶναι τοῦ πνεύματος αἴτιον, οὐδεὶς ἀναγκάζει λόγος, ἔκγε τῆς τοιαύτης σχέσεως ἢ τάξεως. οὔτε διὰ τὸ σχέσιν ἐν αὐτοῖς εἶναι καὶ τάξιν τινά, ἔξεσται τοῖς βουλομένοις, ἥν τινα ἂν καὶ βουληθεῖεν σχέσιν αὐτοῖς ἀποδιδόναι, καὶ τάξιν. οὐδ' ἂν ἐκ τοῦ προφαινομένου

δοκῇ τις εὐπρεπὴς εἶναι. οὐδὲν γάρ ἐστιν εὐπρεπὲς ἐπὶ τῶν θείων, τοῖς εὐλαβῶς αὐτῶν ἁπτομένοις, εἰ μὴ ὃ συνῳδὸν ἐπὶ τοῖς λογίοις τοῦ πνεύματος. τοῦτο δὲ καὶ τῷ μεγάλῳ δοκεῖ Βασιλείῳ ἐν δευτέρῳ τῷ πρὸς Εὐνόμιον φάσκοντι. „ Οὐ γὰρ ὅπερ ἂν ἐκ τῆς τῶν ῥημάτων ἀκολουθίας „ παραφαίνηται, εὐκόλως ἐπιπηδᾷν τούτῳ τόν γε τῷ θείῳ φόβῳ πεπαιδευ- „ μένον προσήκει. ἀλλ' ἀγαπᾷν τοῖς ἐν τῇ γραφῇ κειμένοις ὀνόμασιν „ ἐπιμένοντα, διὰ τούτων θεοπρεπῶς τὴν δοξολογίαν ἀποπληροῦν, μετὰ „ τῆς αὐτῆς εὐλαβείας, εἰ καὶ μὴ ἴσης. χρὴ δήπου καὶ τοῖς ἱεροῖς λογίοις. καὶ τοῖς τῶν διδασκάλων λόγοις προσφέρεσθαι. Βασιλ.

ΚΕΦΑΛΑΙΟΝ μα.

Εἰς τὸ ῥητὸν τοῦ Ἀθανασίου τὸ λέγον. ἐνέργειαν εἶναι τοῦ υἱοῦ τὸ πνεῦμα τὸ ἅγιον. ἐν ᾧ καὶ περὶ τοῦ μὴ ἀντιστρέφειν τὴν σχετικὴν ἀκολουθίαν.

Σκοπεῖν δὲ καὶ τὴν Ἀθανασίου ῥῆσιν. ὅπως παρέργως ἀκούοντες οἱ Λατῖνοι, οἴονται καθ' ἡμῶν καὶ ταύτῃ ὁπλίζεσθαι. οὗτος γὰρ ἐν τῇ πρὸς Σεραπίωνα ἐπιστολῇ, περὶ τοῦ ἁγίου πνεύματος οὕτω φησίν. „ Ἑνὸς γὰρ ὄντος υἱοῦ τοῦ ζῶντος λόγου, μίαν εἶναι δεῖ καὶ πλήρη „ ἁγιαστικήν, καὶ φωτιστικὴν ζωήν, οὖσαν ἐνέργειαν αὐτοῦ καὶ δωρεάν. ἥτις „ ἐκ πατρὸς λέγεται ἐκπορεύεσθαι. ἐπειδὴ παρὰ τοῦ λόγου τοῦ ἐξ αὐ- „ τοῦ ὁμολογουμένου, ἐκλάμπει καὶ ἀποστέλλεται καὶ δίδοται. Βασιλ. Λαμβάνοντες οὖν ἐντεῦθεν τὸ πνεῦμα τοῦ υἱοῦ εἶναι ἐνέργειαν, καὶ ἐξ ἄλλων δὲ διδασκάλων ἔχοντες, ὅτι ὁ υἱὸς ἐστὶν ἐνέργεια τοῦ πατρός, παραλογίζονται, ὅτι ὁ υἱὸς ἐστὶ τοῦ πνεύματος αἴτιος, καθάπερ ὁ πατὴρ τοῦ υἱοῦ. Δεῖ τοίνυν εἰδέναι, ὅτι τὸ τῆς ἐνεργείας ὄνομα, πολλαχῶς ἡ καθ' ἡμᾶς θεολογία λαμβάνει· ἥ τε γὰρ τελειότης τῆς φύσεως οὕτω καλεῖται, ὥσπερ ἥ τε σοφία καὶ ἀγαθότης καὶ ἡ ἰσχὺς ἐνέργεια λέγεται. καὶ οὕτω τὰς τοιαύτας τε-

λειότητας τοῦ Θεοῦ ἐνεργείας ἡ γραφὴ καλεῖ. αὗται δὲ ὑπαρκτικῶς μόνον ἐν τῷ Θεῷ θεωροῦνται. οὐχ ὑποστατικῶς, εἴτουν προσωπικῶς. οὐ δὲ πρὸς αἰτίαν ἀναφέρονται, ἀλλ᾽ ἀπολελυμένως λέγονται. διὸ μία καὶ αὐτὴ ἐστὶ τῶν τριῶν ὑποστάσεων, σοφία, καὶ δύναμις, καὶ ἀγαθότης, καὶ ζωὴ, καὶ ὅλως ἐνέργεια. πλὴν ὁπόταν ἰδίως ἡ σοφία ἀποδίδωται τῷ λόγῳ, ἡ δὲ δύναμις τῷ πατρὶ, ἡ δὲ ἀγαθότης τῷ πνεύματι. τότε γὰρ ἴσον δύναται λόγον τοῦ πατρὸς εἰπεῖν, καὶ σοφίαν τοῦ πατρὸς, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. ὁ δὲ τούτου λόγος ἀφείσθω νῦν, ἅτε μὴ τῆς παρούσης χρείας τυγχάνων. Ἔτι καὶ ἡ πρόοδος ἐνέργεια λέγεται ὑπὸ τῶν διδασκάλων. ἥτις ἀρχὴ μὲν ἐστὶ πρὸς τὸ προαγόμενον τρόπον τινά. ἔχει δὲ ἀρχὴν ἑαυτῆς τὴν δύναμιν. ὥσπερ ἡ γέννησις καὶ ἡ προβολὴ τοῦ πατρὸς ἐνέργεια λέγεται. ἔτι καὶ τὴν μεταξὺ τοῦ ἐνεργοῦντος καὶ τοῦ ἐνεργουμένου σχέσιν, ἐνέργειαν λέγουσιν. ἀλλὰ κατὰ μὲν τὸ τῆς σχέσεως σημαινόμενον, μὴ εἶναι ἐνέργειαν τὸν υἱὸν τοῦ Θεοῦ λέγει
Βασίλ. » ὁ μέγας Βασίλειος. καὶ τὴν αἰτίαν προστίθησιν. Ὅτι ἕτερον ἐνέργεια,
» παρὰ τὸν ἐνεργήσαντα, καὶ τὸ ἐνεργηθὲν αὐτό. ἀλλὰ καὶ ἀνυπόστατος.
Γρήγ. » πᾶσα γὰρ ἐνέργεια, ἀνυπόστατος. ὁ δὲ Νύσσης Γρηγόριος ἐν τῷ πρὸς
Νύσσ. » Ἀβλάβειον λόγῳ, Θεὸς φησὶν ἐνεργοῦντα δηλοῖ. θεότης δὲ ἐνέργειαν.
» οὐδὲν δὲ τῶν τριῶν ἐνέργεια. ἐνεργείας λέγων ἐνταῦθα τὰς φυσικὰς τελειότητας, ἃς ἐπινοίας περὶ τὴν οὐσίαν ἕτεροι διδάσκαλοι λέγουσιν. οὕτω μὲν οὖν, οὔτε ὁ τοῦ Θεοῦ λόγος, οὔτε τὸ πνεῦμα τὸ ἅγιον ἐνέργεια ἐστὶ τοῦ πατρός. οὐ δὲ ἔστι χωρίσαντας εἰπεῖν τὸν υἱὸν τοῦ Θεοῦ, ἐνέργειαν εἶναι τοῦ πατρὸς, ἢ τὸ πνεῦμα. οὔτε γὰρ ἀπολελυμένως ἕκαστον τούτων νοεῖται. οὔτε ὡς ἐνυπάρχον τῷ Θεῷ μόνον, ἢ προϊὸν ἐξ αὐτοῦ, ἀλλὰ καὶ ὡς ὑφεστώς. ὑπόστασις δὲ ὢν ὁ υἱὸς καὶ τὸ πνεῦμα, καὶ ἰδιοσυστάτως ὑφεστηκότα, ἐν τῇ ἄκρᾳ ἐκείνῃ καὶ ἁπλουστάτῃ τῆς θείας οὐσίας ἑνότητι, οὐκ ἂν εἶεν ἐνέργειαι. ἀλλὰ καίτοι τούτου βεβαίως οὕτω παρὰ πάντων τῶν διδασκάλων κηρυττομένου, ἐνέργεια τοῦ πατρὸς ὅμως ὁ υἱὸς καὶ τὸ πνεῦμα, παρὰ πλείστων λέγεται διδασκάλων. ἀλλ᾽ ἐνέργεια ὑφεστῶσα, καὶ ζῶσα, καὶ ἐνυπόστατος. τοῦ λόγου δηλοῦντος, ὅτι ὑπόστασις μὲν ἐστὶν ὁ υἱὸς καὶ τὸ πνεῦμα.

πνεῦμα. καὶ ταύτῃ τῆς ἐνεργείας κεχώρισται. τῷ δὲ τρόπῳ τῆς ἐνεργείας νοοῦνται, ὡς ἑτέρωθεν ὑφιστάμενα πρόσωπα. καὶ διὰ τοῦτο ἑκάτερον αὐτῶν ἐνέργεια λέγεται. ζῶσα, καὶ ὑφεστῶσα, καὶ ἐνυπόστατος. ὃ περὶ, τοῦ πατρὸς οὐ δύναται λέγεσθαι, ἀλλὰ μόνον ὑπόστασις ἐκεῖνος ἐστὶν, ὡς οὐδαμῶς τῷ τῆς ἐνεργείας τρόπῳ νοούμενος. οὔτε γὰρ ἐνήργηται ἔκ τινος, ἀναίτιος ὤν. οὔτε δι' αὐτοῦ ἕτερον τι πρόσωπον ἐνεργεῖ, ὡς δι' ἐνεργείας φυσικῆς καὶ ἐνυποστάτου. ἀλλὰ μᾶλλον ὡς δι' αἰτίας. ὅτι τὸ ἐνεργεῖν ὁποιοῦν, ἐξ αὐτῆς ἔχει μετὰ τοῦ εἶναι. διὰ τοῦτο γὰρ ὁ υἱὸς οὐδὲν δύναται ποιεῖν, ἐὰν μή τι βλέπῃ τὸν πατέρα ποιοῦντα. καὶ διὰ τοῦτο ὁ υἱὸς τοῦ Θεοῦ, τὸ τοῦ πατρὸς ἔργον ποιεῖν καὶ τελειοῦν λέγεται. Ὁ τοίνυν υἱὸς τοῦ Θεοῦ, διχῶς ἐνέργεια τοῦ πατρὸς δύναται λέγεσθαι. πρῶτον μὲν, ὡς ἐξ ἐκείνου γεγεννημένος. ὃν τρόπον τὸ ἔκ τινος προϊὸν ἐνέργεια αὐτοῦ δύναται λέγεσθαι. οὕτω γὰρ τὸν καρπὸν φαμὲν ἐνέργειαν τοῦ φυτοῦ. καὶ τὸν λόγον τοῦ νοῦ. καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. καὶ ἁπλῶς, ὡς ἡ ἐνέργεια, ἣν ὁ Θεὸς ἐνεργεῖ ἐν ἑαυτῷ, τουτέστι προάγει. ἔστι γὰρ κατὰ τὸν θεῖον Δαμασκηνὸν, ἅπαν ἐνέργημα, καὶ ἐνέργεια τοῦ ἐνεργήσαντος. ἀλλὰ κατὰ ταύτην τὴν διάνοιαν, οὐ πάνυ τὸ τῆς ἐνεργείας ὄνομα κατηγοροῦσι τῆς τοῦ υἱοῦ ὑποστάσεως καὶ τοῦ πνεύματος. ἀλλὰ μάλιστα ἐνέργειαν εἶναι τοῦ πατρὸς φασὶ τὸν υἱὸν, ὡς ᾗ ἐνεργεῖ ὁ πατὴρ ἐν τοῖς ἔξω. διὰ γὰρ τοῦ υἱοῦ παράγει τὰ πάντα καὶ ἀναπλάττει, καὶ πρὸς ἑαυτὸν ἐπιστρέφει. ὡς διὰ φυσικῆς καὶ ἐνυποστάτου αὐτοῦ δυνάμεως ἢ ἐνεργείας, ὁ θεῖος λέγει Δαμασκηνός. ὡσαύτως δὲ καὶ τὸ πνεῦμα ἐνέργειαν φασὶ τοῦ Θεοῦ, ὡς ᾗ ἐνεργεῖ ὁ πατὴρ ἐν τοῖς ἔξω. ἐν πνεύματι γὰρ, καὶ ζωοποιεῖ τὰ ζωῆς μετέχοντα. καὶ τελειοῖ πάντα τὰ ὁπωσοῦν ὄντα. καὶ φωτίζει καὶ ἁγιάζει τὰ νοερὰ καὶ λογικὰ, καὶ μετέχειν αὐτοῦ δυνάμενα κτίσματα. ὅτε καὶ ὁ υἱὸς τοῦ Θεοῦ ἐστὶν ὁ δημιουργῶν. καὶ τὸ πνεῦμα ἐστὶ τὸ ζωοποιόν. ὡς γὰρ ὑπόστασις, ἑκάτερον τούτων καὶ Θεὸς ἀληθὴς, δι' ἑαυτοῦ τε δημιουργεῖ ὁ υἱὸς οὐδὲν ἧττον. καὶ δι' ἑαυτοῦ τὸ πνεῦμα ζωοποιεῖ καὶ καθαίρει καὶ φωτίζει τὴν κτίσιν. τὰ γὰρ πρὸς τὴν κτίσιν τῆς θεότητος ἔργα, κοινὰ τοῖς θείοις προσώποις καὶ ἀδιαίρετα. καὶ μία ἐστὶν ἡ

ἐκ

ἐκ πατρὸς δι' υἱοῦ ἐν πνεύματι διδομένη χάρις καὶ δωρεά, ὁ μέγας Ἀθανάσιος εἴρηκε. τὴν πρώτην μὲν τοίγε πάντων αἰτίαν ὁ ἱερὸς ἐξαίρων λόγος, ὡς δὴ ἀγέννητον καὶ ἀναίτιον, καὶ ὡς μηδαμῶς ἐν σώματι ἢ σώματος εἴδει φανερωθεῖσαν, τὰς ἐξ αὐτῆς ὑποστάσεις τῷ τῆς ἐνεργείας ὀνόματι καλῶς καὶ εὐσεβῶς ἀνυμνεῖ, τὸ ζῶσαν ὑφεστῶσαν καὶ ἐνυπόστατος προσθείς. καὶ τὴν ἐκ τῆς ἐνεργείας ὕφεσιν πρὸς τὴν οὐσίαν ἐξ ἧς ἐστὶν ἀποθέμενος. καὶ δι' αὐτὴν οὕτω καὶ ἐν αὐταῖς τὸν Θεὸν καὶ πατέρα ἐργάζεσθαι Θεολογεῖ. Ὅτι δὲ οἱ διδάσκαλοι τοῦ πατρὸς ἐνέργειαν τὸν υἱὸν καὶ τὸ πνεῦμα καλοῦσιν, ὡς ὑποστάσεις τινάς, ἄλλην τὴν τοῦ πατρὸς ἐχούσας ἐνέργειαν, καὶ νοοῦσιν ἐνέργειαν τότε, ἣ ἐνεργεῖ τὸ θεῖον εἰς τὰ ἔξω ἑαυτῷ χρώμενον μετά τινος τάξεως, δῆλον ἐστὶ τοῖς τὰ τῶν διδασκάλων ἐπισκεπτομένοις καλῶς. ὁ γὰρ μακάριος Κύριλλος, ἐν πρώτῳ τῶν θησαυρῶν.

Κύριλ.

Ὁ „ υἱός ἐστι φησίν, ἡ ζῶσα καὶ οὐσιώδης ἐνέργεια καὶ δύναμις καὶ σοφία τοῦ „ πατρός. περὶ δὲ τοῦ ἁγίου πνεύματος ἐν τῇ αὐτῇ βίβλῳ τῶν θησαυρῶν „ λέγει, Τὸ πνεῦμα γὰρ τὸ ἅγιον, οὐσία καὶ φύσις ἁγιαστική, καὶ τῆς τοῦ „ Θεοῦ καὶ πατρὸς θεότητος (ἵν' οὕτως εἴπω) ποιότητος. ὥσπερ γὰρ καὶ ὁ „ γλυκασμὸς τοῦ μέλιτος, ἢ ἡ ἐξ ἄνθους εὐωδία. Οὐκοῦν εἴπερ ἐστὶ κατὰ φύσιν ἅγιον, οὐκ ἔξωθεν ἔχει τὸ εἶναι τοιοῦτον. μᾶλλον δὲ αὐτὸ τῆς θείας ὑπάρχον οὐσίας, ἐνέργεια φυσική τε καὶ ζῶσα καὶ ἐνυπόστατος, περιτίθησιν ἂν τῇ κτίσει τὸ τέλειον δι' ἁγιασμοῦ καὶ τῆς πρὸς αὐτὸ μετοχῆς. ὁ δὲ αὐτὸς οὗτος διδάσκαλος, καὶ τοῦ υἱοῦ ἐνέργειαν τὸ πνεῦμα βούλεται εἶναι.

Ὁ αὐτός.

„ ἐξηγούμενος γὰρ τὸ καὶ Θεὸς ἦν ὁ λόγος, οὕτω φησίν. Οὐκ ἄρα ἐλάττων „ ἐστὶν ὁ τὴν αὐτὴν ἐνέργειαν ἔχων τῷ τελείῳ πατρί, καὶ τὸ τοῦ γεννήσαν- „ τος πνεῦμα, φύσεως ἰδίας ἔχων ἀγαθὸν ζῶν τε καὶ ἐνυπόστατον, καθάπερ ἀμέλει καὶ ὁ πατήρ. Τουτέστιν οὐκ ἐπακτόν. οὐδὲ ἔξωθεν. οὕτω γὰρ αὐτὸς ἑαυτὸν ἐξηγούμενος, τῷ καθάπερ ὁ πατὴρ προστίθησιν ἀλλαχοῦ. οὕτω καὶ ὁ ἱερὸς Ἀθανάσιος ἐνέργειαν τοῦ υἱοῦ τὸ πνεῦμα καλεῖ. καὶ οὐκ ἐνέργειαν μόνον, ἀλλὰ καὶ δωρεάν. καίτοιγε οὐσίαν ὂν καὶ ζωὴν τελείαν καὶ πλήρη. ἀλλ' ἐνέργεια ἐστίν, ὡς ἁγιαστικὴ καὶ φωτιστική. ὅτι δι' αὐτοῦ καθάπερ ἐνεργείας τινός, καὶ ἁγιάζει τὴν κτίσιν ὁ τοῦ Θεοῦ υἱὸς καὶ φωτίζει.

πίζει. ἐνυπάρχει γὰρ αὐτὴ τῷ υἱῷ κατὰ φύσιν, εἰ καὶ ἰδιοσυστάτως ὑφέστηκε. καὶ ὥσπερ ὁ υἱὸς ὡς Θεὸς ἐνεργεῖ, διὰ τοῦ πνεύματος ἐνεργεῖ. οὐδὲν ἧττον καὶ αὐτοῦ τοῦ πνεύματος δι᾽ ἑαυτοῦ ταῦτ᾽ ἐνεργοῦντος, διὰ τὴν μίαν τῆς θεότητος ἐνέργειάν τε καὶ δύναμιν. καὶ προστίθησιν ὁ διδάσκαλος. Ὅτι ἡ τοιαύτη ἐνέργεια, ἐκλάμπειν μὲν, ἀποστέλλεσθαι καὶ δίδοσθαι παρὰ τοῦ λόγου. ἐπεὶ δὲ ὁ λόγος ἐκ τοῦ πατρὸς ὡμολόγηται, διὰ τοῦτο ἐκ τοῦ πατρὸς ἐκπορεύεσθαι λέγεται, τουτέστιν ὑφίστασθαι. τὸ γὰρ διὰ τοῦ υἱοῦ φανερούμενον, ἐκ τοῦ πατρὸς ὑφίστασθαι δεῖ. οὐδὲν γὰρ ὁ υἱὸς ἔχει παρ᾽ ἑαυτῷ, οὕτως, ὥστε καὶ δύνασθαι φανεροῦν, ὃ μὴ τὴν ἀρχὴν ἐκ πατρὸς ὑφέστηκε, παρ᾽ οὗ καὶ αὐτὸς ἔχει τὸ εἶναι. μαρτυρεῖ δὲ τούτοις τοῖς λόγοις, καὶ ὁ Θεῖος Ἀπόστολος. καὶ ἐκ τοῦ Θεοῦ εἶναι λέγων τὸ πνεῦμα, καὶ τοῦ Θεοῦ. Χριστοῦ δὲ μόνον καὶ υἱοῦ τοῦτ᾽ εἶναι φάσκων, οὐ μέντοιγε ἐκ τοῦ Χριστοῦ. οὐ γὰρ ἠβούλετο τὸ πνεῦμα τοιαύτην εἶναι τοῦ υἱοῦ ἐνέργειαν, οἵα καὶ τοῦ πατρὸς ἐστὶ καθάπαξ. τουτέστιν ὡς ἐκεῖθεν ἐνηργημένον καὶ προηγμένον. ἀλλ᾽ ἢ μόνον ὡς ὁμοούσιον. καὶ πᾶσαν τὴν ἐνέργειαν τοῦ υἱοῦ φέρον ἐν ἑαυτῷ. καὶ τοῖς εὐαγγελίοις ἐν δακτύλῳ Θεοῦ καὶ ἐν πνεύματι. τοῦτο δὲ δεικνύουσι τοῦ προάγειν αὐτό, καὶ ἐνεργεῖν αὐτό, ἢ εἰς αὐτό. ἀλλ᾽ ἐκ τοῦ πατρὸς ἐκπορεύεσθαι τοῦτο λέγει. ὅπου δεικνύουσιν οὐκ ἐν πνεύματι μόνον ἐνεργοῦντα τὸν πατέρα καθάπερ αὐτός. ἀλλὰ καὶ αὐτὸ προάγοντα τὸ πνεῦμα καὶ ὑφιστῶντα. ἀλλὰ πάντων τῶν ἄλλων παριεμένων, ὃ φησὶν ὁ Κύριλλος ἐν θησαυροῖς περὶ τοῦ παναγίου πνεύματος. δεῖ καθάπερ ἐξήγησίν τινα σαφεστάτην τῆς Ἀθανασίου ῥήσεως ἔχειν. Ὅτε τοίνυν τὴν τοῦ πατρὸς φησὶ παρουσίαν, ὁμοίως δὲ καὶ τὴν τοῦ υἱοῦ, τὸ πνεῦμα τὸ ἅγιον ἀποπληροῖ, πῶς οὐκ ἔστι δῆλον ὡς οὐ διῄρεται τῆς θείας οὐσίας. ἀλλ᾽ ἐξ αὐτῆς φυσικῶς ἐκπεμπόμενον, ὅλην ἔχει τοῦ πατρὸς καὶ υἱοῦ τὴν ἐνέργειαν; καὶ πάλιν. Θεὸς δ᾽ ἄρα τὸ πνεῦμα, ἐστὶ τὸ ἐν υἱῷ παρὰ πατρὸς φυσικῶς ὑπάρχον. καὶ ὅλην αὐτοῦ τὴν ἐνέργειαν ἔχειν. Ἐνέργεια τοίνυν ἐστὶ τοῦ υἱοῦ τὸ πνεῦμα, ὡς ὅλην ἔχον τοῦ υἱοῦ τὴν ἐνέργειαν, καὶ εἰκὼν ἐστὶ τοῦ υἱοῦ, ὡς ἐν ἰδίᾳ φύσει κατασημαῖνον εὖ μάλα τὴν οὗπερ ἐστὶν, ὁ αὐτὸς εἴρηκε Κύριλλος. καὶ οὐκ εἶπεν ἐξ οὗ ἐστί. πάνυ

Ἀθανάσ.

α. Κορινθ. κεφαλ. β.

Κύριλ.

γὰρ συνεσπειραμένως περὶ τοῦ πνεύματος ποιεῖται τὸν λόγον, περὶ τῆς ὑπάρξεως ἐκείνου σκοπῶν, οὐ τῆς πρὸς τὴν ἡμετέραν εὐεργεσίαν προόδου τε καὶ κινήσεως. καὶ διὰ τοῦτο πρὸς τὸν ἀποστολικὸν ἑαυτὸν ἀναφέρει λόγον καλῶς. ἐν ᾧ τὸ πνεῦμα τοῦ υἱοῦ λέγεται, οὐκ ἐκ τοῦ υἱοῦ. καὶ δέχεται πάντα παρὰ τοῦ υἱοῦ τὸ πνεῦμα, κατὰ τὸν ἱερὸν Ἀθανάσιον. διότι ἅπερ αὐτὸ δίδωσιν ἡμῖν καὶ διδάσκει, ταῦτα καὶ τοῦ υἱοῦ ἐστὶ δῶρα καὶ ῥήματα. ταῦτα δὲ λαμβάνουσιν ἄμφω, καθάπερ ἀπὸ πηγῆς τοῦ πατρός. καὶ πνοὴ ἐστὶ τοῦ υἱοῦ κατὰ τὸν αὐτὸν Ἀθανάσιον. ὡς ἐμφυσώμενον ὑπ᾽ αὐτοῦ καὶ πνεόμενον. τουτέστιν ὑπὸ τῷ τύπῳ τῆς σωματικῆς ταύτης πνοῆς, διδόμενόν τε καὶ μετεχόμενον ἀπορρήτως. διὰ τοῦτο καὶ πνεῦμα μὲν υἱοῦ λέγεται. υἱὸς δὲ τοῦ πνεύματος οὐ λέγεται. ὅτι τὸ μὲν πνεῦμα δέδωκεν ἡμῖν ὁ υἱός. τὸν δὲ υἱὸν οὐ δέδωκεν ἡμῖν τὸ πνεῦμα, εἰ μὴ καθόσον τοῦ πνεύματος μετέχοντες, τοῦ υἱοῦ μετεχόμεθα, ὥς φησιν Ἀθανάσιος. καὶ καθὸ πρότερον ὁ λόγος γέγονε σάρξ. ὅτε καὶ ἐκ πνεύματος ἁγίου γεννηθῆναι. καὶ ὑπὸ τοῦ πνεύματος ἀπεστάλθαι λέγεται. ὑπὸ δὲ τῷ λόγῳ τῆς ἐνεργείας, ὁ υἱὸς οὐδέποτε ἡμῖν ἐκ τοῦ πνεύματος, ὥσπερ ὑπὸ τοῦ υἱοῦ τὸ πνεῦμα ἐδόθη. καί τοιγε ὑπόστασις ἐστὶ τὸ πνεῦμα τὸ ἅγιον καθάπερ ὁ λόγος. ἀλλ᾽ ὑπὸ τῷ λόγῳ τῆς ἐνεργείας φανεροῦται, καὶ δίδοται καὶ μετέχεται. καὶ τοῦτ᾽ ἐστὶν ἀληθές, εἰ καὶ κατὰ τὴν αἰτίαν οὔτε δυνάμεθα συνορᾷν, οὔτ᾽ ἀνιχνεύειν τολμῶμεν. κἀντεῦθεν ἡ σχετικὴ αὕτη ἐκείνη ἀκολουθία κατὰ τὸν Νύσσης οὐκ ἀντιστρέφει Γρηγόριον. εἴπερ μηδὲ τὸ ὑποκείμενον πρὸς τὴν ἐνέργειαν ἀντιστρέφειν δύναται, ὥσπερ αὐτὴ τοῦ ὑποκειμένου λέγεται εἶναι. Οὔτε ..ίνην ἐνέργεια ἐστὶ τὸ πνεῦμα ἀλλ᾽ ὑπόστασις, οὔτ᾽ ἐνέργεια τοῦ υἱοῦ, ὡς ὑπόστασις ἐκεῖθεν παραγομένη. καὶ ὅμως ἐνέργεια τοῦ υἱοῦ λέγεται, ὡς ὅλην τοῦ υἱοῦ τὴν ἐνέργειαν ἔχον, καὶ τῷ τῆς ἐνεργείας τρόπῳ ἀπορρήτως φανεροῦταί τε καὶ μετέχεται. καὶ διὰ τοῦτο εἰ καὶ μὴ ἡ τοῦ ὀνόματος σημασία τὴν ἀντιστροφὴν ἐκώλυεν ὡς εἴρηται πρότερον, ἐκ γοῦν τοῦ λόγου τῆς ἐνεργείας εἴπετ᾽ ἂν αὐτὴν κωλυθῆναι.

Κεφάλ.

ΚΕΦΑΛΑΙΟΝ μβ.

Εἰς τὸ ῥητὸν τοῦ αὐτοῦ Ἀθανασίου, τὸ λέγον, τὸν υἱὸν μείζονα εἶναι τοῦ πνεύματος.

Ἐντεῦθεν καὶ μείζονα τοῦ πνεύματος, καὶ ἴσον, ὁ ἱερὸς Ἀθανάσιος φησὶ τὸν υἱόν. ἴσον μὲν, κατὰ τὴν φύσιν καὶ τὴν ἀξίαν τῆς θεότητος. μείζονα δὲ, διὰ τὰς τοῦ πνεύματος χάριτας καὶ δωρεάς. ἃς οἴκοθεν καὶ συμπεφυκυίας οὐκ ἐπίκτητον ἔχον τὴν αὐτὴν πηγὴν τὸ πνεῦμα τὸ ἅγιον, διανέμει καὶ χορηγεῖ τοῖς γνησίως πιστεύουσιν. οὕτω γὰρ καὶ τὸ πνεῦμα ἓν ὂν καὶ ἄκρως ἀπλούστατον, ὅμως μεῖζον ἂν ἑαυτοῦ λέγοιτο καὶ νοοῖτο, ἐπὶ τῆς ἀξίας ἐκείνης ἀμεθέκτως τε καὶ ἀκοινωνήτως ἱδρυμένον. ἔλαττον δὲ διὰ τὰς ἐνεργείας αὐτοῦ. δι᾽ ὧν εἰς τὴν ἑαυτοῦ κοινωνίαν ἡμᾶς ἀναφέρει· κατιὸν γὰρ εἰς ἡμᾶς, καὶ συγκαταβαῖνον, οὕτω τὴν ἡμετέραν ἐργάζεται ἄνοδον. καὶ διὰ τοῦτο κάτεισιν ἐν εἴδει περιστερᾶς καὶ γλωσσῶν. ὥσπερ ὁ υἱὸς τοῦ Θεοῦ, ἐπὶ πόκον ὡς ὑετὸς καταβαίνει, καὶ εἰς τὴν ἐσχατιὰν ἀφικνεῖται τῆς ἡμετέρας φύσεως καὶ κενοῦται. ὅτι καὶ ἡ μὲν θεία φύσις, οὐδέν τι πάθος ὑφίσταται. τὸ δὲ πρὸς τὴν ἡμετέραν πρόνοιαν ἐπιστρεφομένην αὐτὴν, καὶ τὰς θείας ὑφαπλοῦσαν ἀκτῖνας, καὶ δι᾽ αὐτῶν περιθάλπουσάν τε καὶ ἀναζωπυροῦσαν, καὶ τὸ πᾶν εἰπεῖν βελτιοῦσαν, οὕτως ἀνασπᾶν πρὸς ἑαυτὴν καὶ ἀνέλκειν, τοῦτο κένωσις τῆς ἀκενώτου φύσεως ἐκείνης, καὶ συγκατάβασις, καὶ ταπείνωσις, καὶ οἰκονομία, καὶ ἔστι καὶ λέγεται. διὰ τοῦτο ὁ αὐτὸς Ἀθανάσιος ἐν τῷ κατὰ
τῶν Ἀρειανῶν, γ, τὸ τοῦ Ἰωάννου ῥητὸν παραθείς. ἐν τούτῳ γινώσκομεν „ Ἰωάν. Ἐ-
ὅτι ἐν αὐτῷ μένομεν, καὶ αὐτὸς ἐν ἡμῖν, ὅτι ἐκ τοῦ πνεύματος αὐτοῦ δέ- „ πιστολὴ. α.
δωκεν ἡμῖν. Οὐκοῦν φησι διὰ τὴν δεδομένην ἡμῖν τοῦ πνεύματος χά- „ κεφ. δ.
ριν, ἡμεῖς τε ἐν αὐτῷ γινόμεθα, καὶ αὐτὸς ἐν ἡμῖν. καὶ ὁ θεῖος Βασίλειος „ Ἀθανάσ.
ἐν δ. τῶν πρὸς Εὐνόμιον περὶ τοῦ πνεύματος λέγει. Ὅτι τὸ πνεῦμα „ Βασίλ.
πηγὴ ἐστὶ τῶν προειρημένων ἀγαθῶν, ἀλλ᾽ αὐτὸ μὲν ἐκ Θεοῦ πηγάζον, „

ἐνυπόστατον ἐστί. τὰ δὲ ἐξ αὐτοῦ πηγάζοντα, ἐνέργειαι αὐτοῦ εἰσί. Τῇ ἀποβλέψει τοίνυν τῶν ἐνεργειῶν αὐτοῦ καὶ τῶν χαρισμάτων, δι' ὧν οἰκειούμενοι τῇ πηγῇ τούτων τῷ πνεύματι, καὶ αὐτῷ οἰκειούμεθα τῷ υἱῷ, καὶ δι' αὐτοῦ τῷ πατρί. τῇ τούτων οὖν ἀποβλέψει, μείζων ἐστὶ τοῦ πνεύματος ὁ υἱός, ὥσπερ καὶ αὐτὸ τὸ πνεῦμα, τούτων μεῖζόν ἐστιν, εἴπερ ἡ ὑπόστασις τῆς ἐνεργείας μείζων ἐστί. τῶν μὲν ἐνεργειῶν τοῦ πνεύματος, μείζων ἐστὶν ὁ υἱός. τῆς δὲ φύσεως αὐτῆς καὶ τῆς ὑποστάσεως τοῦ πνεύματος, ἴσος ἐστὶ καθάπαξ. αὐτὸς δὲ Ἀθανάσιος, ὁ μόνος εἰπὼν μείζονα τὸν υἱὸν τοῦ πνεύματος, καὶ τὴν ἡμετέραν εἰς αὐτὸν ἐξήγησιν βεβαιοῖ. φησὶ

Ἀθανάσ. » γὰρ οὕτω. Τοῖς δὲ μαθηταῖς τὴν θεότητα καὶ τὴν μεγαλειότητα
» δεικνὺς ἑαυτοῦ, οὐκέτι ἐλάττονα ἑαυτὸν τοῦ πνεύματος, ἀλλὰ μείζονα, καὶ
» ἴσον ὄντα σημαίνων, ἐδίδου μὲν τὸ πνεῦμα, καὶ ἔλεγεν, ἐγὼ αὐτὸ ἀποστελῶ.
Ἰωάν. ιϛ. » κἀκεῖνος ἐμὲ δοξάσει, καὶ ὅσα ἀκούσει λαλήσει. ὥσπερ οὖν ἐν ταῦτα
» τοῦ πνεύματος δοτὴρ ὢν ὁ υἱός, οὐ παραιτεῖται εἰπεῖν ἐν πνεύματι ἐκ-
» βάλλειν τὰ δαιμόνια ὡς ἄνθρωπος. τὸν αὐτὸν τρόπον ὁ αὐτὸς ὢν τοῦ πνεύ-
Ἠσαΐ. ξα. » ματος δοτήρ, οὐ παρῃτήσατο λέγειν. Πνεῦμα Κυρίου ἐπ' ἐμὲ οὗ εἵνεκεν
» ἔχρισέ με. διὰ τὸ γεγενῆσθαι αὐτὸν σάρκα. ὡς εἶπεν ὁ Ἰωάννης. ἵνα
» δείξῃ ὅτι καθ' ἀμφότερα ἡμεῖς ἐσμέν. καὶ οἱ ἐν τῷ ἁγιάζεσθαι δεό-
» μενοι τῆς τοῦ πνεύματος χάριτος, καὶ μὴ δυνάμενοι δαίμονας ἐκβάλλειν
» ἄνευ τῆς τοῦ πνεύματος δυνάμεως. Οὐκοῦν ὡς δοτὴρ τοῦ πνεύματος
μείζων αὐτοῦ ἐστί. τὸ δὲ δίδοσθαι τὸ πνεῦμα καὶ τὸ λαμβάνειν τὸ εἶναι, οὐκ ἔστι ταὐτόν. οὐ δὲ τὸ διδόναι τὸ πνεῦμα ἤδη ὑφεστὼς καὶ ὑφιστάνειν ταὐτό, ταὐτόν ἐστιν. εἴγε τὸ μὲν ἀεί, τὸ δὲ προσκαίρως ἐστίν. εἶτα εὐθὺς ἐπά-
Ἀθανάσ. » γει, Διὰ τίνος δέ, καὶ παρὰ τίνος ἔδει τὸ πνεῦμα δίδοσθαι, ἢ διὰ τοῦ υἱοῦ,
» οὗ καὶ τὸ πνεῦμα ἐστί; καὶ οὐκ εἶπεν, ἐξ οὗ ἐστιν, ὥσπερ εἶπε καὶ παρ' αὐ-
τοῦ τοῦτο δίδοσθαι. καὶ ἐν μὲν τῷ δίδοσθαι τὰς προθέσεις ἀδιαφόρως εἴληφεν. ὡς καὶ ἡμῖν εἴρηται πρότερον. ἐν δὲ τῷ εἶναι τῆς γραφικῆς αὐθεντίας ἐχόμενος, τοῦ υἱοῦ εἶναι τοῦτ' εἶπεν, οὐκ ἐκ τοῦ υἱοῦ. πολὺ ταῦτα διαφέρειν εἰδώς. Οἱ δὲ Λατῖνοι, τὸ μὲν μείζω εἶναι τὸν υἱὸν τοῦ πνεύματος, ἐκ ταύτης λαμβάνοντες τῆς χρήσεως. τὸ δὲ μεῖζον κατὰ τὴν

αἰτίαν

αἰτίαν λέγεσθαι προσλαμβάνοντες, συμπεραίνειν οἴονται, τό, τὸν υἱὸν εἶναι τοῦ πνεύματος αἴτιον, καὶ αὐτοῦ δόξαν τυγχάνειν Ἀθανασίου. πολλοῦ δὲ δεῖ τ' ἀληθὲς εἶναι. εἰ γὰρ μὴ δὲ ὁ πατὴρ μείζων ἐστὶ τοῦ υἱοῦ, τῆς αἰτίας ἕνεκα, ἀλλ' ἢ διὰ τὴν ἐνανθρώπησιν καὶ τὴν σάρκα. σχολῇ γε τοῦ πνεύματος αἴτιος ὁ υἱὸς πιστευθήσεται, διὰ τὸ μείζων εἶναι τοῦ πνεύματος. παράγονται δὲ Λατῖνοι πιστεύειν καὶ τὸν πατέρα μείζω τοῦ υἱοῦ εἶναι ὡς αἴτιον, ἐξ ὧν τινὲς διδάσκαλοι λέγουσιν, ἐκ περιουσίας ἀγωνιζόμενοι πρὸς τοὺς αἱρετικούς. οἳ τὸ μεῖζον καὶ κατὰ τὴν θεότητα τῷ πατρὶ πρὸς τὸν υἱὸν ἀπεδίδουν. συγχωροῦντες γὰρ αὐτοῖς τὸ μεγαλεῖον, καὶ κατὰ τὴν θεότητα λέγεσθαι, ὅμως οὐχ ὑπεροχήν τινα φύσεως. ἀλλὰ τὸ τῆς αἰτίας ἀξίωμα, διὰ τοῦ μεγαλείου τούτου νοεῖσθαι δικαιοῦσθαι συμπεραίνουσιν. ὅπερ οὐδαμῇ τὴν τῆς φύσεως ἰσότητα παραβλάπτει. ἀλλ' ἔξω τῶν τοιούτων ὄντες ἀγώνων, καὶ τὸν τῆς γραφῆς νοῦν ἀνιχνεύοντες δογματικῶς πάντες οἱ διδάσκαλοι λέγουσι, διὰ τὴν σάρκα καὶ τὴν οἰκονομίαν περὶ ἑαυτοῦ τοῦτο τὸν ἡμέτερον δεσπότην εἰπεῖν, ὅτι μείζων αὐτοῦ ὁ πατήρ ἐστιν. ὁ μὲν γὰρ ἱερὸς οὗτος Ἀθανάσιος ἐν τῷ περὶ σαρκώσεως, καὶ κατὰ Ἀρειανῶν λόγῳ φησί. Καὶ ὅτε λέγει ὅτι ὁ πατήρ μου ὁ πέμψας με μείζων μου [Ἀθανάσ.] ἐστίν, ἐπεὶ ἄνθρωπος γέγονε, μείζω αὐτοῦ λέγει τὸν πατέρα. λόγος δὲ ὢν τοῦ πατρὸς, ἴσος αὐτοῦ ἐστιν. ἐγὼ γὰρ φησὶ καὶ ὁ πατὴρ ἕν ἐσμεν. καὶ ὁ ἑω- [Ἰωάν. ι΄] ρακὼς ἐμὲ, ἑώρακε τὸν πατέρα. καὶ ἐν θησαυροῖς ὁ μακάριος Κύριλλος. Οἰκονομικῶς δὲ φησὶν ἑαυτοῦ μείζονα τὸν πατέρα. ἢ καθὸ γέγονεν ἄν- [Κύριλ.] θρωπος. παραχωρῶν τῇ τῆς θεότητος φύσει, τὸ ὑπερέχειν τὴν γεννητήν. καὶ πάλιν. ἴσος γὰρ ὑπάρχων ὁ υἱὸς τῷ πατρὶ, τὸ ἔλαττον ἐφ' ἑαυτοῦ τίθησιν οἰκονομικῶς ὡς δέδεκται. καὶ ἐν τοῖς ἀντιρρητικοῖς ὁ θεῖος Βασίλειος, τὸ μεῖζον πολλαχῶς διελὼν, καὶ πάσας τὰς σημασίας τοῦ πατρὸς ἀποστήσας, τελευταῖον ἐπάγει, Οὔτε ὡς αἴτιος, ἐπεὶ ὁμοίως καὶ [Βασίλ.] αὐτοῦ καὶ ἡμῶν μείζων, εἴπερ καὶ αὐτοῦ καὶ ἡμῶν αἴτιος. Καὶ ὁ τὸ στόμα Χρυσοῦς Ἰωάννης. Ἐὰν εἴπῃ φησὶν ὁ πέμψας με πατὴρ, μείζων μου ἐστὶ, [Χρυσόσ.] τοῦτο μὴ φρονήσητε. οὐ γὰρ θεότητα πρὸς θεότητα λέγει. ἀλλ' ὅτι θεότης ἀνθρωπότητος μείζων. Καὶ ὁ μακάριος Ἀμφιλόχιος. Ὅταν φησὶ

[Ἀμφιλόχιος.] „ τὴν κάτω λογίσῃ γέννησιν, μείζω τὸν πατέρα εἰπὲ τοῦ ἀνθρώπου. ὅταν δὲ
„ εἰς τὴν ἄνω ἀπίδῃς, τὸν ἴσον νόει. ὁ δὲ Πηλουσιώτης Ἰσίδωρος οὕτω φησί.
[Ἰσίδωρος Πηλουσιώτης.] „ Τίνος χάριν εἴρηκεν ὁ πατήρ μου μείζων μου ἐστί; οὐ διδασκαλίας
„ ἕνεκεν, ἀλλὰ παραμυθίας, τοῖς ἀποστόλοις τοῦτο εἴρηκε, τεθνηκόσι τῷ
„ δέει. ὡς αὐτίκα μάλα ἀλωσομένοις, πορευόμενον πρὸς τὸν δοκοῦντα
„ αὐτοῖς μείζονα. οὐ γὰρ ἐν ἄλλῳ καιρῷ τοῦτο εἶπεν. ἀλλ᾽ ἐν τῇ νυκτὶ
„ ᾗ παρεδίδοτο. Τοῦτο δὲ φησὶν Ἰσίδωρος, ἐκ τοῦ Χρυσοστόμου παρειληφώς,
[Χρυσοσ.] „ φησὶ γὰρ ἐκεῖνος, Μέγαν εἶναι τὸν πατέρα ἐνόμιζον. λέγει γοῦν. εἰ περὶ
„ ἐμοῦ δεδοίκατε, ὡς οὐκ ἀρκοῦντος ἑαυτοῦ περιστῆναι, οὐ δὲ θαῤῥεῖτε, ὅτι
„ πάλιν μετὰ τὸν σταυρὸν ἡμᾶς ὄψομαι, ἀλλ᾽ ἀκούσαντες ὅτι πρὸς τὸν πατέ-
„ ρα μου πορεύομαι, ἔδει χαίρειν λοιπὸν, ὅτι πρὸς τὸν μείζονα ἄπειμι, τὸν
„ δυνάμενον πάντα λῦσαι τὰ δεινά. Ἐπὶ σαθροῦ τοίνυν οἱ Λατῖνοι θεμε-
λίου βεβαιοῦσι τὸν λόγον. ἰδοὺ γὰρ οἱ διδάσκαλοι μείζονα τοῦ υἱοῦ τὸν
πατέρα λέγεσθαι φασὶν οἰκονομικῶς. καὶ οὐχ᾽ ὡς λόγου. ἀλλὰ καθὸ ὁ
λόγος γέγονεν ἄνθρωπος. εἰ τοίνυν καὶ τοῦ πνεύματος μείζων ἐστὶ κατὰ
ταῦτα ὁ υἱὸς, ὡς πεμφθησομένου καὶ σωματικῷ εἴδει φανησομένου, μετὰ
τὴν τοῦ ἡμετέρου δεσπότου πρὸς τὸν οὐρανὸν ἄνοδον, μείζων ἂν δή που νοοῖτο.
καθὰ δή που καὶ ὁ πατὴρ καὶ τὸ πνεῦμα, πέμποντες τὸν υἱὸν ὡς Ἡσαΐας
[Ἡσαΐας, μη.] φησὶ, Καὶ νῦν Κύριος ἀπέσταλκε με, καὶ τὸ πνεῦμα αὐτοῦ, οὐκ ἀπεικό-
τως ἂν δή που καὶ μείζους αὐτοῦ λέγοιντο. καὶ δὴ θάτερον μὲν τῶν τύπων ὁ υἱὸς
φησὶ, μείζω ἑαυτοῦ τὸν πατέρα λέγων. θάτερον δὲ οὐδὲν κωλύει συνά-
γειν καθ᾽ ὁμοιότητα. οὕτω καὶ ὁ υἱὸς τοῦ Θεοῦ, ἐπεὶ τὴν γῆν ἀπολείπων
αὐτὸς, ἔμελλε τὸν παράκλητον πέμπειν, καὶ ἑαυτὸν ἐδείκνυε μείζω ταύτῃ
τοῦ πνεύματος. λέγων ὅτι τὸ πνεῦμα τοῖς μαθηταῖς ἀποστελεῖ. ἐπεὶ καὶ τὸ
πνεῦμα ἑαυτὸν ἔλαττον ταύτῃ γ᾽ ἂν ἔμελλε δοκεῖν γίνεσθαι. ὡς τὴν ἐν
εἴδει σωματικῷ παρουσίαν, ἐπ᾽ εὐεργεσίᾳ τῶν ἀνθρώπων καταδεχό-
μενον. Ἀλλὰ ταῦτα μὲν πρὸς τὸν θεμέλιον τοῦ Λατινικοῦ λόγου, καὶ
πρὸς τὸ δεῖξαι τὴν μεγαλειότητα, μὴ κατὰ τὴν αἰτίαν οὖσαν ἐξ ἀνάγ-
κης, ὡς αὐτοὶ φασὶν, ἔρηται. τὸν δὲ τοῦ ῥητοῦ σκοπὸν, αὐτός τε οἴκοθεν
ὁ διδάσκαλος φανεροῖ, καὶ ὁ μέγας Βασίλειος ὕστερον βεβαιοῖ, καθάπερ

ἐπι-

ἐπίτηδες. φησὶ γὰρ, Ὅτι διὰ τοῦτο ἐδίδου τὸ πνεῦμα ὁ υἱὸς τοῦ Θεοῦ, Ἀθανάσ. καὶ ἔλεγεν, ἐγὼ αὐτὸ ἀποστελῶ, ἵνα τὴν ἑαυτοῦ θεότητα καὶ μεγαλειότητα δείξῃ. ἐπειδὴ γὰρ, ἡ τοῦ Θείου πνεύματος θειότης καὶ μεγαλειότης τοῖς Ἰουδαίοις περιϋπείληπτο, διὸ καὶ τὴν εἰς αὐτὸ βλασφημίαν, ἀσύγγνωστον ἀπέραινεν εἶναι τοῖς Ἰουδαίοις, ὡς καὶ κατὰ τὰς αὐτῶν ὑποθέσεις, εἰς τὴν θείαν φύσιν ἐξαμαρτάνουσιν, ἔλεγε τὸ πνεῦμα ἀποστέλλειν αὐτὸς, ἵνα καὶ ἑαυτὸν Θεὸν ὄντα δείξῃ. εἰ γὰρ Θεὸν πέμπῃ τὸν παράκλητον, πῶς οὐκ ἐξ ἀνάγκης κἀκεῖνος ἂν εἴη Θεὸς, παρ᾽ οὗ Θεὸς πέμπεται; καὶ τοῦτ᾽ ἐστὶν, ὅ φησιν ὁ μέγας Βασίλειος, περὶ τοῦ πνεύματος ἐν τῷ περὶ πίστεως λόγῳ, Ὅτι ἀποστέλλεται μὲν οἰκονομικῶς. ἐνεργεῖ δ᾽ αὐτεξουσίως. Βασίλ. οὐ γὰρ ἔλαττον ἑαυτοῦ τὸ πνεῦμα δεικνῦναι βουλόμενος ὁ ἡμέτερος δεσπότης, ἔφασκε πέμψειν αὐτό. πῶς γὰρ, ὅπερ αὐτεξουσίως, καὶ μετὰ τῆς ἴσης αὐθεντίας ἔμελλεν ἐνεργεῖν; ἀλλ᾽ ἐκ τῆς περὶ τοῦ πνεύματος ὑπολήψεως τὴν ἑαυτοῦ δεικνύων θεότητα καὶ μεγαλειότητα. τοσούτῳ γὰρ ἀπέχει ἐλαττωθῆναι τοῦ Θείου πνεύματος, καθάπερ τις ἄνθρωπος ψιλὸς ὑπὸ τοῦ πνεύματος ἐνεργούμενος, ὥστε καὶ μείζων ἂν ὑπελήφθη δικαίως ἐξ ὧν ἔλεγεν αὐτὸ πέμψειν, οἰκονομικῶς ὑφαίνων τὸν λόγον. ὅθεν καὶ ὁ θεῖος Ἀθανάσιος τῆς τοῦ ἡμετέρου δεσπότου καλῶς στοχαζόμενος διανοίας ἐν ἐκείνοις τοῖς ῥήμασιν, ἐξ αὐτῆς τοὺς αἱρετικοὺς βάλλει καιρίαν, ὥσπερ ἐκεῖνος τότε τοὺς Ἰουδαίους. τῶν γὰρ Ἀρειανῶν (καθ᾽ ὧν καὶ ὁ λόγος οὗτος ἐστὶν) ἐλάττονα τὸν υἱὸν τοῦ πνεύματος λεγόντων, ἐκ τοῦ πάντα ποιεῖν ἐν πνεύματι, αὐτὸς ἐξ ἄλλων πολλῶν τὴν μεγαλειότητα δείκνυσθαι μᾶλλον καὶ τὴν ἰσότητα λέγει. καί τοι ἰσότητος μέν ἐστιν ἐκεῖνα σημεῖα. ἀλλ᾽ εἴπερ ἄρα οἷόν τ᾽ ἦν, μίαν ὑπόστασιν ἑτέρας μείζω φρονεῖν, οὐ μόνον τὴν ἰσότητα συνήγαγεν ἄν τις ἐκ τῶν τεκμηρίων ἐκείνων, ἀλλὰ δὴ καὶ τὴν ὑπεροχήν. καὶ ταύτην πολλῷ μᾶλλον, ἢ τὴν ὕφεσιν. πολλὰ γὰρ τῷ ἡμετέρῳ δεσπότῃ κατ᾽ οἰκονομίαν εἰρημένα καὶ πεπραγμένα, δόξειεν ἂν ἁπλῶς οὕτω τὴν πρὸς τὸ πνεῦμα τὸ ἅγιον ὑπεροχὴν μαρτυρεῖν. τοσοῦτον ἀπέχει δικαίως τοῦ πνεύματος ἐλάττων ὑπολαμβάνεσθαι, διὰ τὸ πάντα ποιεῖν ἐν πνεύματι. Καὶ ὅτι τοιαύτην ὁ μέγας Ἀθανάσιος ἐν

ἐκείνοις τοῖς ῥήμασιν ἔχει διάνοιαν, δῆλον ἂν γένοιτο, τοῖς μὴ παρέργως ἐπιοῦσι τὸν λόγον. ὅτι δὲ εἰ μείζων μὲν ὁ πατὴρ τοῦ υἱοῦ, μείζων δὲ ὁ υἱὸς τοῦ πνεύματος τῷ αἰτίῳ, ἐν πλείονι ἀποστάσει τοῦ πατρὸς τὸ πνεῦμα ἔσται, ἢ ὁ υἱός. καὶ ὁ μὲν πατὴρ μέγιστος ἔσται, τὸ δὲ πνεῦμα ἐλάχιστον. καὶ ὁ υἱὸς μικρὸς ἅμα καὶ μέγας, ὥσπερ καὶ αἰτιατὸς ἅμα καὶ αἴτιος, καὶ τοιαῦτα τινὰ ἕπονται, ἅπερ οὐδ᾽ ἀπαριθμεῖν ἐστὶν εὐπρεπὲς, καὶ ἐλέγχειν, ἄλλοι λεγέτωσαν.

ΚΕΦΑΛΑΙΟΝ μγ.

Εἰς τὸ ῥητὸν τοῦ αὐτοῦ Ἀθανασίου, ἐν ᾧ πηγὴ τοῦ πνεύματος λέγεται ὁ υἱός.

Ἀλλὰ πάλιν ἡμῖν τὸν αὐτὸν Ἀθανάσιον ἐπανιστῶσι Λατῖνοι, ἐν τῷ Ἀθανάσ. „περὶ τῆς ἐνσάρκου οἰκονομίας λόγῳ λέγοντα. Οἶδε γὰρ ἐν τῷ „Θεῷ πατρὶ ὄντα τὸν υἱὸν τὴν πηγὴν τοῦ ἁγίου πνεύματος. ἰδοὺ γάρ φασι πηγὴν τοῦ πνεύματος τὸν υἱὸν ὁ διδάσκαλος λέγει. πηγὴ δὲ, καὶ ἀρχὴ, καὶ αἴτιον, ταὐτόν ἐστιν. ὥστε καὶ ἀρχὴ καὶ αἴτιος τοῦ ἁγίου πνεύματός ἐστιν ὁ υἱός. ταύτης μόνης προσεπινοουμένης τῆς διαφορᾶς, ὅτι ὁ μὲν πατὴρ πηγὴ ἐστὶ πρώτη, ὁ δὲ υἱὸς πηγὴ ἐκ πηγῆς, ὥσπερ καὶ ἀρχή ἐστιν ἐξ ἀρχῆς ὁ Γρηγ. ὁ θεολ. „υἱὸς κατὰ τὸν θεολόγον Γρηγόριον, λέγοντα περὶ τοῦ υἱοῦ, Ἡ ἐκ τῆς ἀρχῆς „ἀρχὴ, τὸ ἐκ τοῦ φωτὸς φῶς. Ἐνταῦθα τοίνυν καὶ φανερώτατα, οὐκ εἰδότες ἑρμηνεύειν τοὺς διδασκάλους, ἐλέγχονται. ἀλλὰ πάντα ἁπλῶς καὶ ἀβασανίστως, πρὸς τὰς ἑαυτῶν ἕλκοντες προσλήψεις Λατῖνοι. Ὅτι μὲν γὰρ οὐ περὶ τῆς ἀϊδίου τοῦ πνεύματος ὑπάρξεως, ἀλλὰ περὶ τῆς δόσεως αὐτοῦ καὶ τῆς χορηγίας, ὁ διδάσκαλος ἐκεῖνος νοεῖ, καὶ πηγὴν τοῦ πνεύματος εἶναι βούλεται τὸν υἱὸν, ὡς ἀναπεπλησμένον αὐτοῦ συμφυῶς, καὶ ὅλον αὐτὸ ἐν ὅλῳ ἑαυτῷ ἔχοντα, καὶ ἀκενώτως αὐτὸ δυνάμενον διανέμειν, εἴτουν τὰς ἐνεργείας αὐτοῦ. τὸ χωρίον ἐκεῖνο πᾶν ἀναγνωσθὲν, δείκνυσιν ἐναργῶς. καίτοι πρόθεσιν μὲν ἔχει τὴν θεότητα τοῦ πνεύματος

ἐπιδεικνύειν

ἐπιδείκνυσιν ἐν ἐκείνῳ τῷ μέρει, μεταβὰς εἰς τὸν περὶ τοῦ πνεύματος λόγον ἐγκαίρως, ἐκ τῶν περὶ τοῦ υἱοῦ τοῦ Θεοῦ λόγων. ἀλλ' ὅμως ἐκ τῶν αὐτῶν, καὶ τὴν τοῦ πνεύματος θεότητα, καὶ τὴν τοῦ υἱοῦ, συμπεραίνει καλῶς τε πάνυ καὶ εὐφυῶς. ἐκ τῆς τοῦ πνεύματος ἐνεργείας δηλονότι, ἣν ἐν τοῖς αὐτοῦ μετασχοῦσιν ἐνήργει, τὴν αὐτοῦ τε τοῦ πνεύματος, καὶ τοῦ φέροντος τοῦτο καὶ διδόντος υἱοῦ δύναμιν, θείαν τε οὖσαν, καὶ τὴν αὐτὴν ἀμφοῖν ἀπαραλλάκτως ἐπιδείκνυσι. φησὶ τοίνυν οὕτως. Ἀσεβὲς οὖν Ἀθανάσ. ἐστὶ κτιστὸν ἢ ποιητὸν λέγειν τὸ πνεῦμα τοῦ Θεοῦ, ὁπότε πᾶσα γραφὴ παλαιά τε καὶ καινή, μετὰ πατρὸς καὶ υἱοῦ συναριθμεῖ αὐτὸ καὶ δοξάζει. διότι τῆς αὐτῆς θεότητος ἐστὶ καὶ τῆς αὐτῆς οὐσίας, καθὼς αὐτὸς ὁ Κύριος λέγει, ὁ πιστεύων εἰς ἐμέ, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύ- Ἰωάν. ζ. σουσιν ὕδατος ζῶντος. τοῦτο δὲ εἶπε περὶ τοῦ πνεύματος φησίν, οὗ ἔμελλον λαμβάνειν οἱ πιστεύοντες εἰς αὐτόν. ὡς καὶ ἐν τῷ Ἰωὴλ, ἐκ προσώπου τοῦ πατρὸς λέγει, ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν Ἰωὴλ. β. σάρκα. καὶ προφητεύσουσιν οἱ υἱοὶ ὑμῶν καὶ αἱ θυγατέρες ὑμῶν. καὶ διὰ τοῦτο ἐμφυσᾷ αὐτὸ εἰς τὸ πρόσωπον τῶν ἀποστόλων, λέγων. λάβετε Ἰωάν. κ. πνεῦμα ἅγιον, ἵνα μάθωμεν ὅτι ἐκ τοῦ πληρώματος τῆς θεότητος ἐστὶ τὸ διδόμενον πνεῦμα τοῖς μαθηταῖς. ἐν Χριστῷ γὰρ φησὶ κατοικεῖ, τουτέστιν ἐν τῇ σαρκὶ αὐτοῦ, πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς. καθὼς καὶ ὁ Ἰωάννης ὁ εὐαγγελιστὴς λέγει, ἡμεῖς ἐκ τοῦ πληρώματος αὐ- Ἰωάν. α. τοῦ ἐλάβομεν. σωματικῷ γὰρ εἴδει, τουτέστιν ὡς περιστερὰ ὤφθη τὸ πνεῦμα τὸ ἅγιον καταβαῖνον καὶ μένον ἐπ' αὐτόν. ἐν ἡμῖν μὲν γὰρ, ἀπαρχὴ καὶ ἀρραβὼν θεότητος. καὶ μήτις νομίσῃ ὅτι μὴ ἔχων αὐτὸ ἐλάμβανεν. αὐτὸς γὰρ αὐτὸ ἄνωθεν ἔπεμψεν ὡς Θεός. καὶ αὐτὸς αὐτὸ κάτωθεν ὑπεδέχετο ὡς ἄνθρωπος. ἐξ αὐτοῦ οὖν, εἰς αὐτὸν κατήει. ἐκ τῆς θεότητος αὐτοῦ, εἰς τὴν ἀνθρωπότητα αὐτοῦ. καὶ ὁ μὲν Ἡσαΐας ἐκ Ἡσαΐ. μδ. προσώπου τοῦ πατρὸς βοᾷ λέγων. Οὕτω λέγει Κύριος ὁ Θεός σου, ὁ ποιήσας σε καὶ πλάσας σε ἐκ κοιλίας. μὴ φοβοῦ ὁ παῖς μου Ἰακώβ. καὶ ὁ ἠγαπημένος Ἰσραὴλ ὃν ἐξελεξάμην. ὅτι ἐγὼ δώσω ὕδωρ ἐν δίψει τοῖς πορευομένοις ἐν ἀνύδρῳ. ἐπιθήσω τὸ πνεῦμά μου ἐπὶ τῷ σπέρματί σου.

καὶ

„ καὶ τὰς εὐλογίας μου ἐπὶ τὰ τέκνα σου. ἐν τῷ εὐαγγελίῳ δὲ ὁ υἱὸς
„ ἐπαγγέλλεται διδόναι ὕδωρ τοῖς πορευομένοις ἐν δίψει. λέγων τῇ Σαμα-
Ἰωάν. δ. „ ρείτιδι, εἰ ᾔδεις τὴν δωρεὰν τοῦ Θεοῦ, καὶ τίς ἐστιν ὁ λέγων σοι δός μοι πιεῖν,
„ σὺ ἂν ᾔτησας αὐτόν, καὶ ἔδωκεν ἄν σοι ὕδωρ ζῶν. καὶ μετ' ὀλίγα λέγει.
„ πᾶς ὁ πίνων ἐκ τοῦ ὕδατος τούτου, οὗ ἐγὼ δώσω αὐτῷ, οὐ μὴ διψήσῃ εἰς τὸν
„ αἰῶνα. ἀλλὰ τὸ ὕδωρ ὃ ἐγὼ δώσω αὐτῷ, γενήσεται ἐν αὐτῷ πηγὴ ὕδα-
„ τος ἁλλομένου εἰς ζωὴν αἰώνιον. καὶ διὰ τοῦτο Δαβὶδ ψάλλων τῷ Θεῷ
Ψαλ. λε. „ λέγει. ὅτι παρὰ σοὶ πηγὴ ζωῆς, ἐν τῷ φωτί σου ὀψόμεθα φῶς. οἶδε
„ γὰρ παρὰ τῷ Θεῷ πατρὶ ὄντα τὸν υἱὸν τὴν πηγὴν τοῦ ἁγίου πνεύματος.
Ἱερεμ. β. „ ὡς καὶ διὰ Ἱερεμίου ὁ υἱὸς λέγει. δύο καὶ πονηρὰ ἐποίησεν ὁ λαός μου.
„ ἐμὲ ἐγκατέλιπον πηγὴν ὕδατος ζωῆς. καὶ ὤρυξαν ἑαυτοῖς λάκκους
„ συντετριμμένους, οἳ οὐ δυνήσονται ὕδωρ συνέχειν. Αὐτόθεν μὲν οὖν ὁ σύμπας οὗτος τοῦ διδασκάλου λόγος σαφὴς ἐστὶ τοῖς μετὰ τῆς ἀληθείας βουλομένοις σκοπεῖν. καὶ ἐναργῶς ἡμῖν δείκνυσι ποταπήν τινα πηγὴν τοῦ ἁγίου πνεύματος, ὁ διδάσκαλος νοεῖ τὸν υἱὸν εἶναι. δι' ὧν γὰρ τὰς προφητικὰς, καὶ εὐαγγελικὰς ἐκείνας ῥήσεις παρατίθησιν. ἐν αἷς ἡ τοῦ πνεύματος χορηγία, καὶ δόσις εἰς τοὺς ἀνθρώπους κατασημαίνεται, δείκνυται τὴν τοῦ πνεύματος δωρεὰν ἀνέκλειπτόν τε καὶ φυσικὸν χορηγὸν τὸν υἱὸν εἶναι νομίζων. καὶ διὰ τοῦτο πηγὴν τοῦ πνεύματος τοῦτον ἀποκαλῶν. ὡς ἐν ἑαυτῷ τὴν πηγὴν τοῦτον ἔχοντα συμφυῶς τε καὶ παμπλήρως. ἀλλὰ καὶ ἡμεῖς τὸν λόγον τοῦτον διαλευκανοῦμεν, διελόμενοι τὰ περὶ τῆς πηγῆς, ταῖς τῆς πίστεως ὑποθέσεσι, καὶ τοῖς τῶν ἄλλων διδασκάλων λόγοις οἰκείως. ἐξ ὧν καὶ πᾶσα Λατίνων ἐπιχείρησις ἔσται φρούδη, ἣν ἐκ τῆς ῥήσεως ἐκείνης ἐπιχειροῦσι. Καθόλου μὲν οὖν ἀρχὴ, καὶ πηγὴ, καὶ αἴτιον, ταυτόν ἐστιν ὡς αὐτοὶ λέγουσι. καὶ διὰ τοῦτο ἥτις ἐστὶ πηγὴ τοῦ ἁγίου πνεύματος, ταύτην καὶ ἀρχὴν καὶ αἴτιον εἶναι τούτου νομίζειν ἀνάγκη, εἰ καὶ διαφοράν τινα ταῦτα τὰ ὀνόματα ἔχει. πηγῆς μὲν γὰρ ἐστὶν ἴδιον μάλιστα, τὸ οἷον μεταδιδόναι καὶ ἄλλοις τῆς ἑαυτῆ περισσόντων αὐτοφυεῖ. οὐδὲν ἧττον καὶ οὕτως ἑαυτῆς οὔσαν. ἀρχῆς δὲ καὶ τὸ οἷον ἐφεστάναι καὶ περινοεῖσθαι τὴν ὑφ' αὐτήν. αἰτίας δὲ τῆς περι-

ακτικῆς,

ακτικῆς, τὸ οἷον ἐπιρρεῖν τι ἀπ' αὐτῆς τῷ αἰτιατῷ. καὶ τοῦτο ἀρχὴν τυγχάνειν αὐτῷ τοῦ εἶναι. διὸ καὶ αἴτιον μὲν οὐ πάντες λέγουσιν οἱ διδάσκαλοι τὸν πατέρα τοῦ υἱοῦ καὶ τοῦ πνεύματος. ἀρχὴν δὲ μάλιστα καὶ πηγήν. πηγὴν μὲν, διὰ τὸ ἐξῃρημένον. ἀρχὴν δὲ, διὰ τὸ συντεταγμένον. ἐξῄρηταί τε γὰρ τῶν ἄλλων θείων προσώπων τῇ ἰδιότητι ὁ πατὴρ, καὶ συντέτακται οὐδὲν ἧττον, διὰ τὴν ἑνότητα τῆς ἀξίας τε καὶ τῆς φύσεως. ὅσοι δὲ καὶ χρῶνται τῷ τῆς αἰτίας ὀνόματι, ὡς σαφεστέρῳ τε τοῖς πολλοῖς, καὶ ὡς ἐμφαντικωτέραν τῆς προσωπικῆς διακρίσεως ἔχοντι δύναμιν χρῶνται. περὶ μὲν οὖν αἰτίας καὶ ἀρχῆς, ὕστερον. νῦν δὲ περὶ τῆς πηγῆς ῥητέον, Ὅτι τῷ τῆς πηγῆς ὀνόματι τρία τινὰ συνεμφαίνεται. τὸ ἀρχικὸν, τὸ πλῆρες, καὶ τὸ ἀνέκλειπτον. ἥ τις οὖν ἐστὶ Κυρίως πηγὴ, καὶ τὰ τρία ταῦτ' ἔχει. καὶ οὕτω πηγή ἐστιν ὁ πατὴρ τοῦ πνεύματος. ἀρχή τε γάρ ἐστιν αὐτοῦ φυσικῶς, ὅτι παρ' αὐτοῦ ἐκπορεύεται, τουτέστιν ὑφίσταται, καὶ πλήρης ἐστὶν αὐτοῦ. ὅλος γὰρ ἔχει ὅλον συνόν. καὶ ἀνεκλείπτως αὐτὸ προβάλλεται, ἀπείρῳ γάρ τινι καὶ ἀϊδίῳ γονιμότητι τοῦτο προάγει. καὶ ἀνεκφοιτήτως ἐστὶν ἐν αὐτῷ κατὰ φύσιν. εἰ καὶ καθ' ὑπόστασιν ὑπερφυῶς διακρίνεται. ὁ δὲ λόγος ἔσθ' ὅτι ταύτας τὰς ἰδιότητας διαιρῶν τῆς πηγῆς, εἴωθεν κατονομάζειν πηγὴν, καὶ τὸ μιᾶς τινος ἰδιότητος, ἢ δυοῖν, μετέχειν. οὕτω γὰρ καὶ τὸ πλῆρες τινὸς πράγματος, καὶ ἐξ οὗ τι πρόεισιν ἀνεκλείπτως, πηγὴν ἐκείνου καλοῦμεν. ὥσπερ τὸν ποταμὸν, πηγὴν τοῦ ὕδατος λέγομεν. διότι τῆς ὑδατώδους καὶ ὑγρᾶς ἀναπέπλησται φύσεως. καὶ ὅτι τὸ ὕδωρ ἐξ αὐτοῦ λαμβάνειν ἀνεκλείπτως δυνάμεθα, τῷ καὶ αὐτὸν ἀνεκλείπτως τοῦτ' ἔχειν ἐκ τῆς πηγῆς. Εὐλόγως οὖν καὶ ὁ τοῦ Θεοῦ λόγος, πηγὴ τοῦ πνεύματος λέγεται. διότι καὶ αὐτοῦ τοῦ πνεύματος ἀναπέπλησται. οὐ καθάπερ τι σκεῦος. ἀλλὰ συμφυῶς. καὶ τῶν δωρεῶν τοῦ πνεύματος ἀνέκλειπτος ἐστὶ χορηγός. ἀλλ' οὐκ ἔστι πηγὴ τοῦ πνεύματος, κατ' ἐκείνην τὴν ἰδιότητα τῆς πηγῆς, ἣ πρόσεστι τῇ Κυρίως λεγομένῃ πηγῇ, τουτέστι κατὰ τὸ ἀρχικόν τε καὶ αἰτιῶδες. οὕτω γὰρ πηγὴ ἐστὶ τοῦ πνεύματος ὁ πατὴρ, καθάπερ καὶ τοῦ υἱοῦ. καὶ μόνος πηγή. καὶ διὰ τοῦτο πηγὴν οἱ διδάσκαλοι

πάντες, ἀφωρισμένως τὸν πατέρα καλοῦσιν. ὁ γὰρ Κύριλλος, τὸ θεῖον
Κύριλ. „ ἐξηγούμενος σύμβολον, Προχεῖται φησὶν, ἤγουν ἐκπορεύεται, καθάπερ
„ ἀπὸ πηγῆς τοῦ πατρὸς. χορηγεῖται δὲ τῇ κτίσει, δι' υἱοῦ καὶ ἁγιάζον
Βασίλ. „ τὴν κτίσιν. Ὁ δὲ Βασίλειος ἐν τοῖς κατ' Εὐνομίου φησίν. Ἀϊδίως πάντα
„ ἔχειν ὡς πνεῦμα Θεοῦ, καὶ ἐξ αὐτοῦ πεφηνὼς. αἴτιον αὐτὸν ἔχον, ὡς πη-
„ γὴν ἑαυτοῦ, κἀκεῖθεν πηγάζον. ὁ αὐτὸς ἐν τῷ κατὰ Σαβελλιανῶν καὶ
„ Ἀνομίων λόγῳ. Ἔστι γὰρ ὁ πατὴρ τέλειον ἔχων τὸ εἶναι καὶ ἀνενδεὲς,
„ ῥίζα καὶ πηγὴ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. ὅτι δὲ καὶ μόνος ὁ
Δαμασ. „ πατὴρ ἐστὶ πηγὴ τοῦ πνεύματος, Ἰωάννης φησὶν ὁ Δαμασκηνὸς. Ὅσα
„ ἁρμόζει πηγῇ, αἰτίῳ γεννήτορι τῷ πατρὶ μόνῳ προσαρμοστέα λέγων.
καὶ πόθεν ἔχει τοῦτο λαβὼν; ἐκ τοῦ ἱεροῦ Διονυσίου. ἐκ τοῦ μεγάλου
Ἀθανασίου. ἐκ τῆς πρώτης Συνόδου, καὶ Ἰωάννου τοῦ Χρυσοστόμου. ὁ μὲν
γὰρ Διονύσιος ἐν τῷ περὶ ἡνωμένης καὶ διακεκριμένης Θεολογίας λό-
Διονύσ. „ γῳ, Τὰ τῆς ὑπερουσίου θεογονίας φησὶν, οὐκ ἀντιστρέφει πρὸς ἄλληλα.
„ μόνη δὲ πηγὴ τῆς ὑπερουσίου θεότητος, ὁ πατὴρ, οὐκ ὄντος υἱοῦ τοῦ πα-
„ τρὸς, οὐ δὲ πατρὸς τοῦ υἱοῦ. φυλαττόντων δὲ τὰ οἰκεῖα τῶν ὕμνων εὐα-
„ γῶς ἑκάστῃ τῶν θεαρχικῶν ὑποστάσεων. ὁ αὐτὸς δὲ οὗτος, καὶ πηγαίαν
„ θεότητα τὸν πατέρα ὁρίζεται. τὸν δὲ υἱὸν καὶ τὸ πνεῦμα, τῆς θεογόνου
„ θεότητος, βλαστοὺς καὶ ἄνθη, καὶ ὑπερούσια φῶτα. Καὶ ἵνα μηδεὶς τολ-
μῶν σοφίζεσθαι διὰ τὴν τοῦ ἄρθρου προσθήκην, λέγων τῆς ὅλης μὲν
θεότητος ἅμα εἶναι πηγὴν, τουτέστι τοῦ υἱοῦ καὶ τοῦ πνεύματος ὁμοῦ, οὐ-
μέντοιγε καὶ ἑκατέρου χωρὶς, ὁ ἱερὸς Ἀθανάσιος ἐν τῷ περὶ τῆς αἰδίου ὑ-
Ἀθανάσ. „ πάρξεως λόγῳ, τὸν λόγον ἀνάρθρως προσήνεγκε. φησὶ γὰρ. Χωριζό-
„ μεθα δὲ καὶ τῶν Ἰουδαϊζόντων, καὶ τὸν Χριστιανισμὸν Ἰουδαϊσμῷ παραφ-
„ θειρόντων. οἱ τὸν ἐκ Θεοῦ Θεὸν ἀρνούμενοι, Θεὸν ἕνα παραπλησίως Ἰουδαί-
„ οις λέγουσιν. οὐχ' ὅτι μόνος ἀγέννητος καὶ μόνος πηγὴ θεότητος, ἀλλὰ τοῦ-
„ το φάσκοντες αὐτὸν μόνον Θεὸν. ἀλλ' ὡς ἄγονον υἱοῦ καὶ ἄκαρπον ζῶντος
Συνόδ. ά „ λόγου. ἡ δὲ πρώτη Σύνοδος πρὸς τὸν φιλόσοφον λέγει. Μία μὲν φύσις,
„ τρία δὲ πρόσωπα λεκτέα. πηγὴ. ποταμὸς. ὕδωρ. καὶ ἐπάγει. ἀλλ' οὐδεὶς
„ καλεῖ τὸν ποταμὸν πηγὴν, ἢ τὴν πηγὴν ποταμόν. καὶ ὁ Χρυσόστομος ἐν

ἐξηγήσει

ἐξηγήσει τοῦ. γ. ψαλμοῦ, τῇ Συνόδῳ συμφώνως, τοῖς περὶ τούτοις ὀνόμασι, τὴν θείαν παραδειγματίσας Τριάδα. εἶτα ἐπάγει, Καὶ οὐ Χρυσόσ. δύνῃ τὴν πηγὴν καλέσαι ποταμὸν, ἕως τὴν ῥίζαν ὁρᾷς. οὔτε πάλιν, τὸν ποταμὸν πηγήν. Εἰ τοίνυν Ἀθανάσιος αὐτὸς ἔλεγε μόνην πηγὴν θεότητος εἶναι τὸν πατέρα, πῶς ἂν ἔλεγε πηγὴν τοῦ πνεύματος τὸν υἱὸν, ὡς δὴ πηγὴν θεότητος; καὶ κατ' ἐκεῖνο τὸ σημαινόμενον τῆς πηγῆς, ὃ φησὶν ὁ μέγας Βασίλειος, λέγων περὶ τοῦ πνεύματος, αἴτιον ἔχον τὸν πατέρα, δηλονότι ὡς πηγὴν ἑαυτοῦ. καὶ τῆς Συνόδου λεγούσης, ὡς οὐδεὶς δύναται καλέσαι τὸν ποταμὸν πηγὴν, ἐπειδὰν τοὔνομά τε πηγῆς κυρίως ἐν τῇ πρὸς τὰ ἐξ αὐτῆς ἀντιθέσει λέγηται. πῶς ἂν Ἀθανάσιος ἢ βουλήθη τὸν ποταμὸν, τουτέστι τὸν υἱὸν, καλέσαι πηγὴν, εἰ μὴ κατ' ἄλλην τινὰ ἐκδοχὴν, ἣν ἥ τε τῶν λόγων, καὶ ἡ τῆς ἱερᾶς γραφῆς ἐπιγινώσκει συνήθεια; ἢ τίνα λόγον ἔχει, τῇ τοῦ Ἀθανασίου προσθέμενον τινὰ λέξει βασάνου χωρὶς, μήτε δὲ πρὸς αὐτὴν ἐκείνην, μήτε πρὸς τὰς Συνόδους, μήτε πρὸς διδασκάλων τοσοῦτον πλῆθος, τὴν λέξιν ἐκείνην παραβαλόντα, μήτε τὴν τῶν λόγων χρείαν προσλογισάμενον, ὃ δὴ μέγιστον ἐστὶ πανταχοῦ, αἴτιον καὶ ἀρχὴν οἴεσθαι τοῦ πνεύματος τὸν υἱόν; διότι εἶπέ που πηγὴν τοῦ πνεύματος τὸν υἱὸν ὁ ἱερὸς Ἀθανάσιος; Εἰ τοίνυν ἀδύνατον ἐστὶν Ἀθανάσιον ἑαυτῷ καὶ πᾶσι διαφωνεῖν, λοιπόν ἐστιν, ἄλλό τι βούλεσθαι τοὔνομα τῆς πηγῆς ἀποδιδόμενον, τῷ υἱῷ πρὸς τὸ πνεῦμα. οὐ τὴν αἰτίαν τῆς ὑποστάσεως εἴτουν ὑπάρξεως. λέγει τοίνυν ὡς καὶ πρότερον εἴρηται, πηγὴν τοῦ πνεύματος τὸν υἱὸν τοῦ Θεοῦ, ὡς ἔμπλεω τοῦ πνεύματος φυσικῶς ὡς εἰπεῖν. τουτέστιν ὡς ὅλον αὐτὸ ἔχοντα. καὶ ὅλον ὅλῳ συνόντα. καὶ ἓν ὄντα μετ' αὐτοῦ πάντη, πλὴν τῆς καθ' ὑπόστασιν διαφορᾶς, καὶ διὰ τοῦτ' ἀκενώτως αὐτὸ διανέμοντα. ὡς εἴ τις εἴποι τὸν ποταμὸν πηγὴν ὕδατος, ὅτι ἐξ αὐτοῦ τὸ ὕδωρ ἀρυόμεθα. καίτοιγ' αὐτὸς ἐστὶ τὸ ὕδωρ, τὸ ἐκ τῆς πηγῆς ἀναβλύζον κατά γε τὴν φύσιν. διαστέλλοντος τοῦ λόγου τὸν φύσει υἱὸν τοῦ Θεοῦ, τῶν ἄλλως μετειληφότων τοῦ πνεύματος. ἐκεῖνοι μὲν γὰρ, ἔξωθεν τὸ πνεῦμα ἐλάμβανον. καὶ ἕν τι τῶν χαρισμάτων ἢ πλείω ἕκαστος εἶχεν. ὥστ' ἐκείνῳ ἕκαστον, οὗ πηγὴν ἐστὶν

ὀνομάσαι τοῦ πνεύματος. ἀλλὰ μᾶλλον ἀπόρροιάν τινα καὶ ἀπομοιρὰν τῆς θείας ἐκείνης καὶ ἁγιαστικῆς ἔχοντα χάριτος. ὁ δὲ υἱὸς τοῦ Θεοῦ, τοῦ πνεύματος ἀνεπέπληστο συμφυῶς. καὶ ὅλον αὐτὸ εἶχε τῇ φύσει καὶ τῇ οὐσίᾳ συνόν. καὶ ὅθεν ποτὲ τῷ υἱῷ ἡ οὐσία, καὶ ὅπως ποτὲ ἥκει, ἐκεῖθεν, κἀκείνῳ τῷ τρόπῳ, καὶ τοῦτο τῇ οὐσίᾳ συνεισερχόμενον. οὐχ' ὡς συμβεβηκός, ἀλλ' ὡς τελειότητα τῆς θείας οὐσίας. καὶ ὡς ἀγαθὸν αὐτῆς ὑφεστώς, κατὰ τὴν ἱερὰν πίστιν, καὶ τοὺς ταύτης ἱεροὺς διδασκάλους. ὡς [Ἀθανάσ.] » αὐτός φησιν ὁ ἱερὸς Ἀθανάσιος, ἡγεμόνι τῷ Παύλῳ χρώμενος, Ὅτι ἐν ἡμῖν » μὲν ἀπαρχὴ καὶ ἀρραβὼν θεότητος κατοικεῖ. ἐν Χριστῷ δὲ πᾶν τὸ πλή- » ρωμα τῆς θεότητος. Οὕτω τοίνυν ἔχων τὸ πνεῦμα τὸ ἅγιον ὁ υἱὸς τοῦ Θεοῦ καὶ ἀκενώτως ἠδύνατο, καὶ ἀεννάως διανέμειν τοῖς ἀξίοις αὐτό, καὶ πάσης τῆς τοῦ πνεύματος ἀγαθότητος (εἴπερ οἷόν τ' ἦν, τὴν ἀνθρωπίνην φύσιν χωρεῖν) ἀποφαίνειν πάντας μετόχους. διὰ τοῦτο καὶ ὁ ἱερὸς Κύριλλος ἐν δ. τῷ πρὸς Ἑρμείαν, φυσικόν τινα καὶ ἀέναον δοτῆρα τοῦ πνεύματος [Κύριλ.] » τὸν υἱὸν δεῖξαι βουλόμενος, οὕτω φησὶ περὶ αὐτοῦ. Ὥσπερ, ἀπὸ τῆς γῆς, » τοῦ ἰδίου πληρώματος ἐνιείς τε καὶ λέγων, λάβετε πνεῦμα ἅγιον. τῷ διὰ » σαρκὸς καὶ ἐμφανεστέρῳ ἐμφυσήματι, τὴν τοῦ πνεύματος φύσιν εὖ μάλα » σκιαγραφῶν. καὶ πάλιν. Οὐκ ἐκ τοῦ ἡμετέρου δίδωσι τὸ πνεῦμα ὁ υἱὸς τοῦ » Θεοῦ, δηλονότι καὶ δεσπότης ἡμέτερος. ἀλλ' αὐτὸς ἐνίησιν ἐξ ἑαυτοῦ. Τουτέστιν οὐκ ἐνέργειάν τινα τοῦ πνεύματος, καὶ δωρεὰν εἰληφώς, ὥσπερ οἱ Προφῆται, κατὰ τὸ τῆς φύσεως μέτρον, ἢ τῆς προαιρέσεως, ἢ τῆς χρείας ἐλάμβανον τὴν τοῦ πνεύματος χάριν, οὕτω τοῖς Ἀποστόλοις ταύτην διένεμεν. ἀλλ' αὐτὸς ἐνίει ταύτην ἐξ ἑαυτοῦ. ὡς δὲ τὴν πηγὴν ἁπάντων τῶν χαρισμάτων ἐκείνων ἔνοικον ἔχων, καὶ ὑποστατικῶς αὐτῷ συνημμένην τὴν θεότητα, δηλαδὴ τοῦ υἱοῦ καὶ τοῦ πνεύματος. μᾶλλον δὲ ὡς τὸ πλήρωμα τῆς θεότητος ἅπαν ἔχων ἐν ἑαυτῷ. Ὑπὸ τῷ τοῦ πνεύματος τοίνυν ὀνόματι, ποτὲ μὲν τῆς ὑπερφυοῦς ἐκείνης ὑποστάσεως καὶ οὐσίας, ποτὲ δὲ τῆς ἀπ' αὐτῆς ἐγγινομένης ἡμῖν χάριτος νοουμένης. ἢ μᾶλλον εἰπεῖν τῆς ὑπερφυοῦς ἐκείνης ὑποστάσεως, ὑπὸ μιᾷ ταύτῃ νοουμένης προσηγορίᾳ. ποτὲ μὲν ὡς ἔνδον τῆς θεότητος λαμβανούσης αὐτῆς. ποτὲ

δὲ

δὲ ὡς ὑπὸ τῆς ἔξω μετεχομένης, ταῖς παρ' αὐτῆς ἐκδιδομέναις ἐμπνεύσεσι, ὡς ἡ τῶν λόγων ἑκάστοτε βούλεται χρεία. τῆς μὲν ὑποστάσεως τοῦ πνεύματος ὡς αἴτιος καὶ ἀρχή, οὐκ ἔστιν ὁ υἱὸς πηγὴ οὐδαμῶς, ἀλλ' ἢ μόνον ὡς ἐκείνης ἀνάπλεως φυσικῶς. οὐκ ἔξωθεν αὐτῆς, οὐδ' ἐκ μέρους μετέχων. διὸ καὶ ἀνέκλειπτος ἐστὶ καὶ ἀέναος χορηγός, τῶν ἐκείνης ἐνεργειῶν καὶ χαρίτων. αὐτῶν δὲ τῶν τοῦ πνεύματος δωρεῶν, πηγὴ καὶ αἴτιος καὶ ἀρχηγός, καὶ ἐστι, καὶ λέγεται. τῶν μὲν εἰς τὴν ἡμετέραν φύσιν τοῦ πνεύματος εὐεργετιῶν, αὐτὸς ἐστὶν αἰτία πρώτη καὶ πηγὴ δήπου, οὐδὲν ἔλαττον, ἢ ὁ πατήρ. καὶ αὐτὸ δὲ τὸ πνεῦμα ὁμοίως, ὡς πρότερον ἀποδέδεικται. τὸ γὰρ τῆς θεότητος ἔργον, κοινόν τε καὶ ἀδιαίρετον, εἰ καὶ ἡ κατὰ τὰς ὑποστάσεις διαφορὰ περιποιοῦσα, τὸ κοινὸν τοῦτο καὶ ἕν, μετά τινος διαφορᾶς ἁρμοζούσης, τῇ τῶν προσώπων ἀποδίδωσι τάξει. ὅτε δὴ καὶ χώραν ἔχει, τὸν υἱὸν πηγὴν καλεῖν ἐκ πηγῆς. ὥσπερ ἀρχὴν ἐξ ἀρχῆς, τῶν κτισμάτων αὐτὸν φησὶν ὁ Γρηγόριος. τῶν γὰρ κοινῶν τῆς θεότητος ἔργων πρός τε τὴν ὅλην φύσιν καὶ πρὸς ἡμᾶς. εἴτε πλαττομένους, εἴτ' ἀναπλαττομένους, ἀρχὴ ἐστὶν ὁ υἱὸς καθάπερ καὶ ὁ πατήρ. καὶ διὰ τοῦτο εἷς εἰσὶ δημιουργὸς αἱ τρεῖς ὑποστάσεις, καθάπερ καὶ Θεὸς εἷς. ἀλλὰ διὰ τὸ εἶναι τὸν υἱὸν ἐκ πατρός, ὃς ἐστὶν οὐ τῶν ὄντων μόνον ἀρχὴ δημιουργικῶς, ἀλλὰ δὴ καὶ τοῦ υἱοῦ φυσικῶς, ἀρχὴ ἐξ ἀρχῆς λέγεται. τῆς τοιαύτης διαφορᾶς, οὐ πρὸς τὴν δημιουργικὴν ἐνέργειαν, ἀλλὰ πρὸς τὴν τῶν θείων προσώπων τάξιν ἀναφερομένης, ἣν ἔχουσιν ἐν ἑαυτοῖς καὶ πρὸς ἑαυτά. εἰ γοῦν καὶ μηδεὶς εἶπε τὸν υἱὸν πηγὴν ἐκ πηγῆς τοῦ πνεύματος, ὡς δὴ χορηγὸν τῶν τοῦ πνεύματος δωρεῶν, ἀλλ' ἦν ἂν ἀληθὲς τοῦτο οὕτω λέγειν, ὥσπερ καὶ ἀρχὴν ἐξ ἀρχῆς αὐτὸν λέγουσι. πηγὴ δὲ ἐκ πηγῆς τῆς τοῦ πνεύματος ὑποστάσεως πῶς ἂν εἴη; ὅς γε οὐδ' ἁπλῶς πηγὴ τῆς τοῦ πνεύματος ὑποστάσεως δύναται λέγεσθαι, ὡς ἀρχὴ ταύτης καὶ αἴτιος; ὅτι δὲ ἀρχὴν ἐξ ἀρχῆς, ὁ Θεολόγος Γρηγόριος τῶν ὄντων καλεῖ τὸν υἱὸν τοῦ Θεοῦ, ἀλλ' οὐχὶ τοῦ πνεύματος, δῆλον ἐστίν. ἐξ ὧν ἀλλαχοῦ φησίν,

Υἱοῦ δὲ ἀνάρχου μέν, οὐδαμῶς. ἀρχῆς δὲ τῶν ὅλων τοῦ παντὸς δηλονότι „ Γρηγ. ὁ
τοῦδε. καὶ ἄλλοθι, τὰς ὑπερφυεῖς ὑποστάσεις ἐκείνας κατὰ τὸν τῆς ἀρ- „ θεολ.
χῆς „

» χῆς ἀριθμούμενος λόγοι, ἄναρχον φησὶν ἀρχή. καὶ τὸ μετὰ τῆς ἀρχῆς.
εἶπεν ἂν τὸ ἐκ τῆς ἀρχῆς, εἰ γὰρ ἀρχὴν τοῦ πνεύματος ἐφρόνει τὸν υἱὸν εἶναι,
καὶ εἰ γὰρ ἀρχὴν ᾤετο τὸν υἱὸν εἶναι καὶ πρὸς τὸ πνεῦμα τὸ ἅγιον. τούτοις
πᾶσιν ὥσπερ ἐπισφραγίζουσάν τινα μαρτυρίαν, τὴν τοῦ ἱεροῦ Βασιλείου
προστεθῆναι δεῖ. ἐκεῖνος γὰρ ἐν ἧ. τῇ πρὸς Ἀμφιλόχιον, τοῖς ἀπο-
διδομένοις ὀνόμασι τῷ υἱῷ τοῦ Θεοῦ, καὶ τὸ τῆς πηγῆς συνέταξεν ὄνομα. οὐκ
ἄνευ τοῦ δεῖξαι σαφῶς, καὶ πῶς αὐτὸν ὀνομάζει πηγήν. φησὶ γάρ.
Βασίλ. » Πάλιν μέντοι διὰ τὸ πολύτροπον τῆς εἰς ἡμᾶς χάριτος, ἧς διὰ τὸν
» πλοῦτον τῆς ἀγαθότητος κατὰ τὴν πολυποίκιλον αὐτοῦ σοφίαν τοῖς δεο-
» μένοις παρέχεται, μυρίαις αὐτὸν ἑτέραις προσηγορίαις ἀποσεμνύνει ἡ
» γραφή. δηλονότι ποτὲ μὲν ποιμένα λέγουσα. ποτὲ δὲ βασιλέα. καὶ
» πάλιν ἰατρόν. καὶ τὸν αὐτόν, νυμφίον. καὶ ὁδόν. καὶ θύραν. καὶ πη-
» γήν. καὶ ἄρτον. καὶ ἀξίνην. καὶ πέτραν. ταῦτα γὰρ οὐ τὴν φύσιν
» παρίστησιν, ἀλλὰ τὸ τῆς ἐνεργείας παντοδαπόν, ἣν ἐκ τῆς περὶ τὸ ἴδιον
» πλάσμα εὐσπλαγχνίας, κατὰ τὸ τῆς χρείας ἰδίωμα τοῖς δεομένοις παρέ-
χεται. Ποῦ δὲ ἀποσεμνύνει τοῦτον τῷ τῆς πηγῆς ὀνόματι ἡ γραφή; ἢ
Ψαλ. λε. » δηλονότι, τὸν Δαβὶδ αἰνίττεται λέγοντα, παρὰ σοὶ πηγὴ ζωῆς. καὶ
Ἱερεμ. β. » τὸν Ἱερεμίαν. Ἐμὲ ἐγκατέλιπον (φάσκοντα) πηγὴν ὕδατος ζῶντος. καὶ
Ἰωάν. δ. » αὐτὸν τὸν ἡμέτερον δεσπότην, περὶ ἑαυτοῦ λέγοντα. Ὅτι ὕδωρ δώσω, ἐξ
» οὗ τις πιών, οὐ διψήσει εἰς τὸν αἰῶνα. καὶ διὰ τοῦτο πηγὴν ἑαυτὸν ἐπι-
δεικνύντα, πολυβελτίω τῆς πηγῆς τοῦ σωματικοῦ τούτου ὕδατος. ἐξ ἧς ἡ
Σαμαρεῖτις ἤντλει. τούτοις δὲ τοῖς ῥητοῖς, καὶ Ἀθανάσιος προσεσχη-
κώς, πηγὴν τοῦ ἁγίου πνεύματος τὸν υἱὸν ὀνομάζει. ὥσπερ οὖν ὁ Βασί-
λειος πηγὴν οἴεται τὸν υἱόν, διὰ τὴν τοῦ πνεύματος ἐνέργειαν, ἣν ἡμῖν
ἀνέβλυσεν ἐξ ἑαυτοῦ φιλανθρωπευσάμενος. ῥίζαν δὲ καὶ αἴτιον τοῦ ἁγίου
πνεύματος, ὡς πηγὴν τὸν πατέρα καλεῖ, περὶ τῆς ὑπάρξεως τῶν θείων
προσώπων τὸν λόγον ποιούμενος. οὕτω καὶ Ἀθανάσιος, τῆς μὲν θεότητος
μόνον πηγὴν τὸν πατέρα καλεῖ. πρὸς δὲ τὰς τοῦ πνεύματος δωρεὰς
ἀποβλέπων, ὧν πηγὴ γέγονεν ὁ ἡμέτερος δεσπότης ἡμῖν ὡς ἀληθὴς
Θεός, καὶ τὴν πηγὴν τύπον ἀϊδίως ἔχων ἐν ἑαυτῷ, πηγὴν τοῦ πνεύ-

ματος

ματος οὕτω καὶ τὸν Χειρὸν ὀνομάζει, τῇ τῆς ἱερᾶς γραφῆς ὑφηγήσει πειθόμενος. Ὅτι μὲν οὖν, οὔθ' ὁ τῆς τάξεως λόγος, οὔτε τὰ τοῦ Νύσσης καὶ τοῦ Ἀθανασίου ῥητὰ, τῇ ἀληθινῇ τῶν ῥητῶν ἐκείνων διανοίᾳ παρίστανται, τῶν λεγόντων, ἐκ πατρὸς δι' υἱοῦ τὸ πνεῦμα τὸ ἅγιον ἐκπορεύεσθαι, ἣν ἡ καθ' ἡμᾶς Ἐκκλησία συμφώνως ταῖς τῆς πίστεως ὑποθέσεσιν αὐτοῖς ἀποδίδωσι, καὶ ἣν ἡμεῖς προτεθήκαμεν, ἀλλὰ μᾶλλον καὶ ταυτὶ τὰ ῥητὰ τῇ ῥηθείσῃ διανοίᾳ συναγωνίζεται. οἱ δὲ Λατῖνοι λέξεις τινὰς θηρεύοντες ἐν αὐτοῖς, καὶ σοφιστικῶς αὐτὰς ἐξηγούμενοι, καὶ παρὰ τὰς κοινὰς ὑποθέσεις, τοῖς οὐ καλῶς προσέχουσι δοκοῦσι λέγειν, ἱκανῶς ἀποδεδεῖχθαι σὺν Θεῷ. ἐξ ὧν σαφὲς ἐστὶ τοῖς βουλομένοις προσέχειν, ὅπως καὶ τὰς ἄλλας τῶν διδασκάλων ῥήσεις νοητέον ἐστὶν, ἃς ἐπὶ συστάσει τῆς καινοτομίας κομίζουσι. καὶ ὅπως πρὸς τὰς σεσοφισμένας αὐτῶν καὶ ἀσυστάτους ἐξηγήσεις ἀπαντητέον. διὰ τοῦτο συντομίας φροντίζοντες, παρήκαμεν ἐκείνας τὰς ῥήσεις. τοῦτο βουλόμενοι πάντας τοὺς εὐσεβεῖν βουλομένους, ἐκ τῶν εἰρημένων πρόχειρον ἔχειν, ὅτι ἄλλως οἱ διδάσκαλοι οἱ ἱεροὶ περὶ τοῦ ἁγίου πνεύματος ὡς ὄντος, καὶ ἄλλως ὡς μετεχομένου. ἄλλως ὡς λαμβάνοντες ἀϊδίως, καὶ ἄλλως ὡς χρονικῶς διδόντος. ἄλλως ὡς περὶ ὑποστάσεως ἔνδον τοῦ Θεοῦ καὶ περιούσης καὶ οὔσης, καὶ ἄλλως ὡς περὶ χάριτος, εἰς τὰ ἔξω προερχομένης τε καὶ φανερουμένης, διηλέχθησαν. καὶ διὰ τοῦτο τὰς τῶν διδασκάλων ῥήσεις, δεῖν διαιροῦντας ἑκάστην τάττειν, ὡς ἂν δικαίως ἐκεῖνοι βούλοιντο τάττεσθαι. τί δ' ἂν βούλοιντο; αὐτοὶ φανεροῦσιν ἐκ τοῦ τῶν λόγων σκοποῦ, εἰ μή τις ὑπὸ φιλονεικίας ἀμβλυώττειν ἐθέλοι. ὁ δὲ ταῦτα πάντα μιγνὺς, καὶ εἰς τὰ ἱερὰ δόγματα, καὶ εἰς τοὺς διδασκάλους, ἀδικήσει προδήλως. καὶ πολλῷ πλέον ἀδικήσει, ὅτι τοῦ μὴ πλανηθῆναι τινὰς ἕνεκα, διεῖλον ἐκεῖνοι πάνυ καλῶς. καὶ νῦν δοκοῦσιν ἐξ ὧν τινὲς τῆς ὀρθῆς ὁδοῦ παρατρέπονται, αὐτοὶ γεγενῆσθαι τῆς παρατροπῆς ταύτης αἴτιοι, φεῦ.

Τμῆμα πέμπτον. ἐν ᾧ δείκνυται καὶ ῥητοῖς ἁγίων καὶ λόγοις, μὴ εἶναι τὸν υἱὸν τοῦ πνεύματος αἴτιον. καὶ ὡς ἐπαναλήψει τῶν προειρημένων, σαφήνεια τοῦ διὰ υἱοῦ τί ποτε βούλεται. ῥήσεις τῶν διδασκάλων, ἀποφάσκουσαι τοῦ υἱοῦ τὴν αἰτίαν τοῦ πνεύματος.

ΚΕΦΑΛΑΙΟΝ μδ.

Ὅτι δὲ καὶ ἀδύνατον αἴτιον εἶναι τοῦ πνεύματος τὸν υἱόν, πρῶτον μὲν ἐξ αὐτῶν τῶν διδασκάλων δῆλόν ἐστιν, αὐτῇ λέξει τοῦτ' ἀρνουμένων. ὁ μὲν γὰρ θεῖος Δαμασκηνὸς, ἐν τῷ περὶ θείων ὀνομάτων φησί.

Δαμασ.

Πνεῦμα τοῦ πατρὸς, ὡς ἐκ τοῦ πατρὸς πορευόμενον. οὐδεμία γὰρ ὁρμὴ ἄνευ πνεύματος. καὶ υἱοῦ δὲ πνεῦμα, οὐχ ὡς ἐξ αὐτοῦ, ἀλλ' ὡς δι' αὐτοῦ ἐκπορευόμενον. μόνος γὰρ αἴτιος ὁ πατήρ. Οὐκοῦν οὐκ ἔστιν ὁ υἱὸς αἴτιος τοῦ πνεύματος κατ' αὐτόν. οὐκοῦν οὐδὲ ἡ, διὰ, πρόθεσις ἐνταῦθα τὴν αἰτίαν σημαίνει. ὁ δὲ θεῖος Μάξιμος ἐν τῇ πρὸς Μαρῖνον ἐπιστολῇ,

Μάξιμ.

Ἐξ ὧν φησὶν οὐκ αἰτίαν ποιοῦντας τὸν υἱὸν τῆς τοῦ ἁγίου πνεύματος ἐκπορεύσεως, σφᾶς αὐτοὺς ἀπέδειξαν. μίαν γὰρ ἴσασιν υἱοῦ καὶ πνεύματος τὸν πατέρα αἰτίαν. τοῦ μὲν κατὰ γέννησιν, τοῦ δὲ κατ' ἐκπόρευσιν. ἀλλ' ἵνα τὸ δι' αὐτοῦ προϊέναι δηλώσωσι, καὶ ταύτῃ τὸ συναφὲς τῆς οὐσίας καὶ ἀπαράλλακτον παραστήσωσιν. Οὐκοῦν ἡ, διὰ, πρόθεσις, οὐσίας συνάφειαν, οὐκ αἰτίαν σημαίνει. οὐ δὲ ἐστὶν ὁ υἱὸς αἰτία τῆς τοῦ ἁγίου πνεύματος ἐκπορεύσεως. καὶ μία αἰτία υἱοῦ τε καὶ πνεύματος ὁ πατὴρ μόνος. εἴ τι γὰρ ἐν τοῖς θείοις ἕν ἐστι, καὶ μόνον τοῦτο ἐστίν. εἰ δέ τις εἴπῃ αἴτιον μὲν τῆς ἐκπορεύσεως τοῦ πνεύματος μὴ εἶναι τὸν υἱόν, αἴτιον δὲ τοῦ πνεύματος εἶναι, ἀρχὴ μὲν γὰρ ἑκάστου πράγματος δύναται λέγεσθαι πᾶσα ἀρχή. ἀρχὴ δὲ τῆς ὑπάρξεως αὐτοῦ οὐ δύναται λέγεσθαι, εἰμὴ ἡ πρώτη αἰτία, οὕτω δὲ ἐστὶν ὁ πατὴρ μόνος αἰτία τῆς τοῦ

πνεύμα-

πνεύματος ἐκπορεύσεως, ἀλλ' οὐ μόνος αἴτιος ἐστὶ τοῦ πνεύματος. ἀλλὰ
τοῦτ' ἐπὶ μὲν τῶν ἄλλων ἀληθὲς εἶναι δοκεῖ. καθὰ καὶ Πρόκλος καὶ
Πλωτῖνος, καὶ πολλοὶ τῶν σοφῶν ἀξιοῦσιν. ἐπὶ δὲ τῶν θείων οὐχ οὕτως.
καὶ ἀρκεῖ πρὸς ἀπόδειξιν ἀντ' ἄλλου παντὸς ὁ θεῖος Βασίλειος, ἐν β.
τῶν πρὸς Εὐνόμιον, οὕτω λέγων περὶ τοῦ υἱοῦ. Ἐπειδὴ γεγέννηται, ἣν οὐκ » Βασίλ.
ἀγέννητον ἔχων τὸ εἶναι. ὢν δὲ ἀεὶ καὶ συνὼν τῷ πατρὶ, παρ' οὗ καὶ τὴν »
οὐσίαν τῆς ὑπάρξεως ἔχει. καὶ παρακατιὼν λέγει. ἀλλὰ τὸ μὲν γεγέν- »
νηκα, τὴν αἰτίαν ἀφ' ἧς ἔχει τὴν ἀρχὴν τοῦ εἶναι σημαίνει. Οὐ τοίνυν »
ἐστὶν εἰπεῖν, ὡς ὁ υἱὸς ἔχει τὴν ἀρχὴν τῆς ὑπάρξεως ἐκ τοῦ πατρὸς δι'
ἄλλης τινὸς ὑποστάσεως, ἥτις ἁπλῶς ἂν αἰτία εἴη αὐτοῦ. ὁ θεῖος Γρη-
γόριος ἐν τῷ κατάπλῳ, Πάντα ἔχει ὁ υἱὸς τοῦ πατρὸς, πλὴν τῆς αἰ- » Γρηγ. ὁ
τίας. καὶ ἐν τῷ περὶ δογμάτων καὶ καταστάσεως ἐπισκόπων, Ἀξίωμα τοῦ » θεολ.
πατρὸς εἶναί φησι, τὴν ἀρχὴν καὶ τὸ αἴτιον τῆς ἐν υἱῷ καὶ πνεύματι θεω- »
ρουμένης θεότητος. τὸ δὲ ἀξίωμα τοῦ προσώπου, ἀκοινώνητον εἶναι δοκεῖ.
καὶ πρὸς τούτοις, αἴτιον εἶναί φησιν ὁ διδάσκαλος τὸν πατέρα, τῆς θεότητος,
ἥτις θεωρεῖται ἐν υἱῷ καὶ πνεύματι. ἄγχων οὕτω τοὺς τὴν Διονυσίου ῥῆσιν
ἐξηγουμένους κακῶς. καὶ τὴν διάνοιαν ἐκείνης τῆς ῥήσεως ἡμῖν ἀναπτύσ-
σων. ὃ γὰρ φησὶν ἐκεῖνος μόνῳ τῷ πατρὶ προσεῖναι, τοῦτο φησὶν οὗτος
ἀξίωμα τοῦ πατρὸς εἶναι. ἐκείνου δὲ λέγοντος τῆς ὑπερουσίου θεότητος,
αὐτὸς διελὼν, τῆς ἐν υἱῷ θεωρουμένης φησὶ καὶ τῆς ἐν πνεύματι. ὁ αὐτὸς
ἐν τῷ περὶ θεολογίας. Αἱ δὲ ἰδιότητες, πατρὸς μὲν ἀνάρχου καὶ ἀρχῆς » Ὁ αὐτὸς.
ἐπινοουμένου καὶ λεγομένου. ἀρχῆς δὲ ὡς αἰτίου καὶ ὡς πηγῆς καὶ ὡς αϊδίου »
φωτός. υἱοῦ δὲ ἀνάρχου μὲν οὐδαμῶς. ἀρχῆς δὲ τῶν ὅλων. καὶ ὁ Νύσσης. »
Ἓν γὰρ πρόσωπον, καὶ τὸ αὐτὸ φησὶ τοῦ πατρὸς. ἐξ οὗπερ ὁ υἱὸς γεννᾶ- » Γρηγ.
ται, καὶ τὸ πνεῦμα τὸ ἅγιον ἐκπορεύεται. διὸ καὶ κυρίως τὸν ἕνα αἴτιον μετὰ » Νύσσ.
τῶν αὐτοῦ αἰτιατῶν, ἕνα θεὸν φαμὲν τεθαῤῥηκότως. Τούτοις ἐκεῖνα »
προσκείσθωσαν τὰ ῥητὰ, ἐν οἷς ἐκ τοῦ πατρὸς ὑφεστηκέναι, καὶ τὴν αἰ-
τίαν τῆς ὑποστάσεως ἐκ τοῦ πατρὸς ἔχειν. καὶ τὴν αἰτίαν τοῦ εἶναι ἐκ
τοῦ πατρὸς ἔχειν. καὶ ἐκ τοῦ πατρὸς ἐκπορεύεσθαι διωρισμένως λέγεται.
τὰ δὲ εἰς τὴν ταυτότητα τῆς οὐσίας καὶ τὴν χορηγίαν τῶν τοῦ πνεύματος

χαρισμάτων ἀνήκοντα, καὶ τῷ υἱῷ ἀποδίδοται ὑπὸ τοιούτῳ τοῦ λόγου σχήματι. ὅπερ οὐδὲν ἔλαττον ἀποκληροῖ, ἢ εἰ ἐκ μόνου τοῦ πατρὸς ἐλέγετο τὴν ὕπαρξιν ἔχειν τὸ πνεῦμα. ταῦτα δὲ τὰ ῥητὰ, πρότερον ἐξεθέμεθα.

ΚΕΦΑΛΑΙΟΝ με.

Λόγοι ἐκ τῶν κοινῶν ὑποθέσεων ἡμῖν τε καὶ Λατίνοις δεικνῦντες τὸν υἱὸν μὴ εἶναι αἴτιον τοῦ πνεύματος, ὅπερ ἐστὶ ταὐτὸν, τῷ μὴ ἐκπορεύεσθαι τὸ πνεῦμα ἐκ τοῦ υἱοῦ, συνεσταλμένως λαμβανομένου τοῦ ἐκπορεύεσθαι ὡς σημαίνει τὴν εἰς τὸ εἶναι ἰδιοσυστάτως, καὶ καθ' ὑπόστασιν πρόοδον ἐκ τῆς ἰδίας αἰτίας.

ΚΑὶ καθόλου δὲ πρὸς τὰς κοινὰς ἀναδραμών τις ἀρχὰς, οὐδαμῶς εὑρήσει ταύταις συνᾷδον οὐδ' ὑγιὲς, τὸ τὸν υἱὸν εἶναι τοῦ πνεύματος αἴτιον. Πρῶτον μὲν γὰρ, τὸ πλείοις εἶναι τὰς ἀρχὰς, ἥ τ' Ἐκκλησία κοινῶς ἀποδεδοκίμακε, καὶ πολλοὶ τῶν Λατίνων τοῦτο φεύγειν ὡς ἄτοπον διομολογοῦσιν. ἄτοπον δὲ οὐκ εἰ τῶν ὄντων εἶεν πλείους ἀρχαὶ μόνον, ἀλλ' εἰ καὶ τῶν ἐν τῇ θείᾳ φύσει προσώπων, πλείους εἶναι πιστεύοιντο. τοῦτο δὲ συμβαίνει τῇ Λατινικῇ ταύτῃ ὑποθέσει. ὁ γὰρ πατὴρ καὶ ὁ υἱὸς, εἰ καὶ τῷ τῆς φύσεως λόγῳ συνάπτονται, καὶ ἕν εἰσιν, ἀλλὰ τῷ γε τῆς ὑποστάσεως, διακεκριμένοι εἰσὶ καὶ δύο. δεῖ δὲ τὸν πατέρα καὶ τὸν υἱὸν παραβάλλεσθαι πρὸς τὸ πνεῦμα τὸ ἅγιον ἐν τῷ προάγειν αὐτὸ, ὡς ὑποστάσεις. ἐκ γὰρ τῆς πατρικῆς ὑποστάσεως, ὅ, τε Νύσσης καὶ οἱ διδάσκαλοι πάντες ἐκπορεύεσθαι λέγουσι τὸ πνεῦμα τὸ ἅγιον. ὥς τε καὶ ἐκ τῆς υἱϊκῆς ὑποστάσεως ἀληθὲς ἂν εἰπεῖν κατὰ τοὺς Λατίνους. ὥσπερ τοίνυν ἀδύνατον ἐστὶ αὐτοὺς μίαν ὑπόστασιν εἶναι, ἢ ἓν πρόσωπον, οὕτως ἀδύνατον ἐστὶ μίαν ἀρχὴν εἶναι τοῦ πνεύματος. καθάπερ γὰρ, εἴ τι ἐστὶν ἐν αὐτοῖς τῷ

λόγῳ

λόγῳ τῆς φύσεως, εἰ ἔστι καὶ ἀδιάκριτον, οὕτω καὶ εἴ τι ἐστὶν ἐν αὐτοῖς τῷ λόγῳ τῶν ὑποστάσεων, δῆλον ἔσται καὶ διακεκριμένον. Πρὸς τοῦτ' ἀποκρίνονται ἀπὸ τῆς δημιουργίας. δημιουργεῖ γὰρ φασὶν ὁ πατὴρ τὴν κτίσιν. ὡσαύτως καὶ ὁ υἱός. καὶ τὸ πνεῦμα τὸ ἅγιον. καὶ ὅμως εἷς εἰσὶ δημιουργός. ἀλλ' ἐκεῖ ὁ πατὴρ καὶ υἱὸς καὶ τὸ πνεῦμα, ποιοῦσι τὴν κτίσιν, καθὸ εἰσὶν αὗται αἱ ὑποστάσεις, εἷς Θεός. ὅθεν ταὐτόν ἐστιν εἰπεῖν, ὁ πατὴρ καὶ ὁ υἱὸς καὶ τὸ πνεῦμα δημιουργοῦσι, καὶ εἰπεῖν ὅτι δημιουργεῖ ὁ Θεός. ὁ Θεὸς μὲν γὰρ ἐστὶν ὁ δημιουργῶν, ἀλλὰ διὰ τὸ τὸν Θεὸν ἑαυτοῦ πατέρα καὶ υἱὸν εἶναι καὶ πνεῦμα ἀληθῶς τὸ δημιουργεῖν τοῖς τρισὶ προσώποις τούτοις συνδιακρίνεται. καὶ δημιουργεῖ μὲν ὁ πατήρ, δημιουργεῖ δὲ ὁ υἱὸς καὶ τὸ πνεῦμα. ἐνταῦθα δὲ οὐ δυνάμεθα λέγειν, ὅτι ὁ Θεὸς προβάλλει τὸ πνεῦμα τὸ ἅγιον οὕτως, ὥς τε ὅτι προβάλλειν τοῖς τρισὶ προσώποις συνδιανέμεσθαι. ἀλλὰ μᾶλλον οὕτως, ὥς τε τὸ προβάλλειν εἰς τὸ πατρικὸν ὁρίζεσθαι πρόσωπον. καθὼς ὁ μὲν Σωτὴρ εἶπεν, ἐκ τοῦ πατρὸς αὐτὸ ἐκπορεύεσθαι. ὁ δὲ θεῖος Ἀπόστολος εἶπεν εἶναι τοῦτο ἐκ τοῦ Θεοῦ, τὸν πατέρα λέγων, ὡς τοῦτο οἱ διδάσκαλοι πάντες διερμηνεύουσι. πάλιν ἀποκρίνονται, ὅτι εἰ καὶ μὴ εἰσὶν ἀρχὴ μία τῷ λόγῳ τῆς ἐνεργείας ἢ τῆς δυνάμεως. ὅτι μιᾷ ἐνεργείᾳ τοῦτο προάγουσι. καὶ μία ἐστὶν ἀμφοῖν ἡ τοῦ προβάλλειν δύναμις. ἀλλὰ τοῦτο ζητεῖται εἰ ἐστὶν ἐν αὐτοῖς ἡ προβλητικὴ δύναμις ὁμοίως. ὅθεν οὐκ ἀπὸ τοῦ ζητουμένου λύειν ἐχρῆν. πόθεν δὲ καὶ πεισθείη τις τοῦτ' ἀληθὲς εἶναι; ποῦ τῶν εὐαγγελίων τοῦτ' εἴρηται; ποία τῶν Συνόδων; τίς τῶν διδασκάλων εἶπε μίαν εἶναι τὴν προβλητικὴν δύναμιν ἐν πατρὶ καὶ υἱῷ; καὶ μιᾶς δὲ οὔσης τῆς προβλητικῆς δυνάμεως, οὐδὲν ἧττον ἔσονται δύο ἀρχαί. δύο γὰρ εἰσὶ τὰ ἐνεργοῦντα κατὰ μίαν δύναμιν. καὶ μᾶλλον μὲν ἂν ἦσαν δύο ἀρχαί, εἰ καὶ δυνάμεσι προῆγον δυσίν. οὐ μέντοιγε οὐδ' οὕτως ἔσονται παντάπασι μία ἀρχή. οὐδὲ παντάπασιν ἐνοειδῶς προάξουσι, διὰ τὸ πλείω ὑποκείμενα εἶναι. οἷς ἡ τοιαύτη ἐνέργεια, μετά τινος διαφορᾶς πρόσεισιν ἑπομένης τῇ προσωπικῇ τούτων διακρίσει, ὡς οἱ Λατῖνοι λέγουσιν. ἡμεῖς δὲ παντάπασι μίαν ἀρχὴν τῶν θείων προσώπων βου-

λόμεθα εἰπεῖν. ἀκούοντες γὰρ τῶν διδασκάλων λεγόντων, ὅτι ὁ πατὴρ μόνον καὶ καθάπαξ ἐστὶ πατήρ, τουτέστι γεννήτωρ καὶ προβολεύς. καὶ ὅτι ἀρχὴ τὸ αἴτιον τῆς θεότητος, ἰδιότης αὐτοῦ ἐστὶ καὶ ἀξίωμα. μίαν ἀρχὴν καθάπαξ εἶναι πιστευόμεθα τὸν πατέρα ἔνδον ἐν τῇ θεότητι. πάλιν ἀποκρίνονται. ὅτι ὁ πατὴρ καὶ ὁ υἱὸς προάγουσι τὸ πνεῦμα, οὐ καθὸ εἰσὶν ὑποστάσεις διακεκριμέναι, ἀλλὰ καθὸ ἕν εἰσι τῇ οὐσίᾳ. ἀλλὰ πρῶτον μὲν, ὥσπερ ὁ πατὴρ ὁ υἱὸς καὶ τὸ πνεῦμα προάγοντες τὴν κτίσιν, καθὸ ἕν εἰσὶ τῇ οὐσίᾳ, δημιουργικῶς ταύτην προάγουσι καὶ κατὰ τὸν τῆς θελήσεως τρόπον. οὕτω καὶ τὸ πνεῦμα, εἰ προβαλοῦνται καθὸ ἕν εἰσὶ τῇ οὐσίᾳ ὁ πατὴρ καὶ ὁ υἱός, δημιουργικῶς αὐτὸ προβαλοῦνται. ὡς γὰρ οἱ Λατῖνοι τῷ παραδείγματι τῆς δημιουργίας πρὸς τὴν κατασκευὴν τῆς μιᾶς ἀρχῆς χρῶνται, οὕτω καὶ ἡμῖν ἔξεστιν αὐτῷ χρῆσθαι, πρὸς κατασκευὴν τῆς ὁμοιότητος τῶν προαγομένων, ἄντε τὰ τρία καθὸ ἕν εἰσὶ τῇ οὐσίᾳ προάγωσιν, ἄντε τὰ δύο μόνον. ἀλλὰ τοῦτο περιφανῶς ἐστὶν ἀσεβές. ἅμα δὲ καὶ ἀδύνατον, ὑποκειμένου τοῦ τὸ πνεῦμα δημιουργὸν εἶναι τῆς κτίσεως. ἔπειτα, εἰ μὲν ἡ οὐσία ἀρχή ἐστιν ὡς τὸ εἶδος μόνον, πάλιν ἡμῖν ἡ προτέρα ἀπορία σώζεται. ὅτι εἰ καὶ μία ἀρχή εἰσὶ κατὰ τὴν τοῦ προάγειν ἀρχὴν, ἀλλ' ὡς ἀρχαὶ προάγουσαι δύο ἔσονται. ἡμεῖς δὲ καθάπαξ μίαν εἶναι ζητοῦμεν ἀρχήν. εἰ δὲ ἡ οὐσία ἀρχή ἐστιν ὡς προάγουσα, ἔσται ἡ οὐσία ἐν πατρὶ καὶ υἱῷ θεωρουμένη ἓν ὑποκείμενον, οὗτινος ἂν εἴη ἐνέργεια τὸ προβάλλειν. καὶ οὕτω τέσσαρα ἐν τῷ Θεῷ ἔσονται ὑποκείμενα. πατήρ. υἱός. καὶ πνεῦμα. καὶ ἡ κοινὴ πατρὶ καὶ υἱῷ οὐσία. καὶ πρὸς τούτοις, οὐδ' ὁ πατὴρ καὶ ὁ υἱὸς προβάλλουσι κατὰ τὴν οὐσίαν, ἀλλ' ἡ θεία οὐσία προβαλεῖται ἡ ἐν πατρὶ καὶ υἱῷ. καὶ ἡ ἔσται αὕτη καθάπαξ κοινωνητή, καὶ οὕτως οὐδὲν ἐν τῷ Θεῷ διοίσει ὁ τῆς ἀρχῆς λόγος οὐδαμῇ οὐδαμῶς. τοῦτο δ' ἀδύνατον. ἢ ὡς μὲν ὑποκείμενον ἀκοινώνητον ἔσται. τῷ δὲ εἴδει κοινωνηθήσεται. καὶ οὕτως ἡ θεία οὐσία ἡ ἐν πατρὶ καὶ υἱῷ, οὐσία τινὶ ἑτέρα ὡς δὴ ἀρχὴ εἰδητική, ἀρχὴ ἔσται τὸ πνεῦμα προάγουσα. καὶ τὸ πνεῦμα, πῇ μὲν μεθέξει τῆς θείας οὐσίας, πῇ δὲ οὐ μεθέξει. καὶ πολλῶν ἀτόπων ἑσμοὶ ἐντεῦθεν βλαστή-

σουσι.

σουσι. πάλιν ἀποκρίνονται, ὅτι οὔτε καθόσον ἕν εἰσι τῇ οὐσίᾳ καθάπαξ, οὔτε καθόσον ἕν εἰσι πρόσωπον. οὔτε καθὸ εἰσὶ δύο πρόσωπα καθάπαξ. ἀλλὰ καθόσον ταῦτα τὰ δύο πρόσωπα, μίαν ἔχουσι δύναμιν προβλητικὴν, πρῶτον μὲν οὖν, οὐδὲν σαφὲς λέγουσι. τὸ γὰρ οὕτω λέγειν, οὐδὲν ἐστὶν ἕτερον. ἢ ὅτι κατ' οὐδὲν τούτων καὶ κατὰ πάντα ὁμοῦ. καὶ ἡ τοιαύτη ἀπόκρισις φυγὴ μᾶλλον ἐστὶ τῆς λύσεως διὰ τὸ ἐν διδόναι τῇ ἀποκρίσει, ἢ λύσις. ἔδει γὰρ κατά τι τούτων εἰπεῖν, εἴγε ἔμελλον λύειν. ἔπειτα καὶ περὶ τῆς δυνάμεως ἐκείνης ἡ αὐτὴ πάλιν ζήτησις. ζητηθήσεται γὰρ ἡ τῆς δυνάμεως ἐκείνης ἑνότης, τίνος ἑνότητι παρακολουθεῖ. πᾶσα γὰρ δύναμις ἐν τοῖς θείοις, εἰ καὶ τῆς φύσεως ἐστὶ, καὶ ἐκ τῆς οὐσίας ἀνίσχει, ἀλλ' ἡ τῇ θεότητι σύμμετρός ἐστιν, ὡς τὰς ὑποστάσεις πάσας διαλαμβάνει. ἢ ἔν τινι προσώπῳ γνωρίζεται. εἰ μὲν οὖν ἡ προβλητικὴ δύναμις αὕτη, μία ἐστὶ διὰ τὸ ἑνὸς εἶναι προσώπου, πάλιν ἓν ἔσται πρόσωπον ὁ πατὴρ καὶ ὁ υἱός. εἰ δὲ διὰ τὸ μιᾶς εἶναι φύσεως, ὥσπερ ἡ τῆς οὐσίας ἑνότης. οὐκ εἴργει τὸν πατέρα καὶ τὸν υἱὸν δύο ὑποστάσεις εἶναι, οὕτως οὐδὲ ἡ τῆς δυνάμεως ἑνότης εἴρξει τὸν πατέρα καὶ τὸν υἱὸν, δύο ὑποκείμενα εἶναι, μιᾷ δυνάμει προάγοντα. καὶ οὕτω δύο εἶναι ἀρχάς. εἰ δὲ πάντα μὲν τὰ ἄλλα συγχωροῦσι, τὸ δὲ ἐὰν ὦσι δύο ὑποκείμενα μιᾷ δυνάμει προάγοντα, καὶ δύο εἶναι ἀρχὰς ἀρνῶνται, τὴν δημιουργικὴν προκομίζοντες δύναμιν. ἥτις μία τε ἐστὶν ἐν τρισὶ προσώποις, καὶ οὔτε ἡ Τριὰς τῶν ὑποκειμένων ὑπ' αὐτῆς φθείρεται, οὔτε τρεῖς εἰσὶ δημιουργοὶ, οὐδὲ τρεῖς ἀρχαί. ἀλλὰ ἀνόμοιον ἐστὶ τὸ παράδειγμα. ἐκεῖ μὲν γὰρ δημιουργεῖ ὁ Θεὸς, ὅς ἐστιν ὅλη ἡ θεία φύσις. ἡ αὐτὴ οὖσα ταῖς τρισὶν ὑποστάσεσι κατὰ τὸ πρᾶγμα. ὅθεν οὐ δημιουργεῖ μετά τινος ἀναφορᾶς πρὸς τὰ ἔνδον, ἀλλὰ ἀπολελυμένως. καὶ τότε ἡ δύναμις οὐ μᾶλλον τῶν ὑποκειμένων τῶν διακεκριμένων νοεῖται, ἢ τῆς κοινῆς φύσεως. καὶ διὰ τοῦτο ὥσπερ ἐστὶν ἐν πατρὶ καὶ υἱῷ καὶ πνεύματι μία φύσις καὶ δύναμις, οὕτω εἰσὶ ταῦτα καὶ μία ἀρχή. ἴσον γὰρ ἐστὶ, πρός τε τὴν δύναμιν, πρός τε τὴν φύσιν, τὴν ποσότητα τῆς ἀρχῆς ἀναφέρειν. ἐνταῦθα δὲ, οὔτε ἐστί τις καθ' ἑαυτὸν ὑφεστὼς κοινὸς πατρὶ

καὶ υἱῷ, καὶ οὐ τῷ ἁγίῳ πνεύματι, οὗ ἂν εἴη ἐνέργεια τὸ προβάλλειν. οὔτε ἡ θεία οὐσία ἀρχή ἐστι τοῦ πνεύματος, καθὸ εἰσὶν ἐν αὐτῇ αἱ τρεῖς ὑποστάσεις, ἀλλὰ καθὸ αἱ δύο ὑποστάσεις πρὸς τὸ πνεῦμα ἀναφέρονται. καὶ διὰ τοῦτο οὐ πρὸς τὴν δύναμιν, ἀλλὰ πρὸς τὰ ὑποκείμενα τὰ ἐνεργοῦντα δύο ὄντα, ἡ τῆς ἀρχῆς ποσότης παραβληθήσεται, καὶ διττὴ ἔσται, δυοῖν ὄντων ἐκείνων. καὶ πρὸς τούτοις, εἰ μὲν ἐπίσης ἐστὶν ἐν πατρὶ καὶ υἱῷ ἡ προβλητικὴ δύναμις, ὡς πρώτῳ ἑκατέρῳ φανερῶς εἰσὶ δύο ἀρχαί. εἰ δὲ ὁ υἱὸς ἐκ τοῦ πατρὸς ἔχει ταύτην τὴν δύναμιν, καὶ ἐντεῦθεν τὸ αὐτὸ ἕπεται. λαμβάνει γὰρ καὶ τὸ εἶναι παρὰ τοῦ πατρὸς ὁ υἱός. ἀλλ' ἓν ἐστὶ τὸ εἶναι αὐτοῦ καὶ τοῦ πατρὸς καὶ τοῦ πνεύματος. διότι καὶ αὐτὸ οὐδὲ μίαν ἔχει πρὸς τὸ πνεῦμα ἀντίθεσιν. λαμβάνει καὶ τὴν τοῦ δημιουργεῖν δύναμιν. ἀλλὰ κἀκείνη, τῆς θεότητος ἐστὶ κοινή. καὶ οὐδεμίαν ἀναφορὰν ἔχουσι τὰ θεῖα πρόσωπα πρὸς ἄλληλα κατ' αὐτήν. ἀπολελυμένως γὰρ ἐστὶν ἐν αὐτοῖς. καὶ πρὸς τὰ ἔξω μόνον ποιεῖ τὴν ἀναφορὰν ἐν τοῖς πράγμασιν. ὅθεν εἰ καὶ πρόσεστιν ἑκάστῃ ὑποστάσει, ἡ τοῦ δημιουργεῖν δύναμις, κατὰ τὴν ἑκάστης ὑποστάσεως ἰδιότητα, ἣν ἔχουσιν ἐν ἑαυταῖς καὶ πρὸς ἑαυτάς, ἀλλ' ἡ τοιαύτη διαφορὰ τοῦ λόγου ἐστί. καὶ διὰ τοῦτο οὐ πληθύνει τὴν ἀρχὴν ἐν αὐταῖς. ἀλλ' εἰ λαμβάνει ὁ υἱὸς τὴν προβλητικὴν δύναμιν παρὰ τοῦ πατρὸς παντάπασι τὴν αὐτήν. πλὴν τούτου τοῦ ἐν τῷ υἱῷ ταύτην ἐκ τοῦ πατρὸς ἥκειν ὡς οἱ Λατῖνοι λέγουσιν, ἐπεὶ ὁ πατὴρ πραγματικὴν ἔχει ἀναφορὰν πρὸς τὸ πνεῦμα, καὶ ὁ υἱὸς ὁμοίως ἕξει. καὶ οὕτως ὁ πατὴρ καὶ ὁ υἱὸς ἀναφορὰν ἕξουσι πραγματικὴν πρὸς τὸ πνεῦμα, ᾗ ἑκάτερος ἀρχὴ ἐστὶν αὐτοῦ. καὶ ἐπεὶ οὐκ ἀναφέρονται κατὰ τὴν οὐσίαν, ἀλλὰ κατὰ τὰς ὑποστάσεις, ἀναφέρονται δὲ πρὸς αὐτὸ ᾗ εἰσὶν ἑκάτερος ἀρχὴ αὐτοῦ, δύο ἀρχαὶ ἔσονται αὐτοῦ, ὥσπερ καὶ δύο ὑποστάσεις εἰσὶν ὁμολογουμένως.

β. Δεύτερον τὰ κοινὰ πατρὶ καὶ υἱῷ, κοινὰ εἶναι καὶ τῷ πνεύματι, καὶ ὁ ἱερὸς φησὶ Διονύσιος, καὶ ὁ μέγας Βασίλειος. τοῦτο δ' οὐκ ἂν εἴη, εἴπερ ὁ υἱὸς τοῦ προβάλλειν κοινωνεῖ τῷ πατρί. ἀλλ' ἔσται κοινόν τι πατρὶ καὶ υἱῷ, ὃ μηδὲ τῷ πνεύματι κοινὸν ἔσται. καὶ οὕτω τά τε τῶν διδασκά-

λων

λων ἀξιώματα φροῦδα ἔσται. καὶ ὅπερ ἐκεῖνοι δεδιότες, τοῦτο ἀξιοῦσι συμβήσεσθαι. ὅτι τὸ πνεῦμα χεῖρον ἔσται τῇ φύσει. καὶ οὐκ ἐν τῇ αὐτῇ τῆς οὐσίας ἑνότητι συνέσται τῷ πατρὶ καὶ τῷ υἱῷ. σκοπῶμεν δ' ὧδε. Ἅπαν ὄνομα θείου προσώπου, αὐτὸ μὲν καθ' ἑαυτὸ λεγόμενον, ἐκβάλλει ἀπὸ τῆς αὐτοῦ σημασίας τὰ λοιπὰ πρόσωπα. διότι ἐν ἑκάστῳ ὀνόματι θείου προσώπου, περιέχεται πᾶν εἴ τι ἐστὶν ἐν τοῖς λοιποῖς τῷ λόγῳ τῆς οὐσίας κοινωνικῶς τε καὶ ἡνωμένως. ἀλλ' οὐ περιέχεται πᾶν εἴ τι ἐστὶν ἐν αὐτοῖς, τῷ λόγῳ τῆς ἰδιότητος, εἰμὴ ἀντιθετικῶς τε καὶ ἀναφορικῶς. διὰ τοῦτο ὁ υἱὸς οὐκ ἔστι πατήρ. ἀλλ' ἔστιν ὅπερ ὁ πατήρ κατὰ τὸν μέγαν Γρηγόριον, καὶ τὸν θεῖον Μάξιμον. ἀλλ' ἐπειδὰν ῥῆμά τι κατηγορηθῇ θείου προσώπου τινὸς ἐνέργειάν τινα σημαῖνον, εἰ μὲν ἡ ἐνέργεια σύμμετρος ἐστὶ, καὶ ἀντιστρέφουσα τῷ προσώπῳ, ἐκβάλλονται τὰ λοιπὰ πρόσωπα τῆς κατηγορίας ἐκείνης, εἰ καὶ συνοοῦνται τῷ λόγῳ τῆς ἀντιθέσεως. καὶ ἑπομένως τῷ τῆς φύσεως λόγῳ, διότι κατὰ τὴν φυσικὴν σχέσιν ἐν αὐτοῖς ἐστὶν ἡ ἀντίθεσις. ὥσπερ ὁπόταν λέγωμεν ὁ πατὴρ γεννᾷ, ἐκβάλλεται καὶ χωρίζεται τῆς τοιαύτης κατηγορίας, τὸ τοῦ υἱοῦ πρόσωπον καὶ τοῦ πνεύματος. διότι τὸ γεννᾷν, ἐξισάζον ἐστὶ καὶ ἀντιστρέφον τῇ τοῦ πατρὸς ὑποστάσει. ὡς δὴ αὐτῇ μόνῃ προσὸν, εἰ καὶ μὴ μόνον. εἰ δὲ ἡ ἐνέργεια ἐκείνη ὑπερβάλλει τοῦ προσώπου τὴν ἰδιότητα, τότε καὶ τὰ λοιπὰ πρόσωπα, ὑπὸ τῇ τοιαύτῃ κατηγορίᾳ νοοῦνται, διὰ τὸ τὴν τοιαύτην κατηγορίαν, πρὸς ὅλην τὴν θείαν φύσιν ἐκτείνεσθαι. ὥσπερ ὁπόταν λέγωμεν, ὁ πατὴρ δημιουργεῖ. ἢ ὁ πατὴρ ἐστὶ παντοκράτωρ. ἢ ὁ πατὴρ ἐστὶ Θεὸς, ἤ τι τοιοῦτον. ἐπειδὴ γὰρ ἕκαστον πρόσωπον, ἡ θεία οὐσία ἐστὶ μετὰ τῆς προσωπικῆς ἰδιότητος, εἰ μὲν ἡ ἐνέργεια τῇ ἰδιότητι τοῦ προσώπου ἁρμόττει, καθ' ἣν ἰδιοσυστάτως ἐστὶ, καὶ τῇ οὐσίᾳ ἁρμόττει. οὐ καθὸ ὑφίστησι πάσας τὰς ἰδιότητας, ἀλλὰ καθὸ ταύτην ἰδιοσυστάτως ὑφίστησιν. εἰ δὲ ἡ ἐνέργεια μὴ ἐξισάζοι τῇ ἰδιότητι τοῦ προσώπου, τότε τῇ θείᾳ οὐσίᾳ προσήκει καθ' ἑαυτὴν, καὶ ὡς ὑφίστησιν ἐν ἑαυτῇ πάσας τὰς ἰδιότητας. καὶ οὕτω πρὸς πάσας διαβαίνει τὰς ὑποστάσεις. ὡς δὴ τελειότης τις κοινὴ τούτων ἁπασῶν. καὶ οὐκ ἔστιν εὑρεῖν τινὰ ἐνέργειαν, μήτε συμμε-

τεμνομένην ἑκάστῳ προσώπῳ, μὴ τί εἰς πάντα ἐκτεινομένην. εἰ γάρ τις ἐνέργεια ὑπερβάλλει μὲν τὴν ἰδιότητα τοῦ προσώπου, μὴ ἐκταθήσεται δὲ πρὸς τὰ πρόσωπα πάντα, τὸ ἐκβαλλόμενον τῆς τοιαύτης ἐνεργείας πρόσωπον, ἔξω τῆς θείας οὐσίας ἐστί, διὰ τὸ τὴν τοιαύτην κατηγορίαν, ἐν ᾗ τὸ ῥῆμα οὐκ ἔστι σύμμετρον τῷ προσώπῳ, καθ' οὗ λέγεται, ὅλην προσκαλεῖσθαι τὴν θείαν φύσιν. τούτων οὕτω προϋποτιθεμένων, ἐπειδὰν λέγωμεν ὁ πατὴρ προβάλλει τὸ πνεῦμα, τὸ προβάλλειν, ἢ σύμμετρον ἐστὶ, καὶ ἐξισάζον τῷ προσώπῳ τοῦ πατρὸς, καὶ οὕτως ὁ πατὴρ ἔσται μόνος προβολεύς. ἢ ὑπερβάλλει, καὶ τότε ἐπειδὴ τὴν θείαν φύσιν ὅλην προσκαλεῖται, ἢ ὁ υἱὸς καὶ τὸ πνεῦμα νοηθήσονται μετέχειν ταύτης τῆς ἐνεργείας, ἢ τὸ πνεῦμα ἔξω τῆς θείας οὐσίας ἔσται, εἰ καὶ ἡ ἐνέργεια ἡ προσκαλουμένη τὴν θείαν φύσιν, ἐκ τοῦ πατρὸς πρὸς τὸν υἱὸν διαδοθήσεται. ταῦτα δὲ ἄμφω ψευδῆ καὶ ἀδύνατα, ἅπερ ἕπονται τῷ δευτέρῳ μέρει τῆς διαιρέσεως. τὸ πρῶτον ἄρα μέρος ἐστὶν ἀληθές. ὅτι τὸ προβάλλειν σύμμετρον ἐστὶ τῷ πατρικῷ προσώπῳ, καὶ ἀντιστρέφον. καὶ οὕτω μόνος ὁ πατὴρ ἐστὶ προβολεὺς, καὶ ὁ υἱὸς οὐκ ἔστι προβολεὺς τοῦ πνεύματος. πρὸς δὴ τοῦτ' ἀποκρίνονται, ὡς ἡ διαίρεσις ἐπὶ πάντων ἐστὶν ἀληθὴς τῶν ἄλλων, πλὴν τοῦ προβάλλειν. τοῦτο γὰρ ταύτην ἐκφεύγει τὴν διαίρεσιν. ἀλλ' οὐκ ἀναγκαία ἡ ἀπόκρισις αὕτη, ἕως ἂν τοῦτο ζητούμενον ᾖ, εἰ τὸ προβάλλειν κοινὸν ἐστὶ πατρὶ καὶ υἱῷ μόνον. ἐπειδὰν δὲ δειχθῇ κοινὸν εἶναι, τότε ἡ ἀπόκρισις ἕξει χώραν. ἀπορία δὲ μόνον ἔσται, διατί τὸ προβάλλειν μόνον οὕτως ἐστί. πάλιν ἀποκρίνονται, ὅτι προσῆν ἂν καὶ τῷ πνεύματι τὸ προβάλλειν, ὅσον ἔκ γε τοῦ λόγου. ἀλλ' ἄλλως ἐστὶν ἀδύνατον. οὔτε γὰρ ἑαυτοῦ ἔσται αἴτιον, οὔτε τινὸς τῶν προαγόντων αὐτό. οὐ γὰρ ἀντιστρέφει τὰ τῆς θεογονίας. οὔτ' ἄλλου τινός. οὐ γὰρ ἐστὶν ἕτερον τι ὑποκείμενον ὑπὲρ τὴν Τριάδα. ἀλλὰ καὶ αὕτη ἡ ἀπόκρισις, οὐ λύει τὸν λόγον. ἀλλὰ μᾶλλον τὸ μὴ προσεῖναι τῷ πνεύματι τὸ προβάλλειν κατασκευάζει. καὶ ὅτι ἀδύνατον ἂν ἦν τοῦ τι προσεῖναι αὐτῷ. καὶ ἡμεῖς οὖν ὅτε τοῦ προβάλλειν μήτε προσόντος μήτε προσεῖναι δυναμένου τῷ πνεύματι (ὡς καὶ αὐτοὶ Λατῖνοι λέγουσι) φαμὲν μηδὲ τὸν υἱὸν προ-

βολέα

βολέα εἶναι. διότι τούτῳ ἕπεται ἂν ἐξ ἀνάγκης, καὶ ἐκείνων τῶν ἀδυνάτων θάτερον εἶναι. οὐκ ἄρα διὰ τὸ ταῦτα μὴ εἶναι ὡς ἀδύνατα, δεῖ συγχωρεῖν ᾧ ταῦτα ἕπεται. ἀλλὰ μᾶλλον διότι ἐκείνου τεθέντος, δεῖ ταῦτα ἕπεσθαι ἀδύνατα ὄντα. κἀκεῖ δεῖ ἀδύνατον ὑπειλῆφθαι ᾧ ταῦτα ἕπεται, ἀληθοῦς οὔσης τῆς ἀκολουθίας. ὅτι δὲ ἀληθὴς ἐστὶν ἡ ἀκολουθία, προβάλλει ὁ πατὴρ καὶ ὁ υἱός, προβάλλει ἄρα καὶ τὸ πνεῦμα, οἵ τε πρότερον εἰρημένοι βεβαιοῦσι διδάσκαλοι, καὶ Λατῖνοι ὁμολογοῦσι. λέγοντες, ὅτι προσῆν ἂν καὶ τῷ πνεύματι τὸ προβάλλειν, εἰ μὴ ἐκώλυε ἡ τοῦ πνεύματος ἰδιότης. ἀλλ' ἡμῖν οὐδὲν διαφέρει, εἰ καὶ μὴ διὰ τήνδε τὴν αἰτίαν, ἀλλὰ τήνδε εἰπὶν ἀδύνατα, ἕως ἂν ἀδύνατα ᾖ, πρὸς τὸ καὶ ἐκεῖνο δεῖξαι ἀδύνατον, ᾧ ταῦτα ἀκολουθεῖ. πάλιν ὑποκείνονται, ὅτι τὸ τοῦ Διονυσίου ῥητὸν καὶ Βασιλείου, οὕτως ἐξηγεῖσθαι δεῖ, ὡς καὶ τὸ εὐαγγέλιον ἐκεῖνο, τὸ πάντα ὅσα ἔχει ὁ πατὴρ ἐμά ἐστιν. ἀλλ' ἐκεῖνο μὲν ἐξηγούμενοι οἱ διδάσκαλοι, ἐπάγουσι, πλὴν τοῦ τεκεῖν. καὶ πλὴν τῆς πατρότητος. οὗτοι δ' ἁπλῶς λέγουσι, τὰ κοινὰ πατρὶ καὶ υἱῷ, καὶ πνεύματι εἶναι κοινὰ μηδὲν προστιθέντες. ὥστε ἠβούλοντο εἴ τι μὴ δυνάται κοινὸν εἶναι τῷ πατρὶ πρὸς τὸ πνεῦμα, μὴ δὲ πρὸς τὸν υἱὸν εἶναι τοῦτο κοινόν. ἔπειτα τίς ἂν γένοιτο βελτίων ἐξηγητὴς ὧν οὗτοι λέγουσιν, αὐτῶν τῶν εἰπόντων; οὗτοι δὲ εἰσὶν οἱ λέγοντες, μόνον πηγὴν τῆς ὑπερουσίου θεότητος εἶναι τὸν πατέρα. καὶ μετὰ τὸν υἱὸν μὲν καὶ σὺν αὐτῷ τὸ πνεῦμα γνωρίζεσθαι. ἐκ δὲ τοῦ πατρὸς ὑφεστάναι. πρὸς δὲ τούτοις, πῶς οὐχὶ καὶ ἡμῶν ἀνέχονται Λατῖνοι, τὸ ξενίζον τῆς Αὐγουστίνου φωνῆς, εἰς τὰς κοινὰς ὑποθέσεις ἑλκόντων τῆς πίστεως; καὶ ταῦθ' ὁδηγῷ χρωμένων Μαξίμῳ τῷ σοφῷ καὶ εὐγνώμονι, τῶν πρὸ αὐτοῦ διδασκάλων πάντων ἀκροατῇ, αὐτοὶ μετ' ἐξουσίας προστιθέναι, καὶ παρυπακούειν τοῖς τῶν διδασκάλων ἀξιώμασι θέλοντες; καὶ ταῦθ' οὕτως ἀπίθανα καὶ ἀμάρτυρα; Τρίτον. γ̄.

ὁ Θεὸς ἐστὶ μονὰς καὶ τριάς. καὶ ἡ αὐτὴ ἐστὶ μονὰς καὶ τριάς. τῷ μὲν, » Μαξιμ.
τῷ κατ' οὐσίαν λόγῳ. τῷ δέ, τῷ καθ' ὕπαρξιν τρόπῳ, ὁ ἱερὸς φησὶ »
Μάξιμος. τουτέστι μονὰς μὲν τῇ φύσει. τριὰς δὲ τοῖς προσώποις. καὶ
ὁ μέγας Γρηγόριος. Ἓν γὰρ φησὶ τὰ τρία. καὶ τὰ τρία ἕν, τὰ ἐν » Γρηγ. ὁ θεολ.

οἷς ἡ θεότης. οὐκοῦν τριὰς καὶ μονάς ἐστιν ὁ Θεός. δυὰς δὲ οὐδαμῶς, οὐδὲ εἰς δυάδα πιστευόμεν. εἴη δ' ἂν καὶ δυὰς ὁ Θεός, εἰ ὁ πατὴρ καὶ ὁ υἱός, ὡς ἀρχὴ μία προάγουσι τὸ πνεῦμα τὸ ἅγιον. ἔστω γὰρ ὁ πατὴρ καὶ ὁ υἱὸς μία καθάπαξ ἀρχή. ὅπερ ἀδύνατον δέδεικται ἐν τοῖς πρόσθεν. εἰ τοίνυν τὸ τῶν προσώπων πλῆθος ἐν τοῖς θείοις αἱ ἀναφοραὶ ποιοῦσι, διὰ τὸ τὴν ἀναφορὰν ἐν τοῖς θείοις πρὸς τὰ ἔνδον προσώπου εἶναι ἀεί, ἀναφέρεται δὲ τὸ πνεῦμα, οὐ πῆ μὲν πρὸς τὸν πατέρα κατὰ τὴν τῆς αἰτίας ἀντίθεσιν, πῆ δὲ πρὸς τὸν υἱόν, κατὰ τὸν διάφορον τρόπον τοῦ ἐπ' αἰτίας εἶναι, ἀλλὰ πρὸς τὸν πατέρα καὶ τὸν υἱὸν ὡς δὴ καθάπαξ ἀρχὴν μίαν, καὶ ἀναφορὰν μίαν πρὸς αὐτοὺς ἔχει, ἓν ὂν αὐτὸ δήπου, πρὸς ἓν τὴν μίαν ἀναφορὰν ἕξει. ὅπερ ἐστὶν ἡ τούτου ἀρχή. καὶ οὕτως ὁ Θεός, δύο ἔσται πρόσωπα. ἐπεὶ γὰρ πᾶσα ἀναφορὰ πρὸς τὰ ἔνδον ἐν τοῖς θείοις, προσώπου ἐστί, πραγματικὴ δέ ἐστιν ἀναφορὰ τοῦ πνεύματος πρὸς τὴν μίαν ἀρχὴν αὐτοῦ, καὶ ἡ μία ἀρχὴ αὐτοῦ, πρόσωπον ἓν ἔσται, ἵνα ᾖ πραγματικὴ ταύτης ἀναφορὰ πρὸς αὐτό. καὶ ὁμοία τῇ ἀναφορᾷ τοῦ πνεύματος πρὸς τὴν ἀρχὴν αὐτοῦ. καὶ οὕτως ἐπείπερ ἐν τοῖς παρὰ τὸ πνεῦμα, πατήρ ἐστι καὶ ὁ υἱός. ταῦτα δὲ ὡς δὴ μία ἀρχὴ τοῦ πνεύματος ἓν ἔσται πρόσωπον διὰ τὰ εἰρημένα, ὁ Θεὸς ἔσται δύο πρόσωπα. καὶ ἢ μόνον δύο ἔσται, καὶ ἡ τριὰς ἀνῄρηται, ἢ καὶ δυὰς ἔσται καὶ τριάς. ᾧ πλείω τὰ ἄτοπα ἕπεται. καὶ πρὸς τούτοις τὸ ἓν ἐκεῖνο, ὅπερ ἐστὶν ἡ μία ἀρχὴ τοῦ πνεύματος, προεπινοηθήσεται τοῦ προσώπου τοῦ πατρικοῦ, ὡς ἐν τῇ Τριάδι πρῶτόν ἐστιν, εἴπερ ἡ δυὰς τῆς Τριάδος προεπινοεῖται. οὐ γάρ ἐστιν εἰπεῖν, ὅτι ἡ αὐτή ἐστι καὶ δυὰς καὶ τριάς. τοῦτο γὰρ ἀτοπώτερον ἂν εἴη. ἀποκρίνονται δὲ πρὸς τοῦτο, ὅτι ὁ πατὴρ καὶ υἱὸς πέμπουσι τὸ πνεῦμα τὸ ἅγιον. ἀλλ' οὐκ ἔστι δυὰς ὁ Θεός. καὶ ὁ υἱὸς καὶ τὸ πνεῦμα αἰτιατά εἰσι τοῦ πατρός. ἀλλ' οὐκ ἔστιν οὐδὲ διὰ τοῦτο δυὰς ὁ Θεός. οὐκοῦν, οὐδὲ διὰ τὸ τὸν πατέρα καὶ τὸν υἱὸν προβάλλειν τὸ πνεῦμα τὸ ἅγιον, ἕψεται τὸν Θεὸν εἶναι δυάδα. ἀλλὰ καὶ πρὸς τοῦτο δεῖ λέγειν, ὅτι ὁ πατὴρ καὶ ὁ υἱὸς πέμπουσι τὸ πνεῦμα τὸ ἅγιον. ἀλλὰ καὶ ἑαυτὸ πέμπει τὸ πνεῦμα, ἐπειδὰν παρὰ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ πέμπηται. εἰ τὸ πέμπεσθαι σημαίνει τὸ δίδοσθαι. καὶ

ἑαυτοῦ

ἑαυτοῦ γὰρ δῶρον πρὸς τὴν κτίσιν, καὶ κοινὸν τῆς θεότητος δῶρον εἶναι, μετὰ τῶν ἄλλων διδασκάλων καὶ Αὐγουστῖνος φησίν. οὐκοῦν οὐχ ὅμοιος ὁ λόγος. οὐ δὲ τὰ αὐτὰ ἑκατέρωθεν συμβαίνειν δεῖ. ἐκεῖ μὲν γὰρ τὰ εἰρημένα συμβαίνει, ἀλλὰ τὸ προβάλλειν ἔνδον εἶναι τῆς θεότητος. καὶ ἀναφορὰν τινὰ καὶ ἀντίθεσιν ὑπ᾽ αὐτοῦ γίνεσθαι ἔνδον. τὴν δὲ πέμψιν τοῦ πνεύματος, κοινὸν τῆς Τριάδος ἔργον εἶναι πρὸς τὴν εὐεργεσίαν τῆς κτίσεως. ὁ δὲ υἱὸς καὶ τὸ πνεῦμα, οὐχ᾽ ἓν αἰτιατόν εἰσιν, ἀλλὰ δύο αἰτιατά. καὶ διὰ τοῦτο ἐν τῇ κοινωνίᾳ τοῦ ἀπ᾽ αἰτίας εἶναι, μένει τριὰς ἡ τριάς. ἐκεῖ δὲ εἰ μία ἀρχὴ εἴη, καὶ εἷς προβολεύς, καὶ ἓν ἄιτιον, δυὰς ἔσται ἡ τριάς, διὰ τὰ προειρημένα. ἢ δύο ἄιτια ἔσται, ὥσπερ καὶ αἰτιατὰ δύο, εἰ μὴ μέλλοι δυὰς εἶναι. Δ. Τέταρτον οἱ διδάσκαλοι πάντες εἰς ἓν ἄιτιον ἀναφέρουσι τὸν υἱὸν καὶ τὸ πνεῦμα. καὶ μόνην πηγὴν καὶ ἀρχὴν τῆς ὅλης θεότητος, τὸν πατέρα καλοῦσιν. εἰ δὲ ὁ πατὴρ καὶ ὁ υἱὸς προβάλλουσι τὸ πνεῦμα, καὶ δοθέντος μίαν ἀρχὴν εἶναι αὐτοὺς τοῦ πνεύματος, οὐδὲν ἧττον συνάγεται, δύο ἀρχὰς εἶναι ἐν τῇ Τριάδι. ἔσται μὲν γάρ τις ἀρχὴ γεννῶσα καὶ προβάλλουσα. ἔσται δέ τις ἑτέρα ἀρχὴ προβάλλουσα μόνον. οὐ γὰρ ἡ αὐτὴ ἔσται. διότι ἡ μὲν δύο ἐνεργείας, καὶ ἓν πρόσωπον περιέχει. ἡ δὲ μίαν ἐνέργειαν, καὶ δύο πρόσωπα περιέξει. ἀλλ᾽ ἀποκρίνονται, ὅτι μία ἀρχὴ ἐστὶ καὶ οὕτως. ἡ γὰρ ἀρχή, ἥτις ἐστὶν ὁ πατὴρ καὶ ὁ υἱός, εἰς τὴν ἀρχὴν ἀναφέρεται, ἥτις ἐστὶν ὁ πατὴρ μόνος. ἐπειδὴ ὁ μὲν υἱὸς κοινωνικῶς ἐστὶν ἀρχὴ τοῦ πνεύματος, καὶ μεταληπτῶς. ὁ δὲ πατὴρ ἀναιτίως τε καὶ αὐτοφυῶς. ἔτι ὁ μὲν πατὴρ προάγει τὸν υἱὸν τῇ γονιμότητι τῆς νοήσεως. καὶ οὕτως ἐστὶν ἀρχὴ τοῦ υἱοῦ μόνος. εἶτα νοεῖται προάγων τὸ πνεῦμα τῇ γονιμότητι τῆς θελήσεως. καὶ ἐπειδὴ νοεῖται ὁ υἱὸς προηγμένος μετὰ τοῦ λαβεῖν τὴν τελειότητα τοῦ πατρός, ἣν ἔχει ἐν τῷ γεννᾷν αὐτόν, τῇ αὐτῇ γονιμότητι τῆς θελήσεως, καὶ ὁ πατὴρ μετὰ τοῦ υἱοῦ προάγει τὸ πνεῦμα. ἀλλὰ ταῦτα νέας ἐστὶ Θεολογίας εὑρήματα. εἰ δὲ καὶ ἀρχαιότερόν ποθεν ἥκουσιν, ἀλλὰ τῷ κοινῷ τῆς Ἐκκλησίας οὐκ ἐνεπολιτεύθησαν. ὅθεν οὐκ ἀνάγκη τις ἐστὶν ἡμῖν αὐτοῖς παρακολουθεῖν, ὡς πολλάκις εἴρηται πρότερον. Ἡμεῖς δὲ τῇ κοινῇ καὶ ἀπαραβλήτῳ

τῶν διδασκάλων πάντων ὑφηγήσει πειθόμενοι, τῇ γονιμότητι τῆς φύσεως φρονοῦμεν τὸν υἱὸν καὶ τὸ πνεῦμα παρῆχθαι καὶ προάγεσθαι ἐκ πατρὸς. πλὴν κατὰ διάφορον τρόπον. τῆς διαφορᾶς ἀρρήτου τε καὶ ἀνενοήτου φυλαττομένης. ἐκ δὲ τῆς θείας θελήσεως ἴσμεν εἶναι τὰ κτίσματα. καὶ ἐπὶ τὴν γέννησιν καὶ τὴν προβολὴν ἐν πατρὶ, καὶ ἅμα εἶναι, καὶ ἅμα ἐνεργεῖν, ἀκούομεν τῶν διδασκάλων λεγόντων. καὶ τὰ σημεῖα τῆς ἡμετέρας νοήσεως, τίς ἡμῖν ἐκεῖ, τὸ μὲν πρότερον, τὸ δὲ μετ' ἐκεῖνο νοεῖται. πρὸς μὲν τὸ γνῶσιν τινὰ περὶ τῶν θείων ἔχειν ἡμᾶς, οἰόμεθα καὶ πάνυ λυσιτελεῖν. ἄλλως γὰρ, οὐκ ἂν σωθείη τι περὶ τῶν ἁπλουστάτων ἐκείνων ὁ ἡμέτερος νοῦς. ὅς ἐστιν αὐτῷ τοῦ εἰδέναι τρόπος. τῶν θείων πραγμάτων οὐδαμῶς ταῦτα νομίζομεν ἅπτεσθαι. ἐν ἑνὶ γὰρ σημείῳ πάντα εἰσὶν ἐκεῖ. καὶ ἅμα καὶ ταῦτα πάντα, οὐκ ἐξ ἡμῶν, ἀλλ' ἐκ τῶν διδασκάλων ἔχομεν εἰληφότες. Τὸ δὲ τῶν Λατίνων ὑπόδειγμα, εἰ καὶ μὴ δοκεῖ λέγεσθαι τῷ κατὰ χρόνον προτέρῳ, ἀλλὰ λέγεται. λανθάνει δέ. ἄλλως γὰρ οὐκ ἂν δύναιτο συμπεραίνειν. Ἀλλὰ τὰς μὲν τοιαύτας ἐλέγχειν θέσεις, ἄλλης ἂν εἴη σχολῆς. νῦν δὲ ἀρκεῖ τοσοῦτον εἰπεῖν, ὅτι τὰ μὲν περὶ τῶν τοιούτων γονιμοτήτων, οὔτ' ἀναγκαῖα, οὔτ' ἔνδοξα ἡμῖν ἀποκρίνονται. οὐ γὰρ ἡμῖν γ' αἱ τοιαῦται γνώριμοι θέσεις, οὐ δὲ πισταί. ἐπεὶ δὲ τὴν ἀρχὴν, ἥτις ἐστὶν ὁ πατὴρ καὶ ὁ υἱὸς, πρὸς μίαν ἀρχὴν ἀναφέρουσιν, ἥτις ἐστὶν ὁ πατὴρ μόνος, εἰ μὲν τῇ ὁδῷ τῆς ἀναλύσεως, πρὸς τὴν ὑψηλοτέραν ἀνιόντες καὶ πρώτην, καὶ οὕτως ἡμῖν μία μὲν ἀρχὴ ἔσται ἡ πρώτη. ἁπλῶς δὲ οὐ μία. ἀλλ' ἥ τε ἀναφερομένη, καὶ πρὸς ἣν ἀναφέρεται αὕτη. εἰ δὲ ὡς οὐκ ἀρκεῖν ἡγούμενοι τὸν πατέρα καὶ τὸν υἱὸν εἰπεῖν ἀρχὴν τοῦ πνεύματος, ἂν μὴ καὶ τὸν πατέρα προσδιορίζωνται μόνον. μίαν ἀρχὴν εἶναι τὴν πρώτην, τί λοιπὸν οὐ λέγουσι τὸν πατέρα, μόνον ἀρχὴν εἶναι τοῦ πνεύματος; ὃ καὶ κατ' αὐτοὺς ψεῦδός ἐστιν, ἂν μὴ προσεπινοηθῇ, ὅτι καὶ τοῦτο τοῦ τὸν πατέρα καὶ τὸν υἱὸν ἀρχὴν εἶναι μόνος ἀρχή ἐστιν; ἢ τί ἡμῖν μέμφονται, τοῦ υἱοῦ μὲν εἶναι τὸ πνεῦμα λέγουσι καὶ ἐν τῷ υἱῷ, καὶ ἐκ τοῦ πατρὸς δι' αὐτοῦ προϊέναι, καὶ ἐκ τῆς οὐσίας τοῦ πατρὸς καὶ τοῦ υἱοῦ κατὰ τὰς τῶν διδασκάλων φωνὰς, ἀρχὴν δὲ αὐτοῦ τὸν πατέρα μόνον ὁμολογοῦσι, καθάπερ

θάπερ

πατὴρ καὶ τοῦ υἱοῦ; εἰ δὲ μὴ μέμφονται, διατί μὴ τὰ ἀληθῆ λέγοντες, μεθ' ἡμῶν ἑνοῦνται; εἰ δὲ τὴν ἀρχὴν ἥ τις ἐστὶν ὁ πατὴρ καὶ ὁ υἱὸς τοῦ πνεύματος, τὴν αὐτὴν εἶναι καθάπαξ λέγουσι τῇ ἀρχῇ, ἥ τις τοῦ υἱοῦ καὶ τοῦ πνεύματος ὁ πατὴρ μόνος ἐστίν. ἀλλ' ἐντεῦθεν πρὸς τοῖς ἄλλοις ἀτόποις, καὶ ἑαυτοῦ ἀρχὴ ἔσται ὁ υἱός. ἔσται γὰρ ἐνεργῶν ἐν τῇ γεννώσῃ καὶ προβαλλούσῃ ἀρχῇ. ἐπεὶ ἡ αὐτή ἐστιν αὕτη τῇ προβαλλούσῃ, ἐν ᾗ ἐστιν αὐτὸς ἐνεργῶν, τουτέστι προβάλλων. καὶ οὕτω πάλιν ἡμῖν ἐν τῇ θεότητι δυὰς ἀναφύεται, καὶ τὰ σαβέλεια ἀναπλάσματα. ἀλλὰ τί φασιν; ὁ πατὴρ μία ἀρχὴ τῆς κτίσεως; ναί. εἰ μὴ νοοῖτο ἐν τῷ μία, τὸ μόνη. ὁ πατὴρ ὁ υἱὸς καὶ τὸ πνεῦμα, μία ἀρχὴ τῆς κτίσεως; ναί. ὁ πατὴρ ἄρα καὶ ὁ υἱὸς καὶ τὸ πνεῦμα, δύο ἀρχαὶ τῆς κτίσεως, ἢ δυὰς καθ' ἡμᾶς. οὐδαμῶς. διότι ἡ ἀρχὴ τῆς κτίσεως, οὐσιῶδές τι ἐστὶ καὶ κοινόν, καὶ πάντα διαλαμβάνον τὰ θεῖα πρόσωπα. καὶ μία ἐστὶν ἡ τοῦ δημιουργεῖν ἐνέργεια, ἐκ πατρὸς δι' υἱοῦ ἐν πνεύματι πληρουμένη κατὰ τοὺς ἱεροὺς διδασκάλους. πάλιν ἐρωτῶσιν ὁμοίως. ὁ πατὴρ μία ἀρχὴ τοῦ υἱοῦ; ναί. εἰ μὴ νοοῖτο μόνη. ὁ πατὴρ μία ἀρχὴ τοῦ πνεύματος; ναί. εἰ μὴ νοοῖτο μόνη. ὁ πατὴρ ἄρα δύο ἀρχαὶ εἰσὶν ἐν τῇ θεότητι. οὐδαμῶς. διότι ἡ ἀρχή, ἑνὸς προσώπου κατηγορεῖται τοῦ πατρικοῦ. καὶ οὐδέν ἐστιν ἀδύνατον, δύο ἐνεργείας διαφόρους εἶναι ἐν προσώπῳ ἑνί. καὶ διὰ τοῦτο μίαν αὐτὸ ἀρχὴν εἶναι τῶν κατ' ἐκείνας τὰς ἐνεργείας προαγομένων. ἀλλ' ἐνταῦθα καὶ πάνυ ἕπεται, ὁ πατὴρ μία ἀρχὴ τοῦ υἱοῦ καὶ τοῦ πνεύματος. καὶ μόνη κατὰ τοὺς διδασκάλους ὡς ἐδείχθησαν λέγοντες, ὁ πατὴρ καὶ ὁ υἱὸς μία ἀρχὴ τοῦ πνεύματος. οὐκοῦν ἐν τῇ θεότητι δύο ἀρχαί. ἢ συναλοιφὴ σαβέλειος. οὔτε γὰρ οὐσιωδῶς κατηγορεῖται ἡ ἀρχὴ τῆς θεότητος (λέγω δὲ τὸ οὐσιωδῶς ἐνταῦθα, πρὸς ἀντιδιαστολὴν τοῦ προσωπικοῦ) οὔτε τὰ αὐτὰ πρόσωπα ὡσαύτως ἑκατέρα τῶν ἀρχῶν περιέχει. ἀλλ' ἡ μέν ἐστιν ἀρχὴ δύο προσώπων ἐν ἑνί, οὐ τῷ αὐτῷ τρόπῳ προαγομένων. ἡ δέ ἐστιν ἑνὸς προσώπου ἀρχή, ἐν δυσὶ τῷ αὐτῷ τρόπῳ προάγουσιν. οὐκοῦν αἱ ἐνστάσεις ἐκεῖναι, οὐδὲν εἰσὶ πρὸς τὸν λόγον. καὶ πανταχόθεν σκοποῦσιν, ἐν τῇ θεότητι δύο ἀρχαὶ καταφαίνονται, τῆς θέσεως τῶν Λατίνων κρατούσης. μία μέν,

ἥτις

ἥτις ἐστὶν ὁ πατὴρ μόνος. ἑτέρα δὲ, ἥτις ἐστὶν ὁ πατὴρ μετὰ τοῦ υἱοῦ. οὐδὲν κοινὸν ἔχουσαι αἱ ἀρχαὶ, πλὴν τοῦ θεότητος εἶναι καὶ ἐν θεότητι. τῆς αὐτῆς τε καὶ ἐν τῇ αὐτῇ. ἀλλὰ τοῖς τε ὅροις καὶ ταῖς ἐνεργείαις, οὔτε ταῖς αὐταῖς, οὔτε ἐκ τῆς αὐτῆς, καὶ πρὸς τοὺς αὐτοὺς λεγόμεναι.

ε. Πέμπτον, καὶ ἐξ ὧν οἱ Λατῖνοι καλῶς ποιοῦντες προσδιορίζονται, δῆλοι εἰσὶ μηδ' αὐτοὶ πάνυ τὸν υἱὸν νομίζοντες τοῦ πνεύματος αἴτιον. ὃ καὶ πρότερον εἴρηται, καὶ νῦν ἐξεταστέον σαφέστερον. φασὶ γάρ. ὅτι γεννῶν ὁ πατὴρ τὸν υἱὸν, δίδωσιν αὐτῷ τὸ δι' αὐτοῦ τὸ πνεῦμα προβάλλεσθαι. καὶ ἡμεῖς τοῦτο συγχωροῦμεν. ἐπειδὴ γὰρ διὰ τοῦ λόγου τὸ πνεῦμα προβάλλεται κατὰ τοὺς ἱεροὺς διδασκάλους ἐκ τοῦ πατρὸς. πᾶν δ' ὃ τῷ υἱῷ πρόσεστιν, ὁ πατὴρ αὐτῷ τοῦτο δίδωσιν ἐν τῷ γεννᾶν αὐτόν. δῆλον ὅτι, καὶ τὸ δι' αὐτοῦ τὸ πνεῦμα προβάλλεσθαι, ὁ πατὴρ αὐτῷ δίδωσι. καὶ τοῦτ' ἐστὶν, ὃ φησὶν ὁ

Κύριλ. ,, ἱερὸς Κύριλλος ἐν τοῖς θησαυροῖς. Ὅτι γεγέννηται ὁ υἱὸς, τὴν τοῦ πατρὸς
,, ἰδιότητα πᾶσαν ἔχων ἐν ἑαυτῷ. καὶ εἰ δίκην ἐστὶ τῆς ἀνωτάτω θεότητος
,, καρπὸς, πῶς ἂν νοοῖτο γυμνὸς τῶν τῆς θεότητος ἀγαθῶν; ἴδιον δὲ τῆς
,, θεότητος ὁ ἁγιασμός. οὗ τὸ πνεῦμα δεικτικόν. ἅγιον γὰρ κατὰ φύσιν.
,, καὶ τῆς ὅλης κτίσεως ἁγιαστικόν.

Καὶ ἡμεῖς Κυρίλλῳ πειθόμενοι, τὸ πνεῦμα καὶ ἐν τῷ υἱῷ εἶναι, καὶ διὰ τοῦ υἱοῦ προϊέναι ἐκ τοῦ πατρὸς καὶ προβάλλεσθαι, διομολογοῦμεν. εἰδότες τὸν υἱὸν, πᾶσαν τὴν φυσικὴν ἰδιότητα τοῦ πατρὸς ἔχοντα. καὶ οὐδενὸς ἄμοιρον τῶν τῆς θεότητος ἀγαθῶν. ἐρωτῶμεν δὲ Λατίνους. πότερον οὕτω λαμβάνει τὸ δι' αὐτοῦ τὸ πνεῦμα προβάλλεσθαι ὁ υἱὸς ὥσπερ τὸ εἶναι, ἢ ἕτερόν τινα τρόπον; ἕτερον μὲν δὴ τρόπον οὐκ ἂν εἴποιεν. ὅπουγε οὐ μόνον τῷ εἶναι λαμβάνει πάντα ἐκ τοῦ πατρὸς, ἀλλὰ καὶ ἃ λαμβάνει, τὸ εἶναι αὐτοῦ εἰσὶ καθ' αὐτούς. οὐκοῦν τὸν αὐτὸν τρόπον, εἰ καὶ μὴ ταὐτόν ἐστι καθάπαξ τό, τε εἶναι τὸν υἱὸν, τό, τε δι' αὐτοῦ τὸ πνεῦμα προβάλλεσθαι, ἀλλ' ἔχει διαφορὰν ὁποιανοῦν. ἐατέον δὲ νῦν ὅπως διαφέρει σκοπεῖν. εἰ τοίνυν τὸν αὐτὸν τρόπον ταῦτα λαμβάνει, διά τι τοῦ μὲν εἶναι αὐτοῦ οὐκ ἔστιν αἴτιος ὁ υἱὸς, τοῦ δὲ δι' αὐτοῦ προβάλλεσθαι τὸ πνεῦμα, αἴτιος ἐστὶ καὶ ἀρχή; ὡς γὰρ λαμβάνει πάντα μετὰ τοῦ εἶναι γενόμενος, ἀλλ' οὐκ ἔστιν

αὐτὸς

αὐτὸς ἑαυτῷ τούτων αἴτιος, οὕτω λαμβάνειν καὶ τὸ δι' αὐτοῦ προβάλλεσθαι τὸ πνεῦμα. ἀλλ' οὐκ ἔστιν ἑαυτῷ τούτου αἴτιος. οὐκοῦν οὐδὲ τῷ πνεύματι αἴτιός ἐστι, τοῦ δι' υἱοῦ τοῦτο προβάλλεσθαι. ἐκ πατρὸς γὰρ δι' υἱοῦ τοῦτο προβάλλεται. καὶ μία ἐστὶν αὐτοῦ πρόοδος, ἡ ἐκ πατρὸς δι' υἱοῦ. εἰ δὲ αἴτιος ἦν τοῦ δι' αὐτοῦ τοῦτο προβάλλεσθαι ἐκ πατρός, οὐκ ἂν προὐβάλλετο ἐκ πατρὸς δι' υἱοῦ. ἀλλὰ μᾶλλον ἐκ τοῦ υἱοῦ διὰ τοῦ πατρός. τοῦτο δ' ἀδύνατον καὶ κατ' αὐτούς. οὐκ ἄρα αἴτιός ἐστι τῷ πνεύματι, τοῦ δι' αὐτοῦ τοῦτο προβάλλεσθαι. οὐκοῦν οὐδὲ τοῦ προβάλλεσθαι ὅλως. ὥστε οὐδὲ τοῦ εἶναι. λαμβάνει γὰρ τὸ εἶναι προβαλλόμενον, ὥσπερ ὁ υἱὸς λαμβάνει τοῦτο γεννώμενος. Ἀλλὰ τί φασί; λαμβάνει καὶ τὸ δι' αὐτοῦ γίνεσθαι τὰ ὄντα ἐκ πατρὸς ὁ υἱός, ἀλλ' οὐδὲν ἧττον αἴτιός ἐστι, τοῦ δι' αὐτοῦ τὰ ὄντα γίνεσθαι ἐκ τοῦ πατρός. καὶ αἴτιος τοῦ εἶναι τοῖς οὖσιν οὐδὲν ἧττον, ἢ ὁ πατήρ. ἐπὶ τούτου ἀληθής ἐστιν ὁ λόγος. διότι τὸ δημιουργεῖν (ὡς πολλάκις εἴρηται) οὐσιῶδές ἐστι καὶ κοινὸν, τοῖς τρισὶ θείοις προσώποις· καὶ εἷς ἐστι δημιουργὸς, καὶ μία ἀρχὴ τῆς κτίσεως, ὁ πατὴρ καὶ ὁ υἱὸς καὶ τὸ πνεῦμα, εἰ καὶ ἡ κατὰ τὰς ὑποστάσεις διαφορὰ προσοῦσα τῷ λόγῳ, τὸ κοινὸν τοῦτο καὶ ἕν, ἀποδίδωσι ταῖς τρισὶν ὑποστάσεσιν, ἀκολούθως τῇ τάξει, ἣν ἔχουσιν ἐν ἑαυταῖς, καὶ περὶ τοῦ ἀϊδίως δημιουργεῖν. τὸ δὲ προβάλλειν τὸ πνεῦμα, οὐχ ὅλης ἐστὶ τῆς θεότητος, ἀλλ' ἑνὸς προσώπου καθ' ἡμᾶς. ἢ δυοῖν ὡς Λατῖνοι φασί. καὶ διὰ τοῦτο οἱ διδάσκαλοι, δι' υἱοῦ μὲν λέγουσι γεγενῆσθαι τὰ ὄντα καὶ ἐκ τοῦ υἱοῦ. καὶ δι' υἱοῦ προχεῖσθαι τὸ πνεῦμα καὶ ἐκ τοῦ υἱοῦ. ἐκ δὲ τοῦ υἱοῦ ἐκπορεύεσθαι, τουτέστιν ὑφίστασθαι, οὐδεὶς λέγει. ἀλλ' ἢ μόνον δι' υἱοῦ ἐκπορεύεσθαι ἐκ πατρός. περὶ δὲ τῶν εὐρωπαίων διδασκάλων, μετ' ὀλίγον πραγματευθήσεται. εἰ δὲ οὕτως ἦν διὰ τοῦ υἱοῦ τὸ πνεῦμα, ὡς τὰ πάντα δι' υἱοῦ ἐκ πατρός, ἔλεγον ἂν οἱ διδάσκαλοι καὶ τὸν υἱὸν ἀρχὴν, καὶ αἴτιον τοῦ πνεύματος εἶναι. ὥσπερ καὶ τῶν κτισμάτων ἀρχὴν καὶ αἰτίαν αὐτὸν ἀνυμνοῦσι. καὶ ἔλεγον ἂν ἐκ τοῦ υἱοῦ τὴν ὕπαρξιν ἔχειν τὸ πνεῦμα. ὥσπερ καὶ παρὰ τοῦ υἱοῦ δημιουργῆσθαι τὴν κτίσιν λέγουσιν. ἐκεῖνοι δὲ καὶ ἀποφάσκουσι ταῦτα τοῦ υἱοῦ. ἔπειτα

τὸ μὲν πνεῦμα διήκειν ἐν τῷ υἱῷ παρὰ τοῦ πατρὸς λέγουσι καὶ μένειν ἐν τῷ υἱῷ. τὴν δὲ κλίσιν οὔτε μένειν ἐν τῷ υἱῷ φασὶν, οὔτε διήκειν ἐν τῷ υἱῷ. καὶ ἐν μὲν τῷ δι᾽ υἱοῦ τὰ ὄντα πεποιῆσθαι ἐκ τοῦ πατρὸς, τὴν τῶν προσώπων τάξιν μόνην ἐμφαίνεσθαι λέγουσιν. ἐν δὲ τῷ τὸ πνεῦμα ἐκ πατρὸς δι᾽ υἱοῦ προϊέναι, τὴν τῆς οὐσίας συνάφειαν καὶ ἑνότητα πρὸς τῇ τάξει. χαλεπὸν οὖν ἐστὶν ἐναργοῦς φαινομένης τῆς διαφορᾶς τῶν λόγων ἐκ τῆς χρείας αὐτῶν καὶ τῆς ὕλης, ἡμᾶς ἐκ τῶν οὕτως ἀνομοίων τὰς ἀποδείξεις φέρειν πειρᾶσθαι. καὶ πρὸς τούτοις, λέγομεν ἡμεῖς τὸ πνεῦμα ἀμέσως ἐκ τοῦ πατρός. τοῦτο καὶ Λατῖνοι συγχωροῦσι. λέγομεν εἶναι ἐκ τοῦ πατρὸς διὰ τοῦ υἱοῦ. καὶ τοῦτο συγχωροῦσι. λέγουσι δὲ αὐτοὶ καὶ ἀμέσως εἶναι τὸ πνεῦμα ἐκ τοῦ υἱοῦ. τοῦτο ἡμεῖς ἀρνούμεθα. καὶ πᾶσα ἡμῖν διαφορὰ, περὶ τοῦτ᾽ ἐστὶν ἐν τῇ περὶ τοῦ πνεύματος ζητήσει. οἱ μὲν γὰρ οὕτως οἴονται εἶναι διὰ τοῦ υἱοῦ, ὡς τοῦ πατρὸς καὶ τοῦ υἱοῦ προσεχῶς αὐτὸ προαγόντων. τοῦ μέντοιγε υἱοῦ τὸ προάγειν ἐκ τοῦ πατρὸς ἔχοντος. ἡμεῖς δὲ προσεχῶς ἐκ τοῦ πατρὸς μόνον τοῦτο προάγεσθαι φρονοῦμεν. καὶ ὅμως ἐκ τοῦ πατρὸς διὰ τοῦ υἱοῦ προϊέναι φρονοῦμεν τοῦτο καὶ λέγομεν, τὴν ἑνότητα τῆς θείας οὐσίας ἐντεῦθεν, καὶ τὴν τῶν προσώπων τάξιν κατασημαίνοντες, ἣν καὶ διὰ τὴν τοῦ Κυρίου παράδοσιν, καὶ διὰ τὴν τῶν ὀνομάτων ἀκολουθίαν, πᾶσα ἀνάγκη διατηρεῖν, ἐπειδὰν κεκριμένως θεολογῶμεν. οὐκοῦν τῆς μὲν ἡμετέρας ἐννοίας, αὐτοὶ μάρτυρες οἱ διδάσκαλοι. οἱ γὰρ διὰ τοῦ υἱοῦ λέγοντες τοῦτο εἶναι ἢ προϊέναι ἐκ τοῦ Θεοῦ, αὐτοὶ καὶ τὸν ἑαυτὸν ἐμφαίνουσι νοῦν. ποῦ μὲν δι᾽ ὧν εὐθὺς προστιθέασι, ποῦ δὲ δι᾽ ὧν ἐν ἄλλοις μέρεσι θεολογοῦσι σαφέστερον. Λατῖνοι δὲ τῆς αὐτῶν διανοίας οὐδένα ἡμῖν παρέχονται μάρτυρα. οὐδεὶς γάρ φησιν ἐκ τοῦ υἱοῦ τὴν ὕπαρξιν ἔχειν τὸ πνεῦμα. οὐδεὶς ἐκ τοῦ υἱοῦ ὑφεστάναι. οὐδεὶς αἴτιον καὶ ἀρχὴν τὸν υἱὸν εἶναι τοῦ πνεύματος. οὐδεὶς μίαν ἀρχὴν τοῦ πνεύματος τὸν πατέρα καὶ τὸν υἱόν. οὐδεὶς μίαν αὐτοῖς προβλητικὴν ἐνυπάρχειν δύναμιν. οὐκοῦν ἔν γε τοῖς ἡμετέροις διδασκάλοις. οἱ γένοιτ᾽ ἂν ἐξηγηταὶ τοῦ δι᾽ υἱοῦ. οὗτοι γὰρ καὶ τὸ δι᾽ υἱοῦ λέγειν εἰώθεσαν. οὕτως ἡμεῖς μετὰ πολλῆς τῆς

παρ-

περιουσίας νικῶμεν. ἃ μὲν γὰρ ἡμεῖς λέγομεν, αὐτοὶ συγχωροῦσιν. ἃ δὲ μόνοι λέγουσιν αὐτοὶ, δεῖξαι οὐκ ἔχουσιν, ἐξ ὧν αὐτὰ δείκνυσθαι δεῖ.

ΚΕΦΑΛΑΙΟΝ μϛ.

Ἔκθεσις τῆς ἡμετέρας καὶ πάντων τῶν διδασκάλων δόξης σαφὴς, μετ' ἐπαναλήψεως τῶν προειρημένων. ἥτις ἐστὶν ὅτι τὸ πνεῦμα ἐκ πατρὸς ἐκπορεύεται.

Ἐκ τούτων τοίνυν ἁπάντων φαίνεται σαθρὸν εἶναι τὸν τῆς εἰρήνης θεμέλιον, ὃν ἁπλῶς οὕτω καὶ παχέως πολλάκις ἐπραγματεύσαντο, τὸ μὲν διὰ υἱοῦ, εἰς τὸ ἐκ τοῦ υἱοῦ μετειληφότες. ἄμφω δὲ ταῦτα εἰς τὸ τὸν υἱὸν ἀρχὴν καὶ αἴτιον εἶναι τοῦ πνεύματος ἐκλαβόμενοι. δέδεικται γὰρ καὶ λόγοις ἀδύνατον, τὸν υἱὸν ἀρχὴν ἢ αἴτιον εἶναι τοῦ πνεύματος. καὶ πολλοῖς ἄλλοις λόγοις τοῦτο δεικνύουσιν οἱ πρὸ ἡμῶν περὶ τούτου συγγεγραφότες. οὓς ἡμεῖς ἐν τοῖς ἐκείνων βιβλίοις, δεῖν μᾶλλον ἐκείναμεν ζητεῖσθαι καὶ εὑρίσκεσθαι, ἢ ἐν τῷ παρόντι συγγράμματι καταφρόνυσθαι. καὶ ῥήσεσι διδασκάλων ἀπεδείχθη πολλαῖς, μόνον αἴτιον εἶναι τὸν πατέρα. καὶ τὸν υἱὸν μὴ εἶναι αἴτιον ἔνδον ἐν τῇ Τριάδι. καὶ ὅσα ἐν τῇ τοιαύτῃ ἐννοίᾳ συνάδει. καὶ τὸ διὰ υἱοῦ εἶναι τὸ πνεῦμα, οὐ τὴν αἰτίαν, ἀλλ' ἄλλο τι δηλοῦν οἱ τῶν Θεολόγων λόγοι παρέστησαν, καὶ τὰ τῶν διδασκάλων τῶν ἡμετέρων ῥητά. ἐξ ὧν οἴονται Λατῖνοι τὴν δόξαν τὴν ἑαυτῶν βεβαιοῦν, πρὸς τὴν κοινὴν τῆς Ἐκκλησίας ὁμολογίαν καὶ δόξαν, καὶ τὴν ἐπεξειργασμένην αὐτῶν τῶν διδασκάλων Θεολογίαν, ἐπεστράφθη δικαίως τε καὶ καλῶς. αἱ δὲ τῶν Λατίνων ἐξηγήσεις, βίαιοί τινες καὶ σοφιστικαὶ, καὶ μηδὲν ἀνάγκης ἐδείχθησαν ἔχουσαι. καὶ τύπων δεδειγμένων καλῶς, ἅτε περὶ τῶν οἰκουμενικῶν συνόδων εἴρηται. καὶ τῆς ἐκεῖθεν προσγινομένης βοηθείας ἡμῖν. καὶ ἃ πε-

ποιήμεθα τεκμήρια, τὴν τῶν ἡμετέρων δόξαν, ἀρχαίαν τε εἶναι καὶ ἀληθῆ, τὸ κῦρος ἔχει δικαίως. ἐξ ὧν δείκνυται καὶ ἡ πρὸς Λατίνους γεγενημένη πρότειτα συνθήκη, ἀνατροπὴ τῶν ἡμετέρων οὖσα δογμάτων. καὶ καταφρόνησις τῶν ἐξητασμένων πατρίων δοξῶν. τῶν δὲ ὑπερορίων δογμάτων ἀνάληψις ἀνεξέταστος. καὶ τῶν πολλάκις ἄλλοτε γεγενημένων συνθηκῶν ἐνίοις τῶν ἡμετέρων πρὸς Λατίνους, αἳ πρὸς βίαν στερχθεῖσαι μέχρις ὀλίγου, πάλιν ἀνετράπησαν, τὸ κράτος ἀπειληφείας τῆς παρ' ἡμῖν Ἐκκλησίας, οὐδὲν οὐδαμῇ διαφέρουσα. Ἀναλαβόντες τοίνυν τὸν περὶ τῆς ἡμετέρας πίστεως λόγον, ὡς ἔν τινι τῶν προειρημένων πάντων καὶ ἀποδεδειγμένων ἐπιτομῇ, τοῖς τε γνησίοις τῆς καθ' ἡμᾶς Ἐκκλησίας, καὶ πᾶσι τοῖς ἀπαιτοῦσι λόγον περὶ τῆς ἐν ἡμῖν πίστεως, ἀποδίδομεν ὧδε συντόμως.

Ἔκθεσις τῆς ἡμετέρας πίστεως.

Ἡμεῖς τοῖς ἱεροῖς ἡμῶν διδασκάλοις ἑπόμενοι, πιστεύομεν εἰς ἕνα Θεόν, πατέρα, υἱόν, καὶ ἅγιον πνεῦμα. ἐνάκρως τε μιᾷ καὶ ἁπλουστάτῃ καὶ ἀπείρῳ τῇ φύσει Τριάδα ὑποστάσεων, εἴπουν προσώπων τρισὶν ἰδιώμασι χαρακτηριζομένων. τῷ τῆς ἀγεννησίας. τῷ τῆς γεννήσεως. τῷ τῆς ἐκπορεύσεως. ὁ μὲν γὰρ πατὴρ, ἀγέννητός ἐστι καὶ ἀναίτιος, γεννήτωρ δὲ υἱοῦ, καὶ προβολεὺς πνεύματος. ὁ δὲ υἱὸς γεννητὸς, ἢ γεννηθείς. καὶ τὸ πνεῦμα ἐκπορευόμενον. ἔνθεν πιστεύομεν τὸν πατέρα, πηγὴν καὶ αἴτιον καὶ ἀρχὴν τοῦ υἱοῦ καὶ τοῦ πνεύματος. καὶ πηγαίαν θεότητα τοῦτον ἀποκαλοῦμεν. καὶ θεογόνον θεότητα. καὶ ῥίζαν, διὰ τὸ ἀρχικόν. καὶ ἥλιον ὡς ἀΐδιον φῶς, καὶ τοῖς τοιούτοις αὐτὸν ἀνυμνοῦμεν ὀνόμασιν, ὡς πρώτην καὶ ἀρχικὴν ὑπόστασιν, καὶ μόνην ἄναρχον, τουτέστιν ἀναίτιον, καὶ αὐτοφυᾶ, καὶ αὐτογενῆ, μᾶλλον δὲ ἀγέννητον, οὐ κατὰ τὴν οὐσίαν. κατὰ γὰρ ταύτην, ἓν ἄναρχον καὶ ἀναίτιον, καὶ πρῶτον, καὶ ἀγέννητον, ὅλη ἐστὶν ἡ μακαρία Τριάς. ἀλλὰ κατὰ τὴν ἰδίαν ὑπόστασιν ἐν τῇ πρὸς τὰς λοιπὰς παραθέσει. διὸ καὶ μόνην πηγὴν θεότητος, καὶ μόνον αἴτιον, τὸν πατέρα καλοῦμεν. καὶ ἀξίωμα αὐτοῦ τὴν ἀρχὴν καὶ τὸ αἴτιον τῆς ἐν υἱῷ καὶ πνεύματι θεωρουμένης θεότητος ἐπιγινώσκομεν, ὡς ἰδιότητα ἀκοινώνητον. τὸν δὲ υἱὸν καὶ τὸ πνεῦμα, ὥσπερ τινὰς βλαστοὺς ἢ καρποὺς, ἢ ἄνθη τῆς ῥίζης ἐκείνης, ἢ ὥσπερ ἀκτῖνα δίδυμοι τοῦ ἡλίου, ἢ ὥσπερ δίκρουνόν τινα

ποτα-

ποταμὸν ἐκ τῆς αὐτῆς πηγῆς ἀποβλύζοντα, καὶ πιστεύομεν καὶ νοοῦμεν, ἅμα καὶ κατὰ τὸ αὐτὸ τῆς φύσεως εἶδος, ἐκ τοῦ πατρὸς ἀνίσχοντά τε καὶ ὑφιστάμενα. πλὴν διαφόρως. τὸν μὲν ὡς ἐκ πατρὸς υἱὸν καὶ γέννημα καὶ λόγον διὰ τὸ ἀπαθὲς τῆς γεννήσεως. τὸ δὲ ὡς ἐκ προβολέως ἁπλῶς πνεῦμα καὶ πρόβλημα. διὸ καὶ οὐχ ὡς ποταμοὺς ταῦτα νοοῦμεν μόνον ἀπὸ πηγῆς, ἀλλὰ καὶ ὡς ποταμὸν καὶ ὕδωρ ἀπὸ πηγῆς. οὐ δὲ μόνον ὡς ἐξ ἡλίου ἀκτῖνας, ἀλλὰ καὶ ὡς ἀκτῖνα καὶ φῶς ἐξ ἡλίου. ὡς ἂν ἡ εὔτακτος αὐτῶν συμφυΐα, διὰ τύπων τῶν παραδειγμάτων ὁμολογῆται. ἵνα τὸ πνεῦμα, μετὰ τὸν υἱὸν μὲν τῇ τάξει, σὺν αὐτῷ δὲ κατὰ τὴν φύσιν, ἐκ τοῦ πατρὸς γνωρισθῇ. δεῖ γὰρ καὶ τὴν ἐκ τοῦ πατρὸς ὕπαρξιν τοῦ υἱοῦ καὶ τοῦ πνεύματος ὁμολογεῖν, καὶ τὴν τάξιν τῶν θείων προσώπων διαφυλάττειν ἀσύγχυτον. ὥστε μονογενῆ μὲν πιστεύειν τὸν υἱὸν τοῦ Θεοῦ, ὡς τῷ πατρὶ προσεχῶς συνιστάμενον. τὸ δὲ πνεῦμα μὴ εἶναι υἱὸν, ὡς διὰ τοῦ υἱοῦ τῷ πατρὶ συνεπινοούμενον. πιστεύομεν ὡς ὁ υἱὸς τοῦ Θεοῦ, φύσει υἱὸς ὢν καὶ Θεὸς ἀληθὴς καὶ πρὸς τὸν πατέρα μὲν ὤν, ὡς τὰ ἱερά φασι λόγια, καὶ διακεκριμένως αὐτοῦ κατὰ τὴν ἰδιότητα, ἐν τῷ πατρὶ δὲ ὤν, καὶ ἓν ὢν μετ' αὐτοῦ κατὰ τὴν οὐσίαν, ὅλος ἐν ὅλῳ, καὶ οὐδὲν ἧττον αὐτὸς ἐν τῷ πατρὶ, ἢ ὁ πατὴρ ἐν αὐτῷ, ἔχει πάντα τὰ τοῦ πατρὸς ἀγαθά. ὡσαύτως δὲ καὶ τὸ πνεῦμα τὸ ἅγιον, οὐκ ἐπακτὸν, οὐ δὲ ἔξωθεν, οὐδ' ἔκ τινος ὑψηλοτέρας ἐπεισκρινόμενον φύσεως, ἀλλὰ συμπεφυκὸς, καὶ συνουσιούμενον, ὡς ἐκ μιᾶς ἀρχῆς συμφυῶς προαγόμενον, εἰ καὶ κατὰ διάφορον τρόπον, τῆς μὲν διαφορᾶς τῇ γραφῇ δηλουμένης, τοῦ δὲ τρόπου ταύτης ἀρρήτου τε καὶ ἀνεννοήτου πεφυλαγμένου τε καὶ φυλαττομένου, πᾶσι τοῖς εὐλαβῶς καὶ σωφρόνως λογιζομένοις, εἰ καί τινες εἰκασίαν τινὰ πρὸς παραμυθίαν τῶν λογισμῶν, ἐκ τῶν κτιστῶν παρειλήφασι πραγμάτων, τὸ ἄρρητόν τε καὶ ἀκατανόητον. καὶ οὕτω ταῖς προόδοις εἰκότως διαφυλάττοντες, πιστεύομεν. ὅτι τὸ πνεῦμα τὸ ἅγιον (περὶ οὗ νῦν ἡ παροῦσα σκέψις, οὐ περὶ τῶν ἄλλων ἄρθρων τῆς πίστεως) ἐκ τοῦ πατρὸς ἐκπορεύεται, τουτέστιν ὑφέστηκε. προάγει γὰρ αὐτὸ ὁ πατὴρ, ἱκανῶς καὶ τελείως, καὶ ὑφίστησιν ἐν τῷ ἰδιοσυστάτως εἶναι, ἄλλως ἢ ὑφίστησι τὸν υἱόν, ὡς

ὑπόστασις ἀναιτίως καὶ ἀγεννήτως προαχθεῖσα· λόγου καὶ πνεύματος ὑποστάτις ἐν ἑαυτῇ καὶ πρὸς ἑαυτήν, ἐν τῇ αὐτῇ τῆς θεότητος ἑνότητι καὶ ἁπλότητι ὑπερφυῶς τε καὶ ὑπὲρ λόγον. ἔτι καὶ φρονοῦμεν τοῦτο καὶ λέγομεν, ἐκ πατρὸς διὰ υἱοῦ ἐκπορεύεσθαι. οὐχ ὡς τοῦ υἱοῦ προσεχοῦς ἀρχῆς οὔσης αὐτοῦ, τοῦ δὲ πατρὸς ἐπαναβεβηκυίας καὶ πρώτης, καθάπερ εἴ τις φαίη τὸν Ἐνὼς ἐξ Ἀδὰμ γεγενῆσθαι διὰ τοῦ Σήθ, ἢ κατά τι παράδειγμα τῶν ὁμοειδῶς προαγόντων αἰτιῶν. ἐν οἷς τὸ δεύτερον δίδωσι τῷ τρίτῳ τὸ εἶδος τῆς φύσεως, ὅπερ αὐτὸ εἰληφὸς ἔχει παρὰ τοῦ πρώτου. οὕτω γὰρ οὐδὲν ἂν ἐκώλυσε καὶ τὸν υἱὸν ἀρχὴν τοῦ πνεύματος λέγειν καὶ αἴτιον, καὶ ἐκ τοῦ υἱοῦ τὸ πνεῦμα ὁμολογεῖν. ἅπερ οἱ παρ' ἡμῖν διδάσκαλοι φεύγουσιν. ἀλλ' ἐκείνοις τοῖς τρόποις τὸ διὰ υἱοῦ προϊέναι τὸ πνεῦμα νοοῦμεν, οἷς ἡμῖν ὑφηγοῦνται τῶν ἱερῶν διδασκάλων οἱ λόγοι. οὐδὲ γὰρ ἔξεστιν ἡμῖν ἄλλας συλλήψεις ἐν ἑαυταῖς συλλαμβάνειν, περὶ ὧν ἐκεῖνοι λέγουσιν, ἢ τὰς ἀληθεῖς τε καὶ ὁμολογημένας. καὶ ἃς ἐκεῖνοι συνειληφότες ἐξ ὧν φασὶ δείκνυνται.

ΚΕΦΑΛΑΙΟΝ μζ.

Ὅτι ἐν τῷ διὰ υἱοῦ ἐκπορεύεσθαι λέγεσθαι τὸ πνεῦμα τὸ ἅγιον ἐκ πατρὸς, ἡ προεπίνοια τοῦ υἱοῦ πρὸς τὸ πνεῦμα δηλοῦται.

ΠΡῶτον μὲν γὰρ ἐκ πατρὸς διὰ υἱοῦ ἐκπορεύεσθαι λέγομεν, ὅτι οὐκ ἄνευ τοῦ υἱοῦ. προεπινοεῖται γὰρ ἡ τοῦ λόγου σύλληψις, οὕτω τῆς
Ἰωάν. ιε. » γραφῆς διδασκούσης. Ὃ γάρ φησιν ἐκ τοῦ πατρὸς ἐκπορεύεται, τουτέστιν
Ματ. κη. » ἅπερ ἐκεῖθεν, ὅθεν ὁ υἱὸς γεγέννηται, πρόεισι. Καὶ εἰς τὸ ὄνομα φησὶ βαπτί-
» ζοντες τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. καὶ διὰ τοῦτο τῶν διδασκάλων ἔνιοι λέγουσιν, ὅτι τὸ πνεῦμα συνάπτεται τῷ πατρὶ δι' υἱοῦ. ἀμέσως μᾶλλον τῷ υἱῷ συναπτόμενον, ἧττον δὲ τῷ πατρί. καθάπερ ἐπὶ πάντων ἔχει τῶν δι' ἄλλου ἄλλῳ συναπτομένων. ἀλλ' ὡς τῆς τοῦ πνεύ-

ματος συναφείας πρὸς τὸν πατέρα, μὴ διειργομένης οὐδ᾽ ὁπωσοῦν τῇ τοῦ υἱοῦ μεσιτείᾳ, εἰ καὶ ἡ διαφορὰ τῶν προόδων, καὶ ἡ τάξις τῶν ὀνομάτων, μεσιτεύειν τὸν υἱὸν ἀναγκάζει, κἂν τῷ λόγῳ καὶ τοῖς νοήμασιν ἡμῶν. εἰ δὲ κἂν τῷ πράγματι οὕτως ἐστὶ, καὶ τίς ἂν ὁ λόγος εἴη, οὐδεὶς ἂν ἐκ τῶν ἱερῶν λογίων ἰσχυρίσασθαι δύναιτο. τοῦτο δὲ ὁ ἱερὸς Νύσσης Γρηγόριος ποιῶν ἐκδηλότερον εἶπεν. ὅτι ἡ τοῦ υἱοῦ μεσιτεία, καὶ ἑαυτῷ τὸ μονογενὲς φυλάττει. καὶ τὸ πνεῦμα τῆς φυσικῆς πρὸς τὸν πατέρα σχέσεως οὐκ ἀπείργει. ἐκπορεύεται μὲν γὰρ τὸ πνεῦμα ἐκ τοῦ πατρὸς, κατὰ τὴν τοῦ σωτῆρος φωνήν. ἐν δὲ τῇ προόδῳ ταύτῃ καὶ τῇ σχέσει πρὸς τὸν πατέρα τοῦ πνεύματος, καὶ ὁ υἱὸς συνεπινοεῖται. ὃς οὔτε τοῦ πατρὸς ὑφιστάντος, οὔτε τοῦ πνεύματος ὑφισταμένου, κεχώρισται. ἀλλ᾽ οὐ συνυφίστησι τῷ πατρί· συνυφίσταται δὲ τῷ πνεύματι. καὶ οὕτως συννοεῖται τῷ πνεύματι προϊόντι, καὶ συμπροϊέναι πιστεύεται. ἀλλὰ προεπινοεῖται πάλιν τοῦ πνεύματος, ὡς ἐκ τοῦ πατρὸς γεννηθείς. ἵνα μὴ καὶ ἄμφω πιστευθῶσιν εἶναι υἱοί. καὶ οὐ προεπινοεῖται τὸ πνεῦμα. ἵνα μὴ τὴν παραδεδομένην τοῦ υἱοῦ συγχέωμεν τάξιν. ἵνα μὴ πρὸς ἀλλοκότους τινὰς ἐννοίας ἐκκυλισθῶμεν, ἐκ τῆς τῶν ὀνομάτων τούτων μεταθέσεως. ἔδοξε γὰρ ἂν, τοῖς μὲν εἶναι τὸ πνεῦμα υἱός. τοῖς δὲ εἶναι πατήρ. καὶ πολλῷ μᾶλλον ἔδοξεν ἂν ὁ υἱὸς, καὶ ἀμφοτέρων εἶναι υἱὸς μετὰ τὸ πνεῦμα νοούμενος, ἢ νῦν Λατίνοις δοκεῖ, καὶ ἐκ τοῦ υἱοῦ τὸ πνεῦμα ὑφίστασθαι, διὰ τὸ τὸν υἱὸν αὐτοῦ προεπινοεῖσθαι τε καὶ προτάττεσθαι, ὅσῳ καὶ ἡ τοῦ υἱοῦ προσηγορία, ἐκφαντικωτέραν ἔχει τὴν τῆς αἰτίας σχέσιν. καὶ οὐκ ἔστιν υἱόν τινα εἶναι τινὸς μὴ ἐξ αὐτοῦ γεγεννημένον. ἵνα τοίνυν τὸ μονογενὲς τῷ υἱῷ φυλαχθῇ, ἐπειδὰν τὸ πατρικὸν ὄνομα πρὸς τὴν τοῦ γεννῶντος ἔννοιαν ἄγῃ, καὶ ἡ τάξις τῶν θείων ὀνομάτων διαφυλάττηται, καὶ προεπινοοῦμεν εἰκότως τὸν υἱὸν ἐν τῇ προόδῳ τοῦ πνεύματος. καὶ δι᾽ αὐτοῦ ὡς δὴ προεπινοουμένου τὸ πνεῦμα φαμὲν ἐκπορεύεσθαι ἐκ πατρός. καὶ τοῦτο δηλώσειεν ἄν τις ἐν ὀλίγῳ. λέγων, διὰ τοῦ υἱοῦ, ὡς οὐκ ἄνευ τοῦ υἱοῦ. τὴν προεπίνοιαν καὶ τὸ μεσιτεῦον μόνον, ὑπολαβὼν ἐξ ἐκείνων, ἃ φαμὲν εἶναι, ὡς τὰ οὐκ ἄνευ αὐτοῦ.

οὕτω

οὗ τὸ ἐξαπτικόν τε καὶ περιεκτικὸν, ἢ συνεκτικὸν, καὶ τὸ οὐσιῶδες.

ΚΕΦΑΛΑΙΟΝ μη.

Ὅτι ἐντεῦθεν ἡ κατ' οὐσίαν συνάφεια, τοῦ υἱοῦ καὶ τοῦ πνεύματος δήλη γίνεται.

Δεύτερον ἐκ τοῦ πατρὸς δι' υἱοῦ τὸ πνεῦμα λέγομεν ἐκπορεύεσθαι, ἵνα μὴ διηρτῆσθαί πως τοῦτο νοηθῇ τοῦ υἱοῦ. ἀκούοντες γάρ τινες ἐκ τοῦ πατρὸς τὸν υἱὸν γεννᾶσθαι, καὶ τὸ πνεῦμα τὸ ἅγιον ἐκπορεύεσθαι, ἴσως ἂν διηρτῆσθαι ταῦτα ἀλλήλων ἐνόμισαν. καὶ ὡς δύο ὅλα πεπερασμένα ἀλλήλων ταῦτα διΐστασθαι, τῇ κοινωνίᾳ τῆς φύσεως συναπτόμενα μόνον, καὶ τῇ ἀρχῇ ἐξ ἧς τὴν φύσιν λαμβάνουσιν, ἔχει καὶ ἑαυτοῖς ὡς μίαν ἀριθμῷ φύσιν ἔχοντα. ὑπ' ἐκείνων ἀπατώμενοι τῶν παραδειγμάτων, ἐν οἷς ὁ υἱὸς καὶ τὸ πνεῦμα, παρεικάζεται δυσὶ ποταμοῖς, ἐκ τῆς αὐτῆς πηγῆς χεομένοις, ἢ δυσὶ κλάδοις ἐκ τῆς αὐτῆς ἀναφυομένοις ῥίζης, ἢ δυσὶν ἀδελφοῖς ἐξ ἑνὸς ἀνθρώπου γεγεννημένοις. ἃ δὴ παραδείγματα, τὴν μὲν πρὸς τὸν πατέρα τάξιν τοῦ υἱοῦ καὶ τοῦ πνεύματος, ὡς ἐν ὑποδείγμασι γνῶναι, καλῶς παριστῶσι. τὴν δὲ τοῦ υἱοῦ πρὸς τὸ πνεῦμα τάξιν, οὐ συνεμφαίνουσιν. οὐδὲ τὸ σὺν ἀλλήλοις ταῦτ' εἶναι καὶ ἐν ἀλλήλοις. ἵνα τοίνυν μὴ καθάπαξ τοῖς ὑποδείγμασιν ἐκείνοις ἐνδῶμεν, διὰ τοῦ υἱοῦ τὸ πνεῦμα ἐκπορεύεσθαι λέγομεν, ὡς δι' ἐκείνου δηλαδὴ διϊὸν καὶ διῆκον, ὡς οὕτως εἰπεῖν. τὸ γὰρ πνεῦμα, μετὰ τὸν υἱὸν μὲν τῇ τάξει. σὺν αὐτῷ δὲ κατὰ τὴν φύσιν ἐκ τοῦ πατρὸς γνωρίζεται. καὶ διὰ τῆς τοῦ υἱοῦ φύσεως καὶ ὑποστάσεως, εἰς τὴν οἰκείαν ὑπόστασιν ὡς εἰπεῖν, ἀποπερατοῦταί τε καὶ ὁρίζεται, εἰ καὶ μηδὲν ἐστὶν εὑρεῖν ἐν τοῖς ὑφεστηκόσι τούτου παράδειγμα. ἀλλὰ μόναι αἱ τῆς πίστεως ὑποθέσεις εἰς ταύτας ἡμᾶς ἀναγκαίως τὰς ἐννοίας ἐνάγουσι. καὶ γὰρ ὀφθαλμὸν καὶ πηγὴν καὶ ποταμὸν εἴποι τις, κἂν ῥίζαν καὶ κλάδον καὶ καρπὸν, κἂν ἄλλο τι τοιοῦτον, ὅτι μὲν ἐστὶ μετὰ τὸν υἱὸν τὸ πνεῦμα, δι' ἑκάστου τὴν

παρα-

ὑπολειμμάτων τούτων δηλωθήσεται. ὅτι δὲ σὺν τῷ υἱῷ καὶ ἐκ τοῦ υἱοῦ, τουτέστιν, οὐδόλως ἰσχύσει δεῖξαι ταῦτα τὰ ὑποδείγματα. ἀλλὰ τούτου μόνου χάριν ταῦθ᾽ ὑπό τινων εἴληπται, ὥσαν ἡ τῶν θείων προσώπων διάκρισις ἐν τῇ ἑνότητι τῆς ἰδίας φύσεως, διὰ τούτων ὁπωσοῦν τῶν ὑποδειγμάτων, καὶ ἡ κατὰ τὴν διάκρισιν τάξις ἀπεναντίας τῆς τοῦ Σαβελλίου πλάνης, ἔκδηλος γένηται. ἔχεται μὲν γὰρ ὁ ποταμὸς τῆς πηγῆς. καὶ ὁ καρπὸς τοῦ κλάδου. οὕτω δὲ ἔχεται καὶ τοῦ υἱοῦ τὸ πνεῦμα. καὶ ὁ υἱὸς τοῦ πατρὸς, οὗ συναλείφονται, καὶ ἐν μιᾷ ἔχονται φύσει, καθ᾽ ὁμοιότητα τῶν ὑποδειγμάτων τουτωνὶ ἀμηγέπη. μία γὰρ φύσις ἐστὶν, ἡ διὰ τῆς πηγῆς, καὶ τοῦ ποταμοῦ, καὶ τοῦ ὕδατος. καὶ ἔτι σαφέστερον, ἡ διὰ τῆς ῥίζης, καὶ τοῦ κλάδου καὶ τοῦ καρποῦ, εἰ καὶ μὴ οὕτω μία καθάπερ ἐπὶ τῶν θείων. μέχρι μὲν οὖν τούτων ἔστι τις ὁμοιότης. τὰ δ᾽ ἄλλα, καθάπαξ ἀνομοίως ἔχουσι. ταῦτα μὲν γὰρ σωματικῶς τεταγμένα, ἄλλο μετ᾽ ἄλλο μόνον εἰσίν. οὐκ ἄλλο ἐν ἄλλῳ. οὐδ᾽ ἐν ἀλλήλοις. τοῖς ἐσχάτοις γὰρ αὐτῶν συνάπτονται μόνοις καὶ συμπεφύκασιν. οἷον ῥίζα καὶ κλάδος συνάπτονται τοῖς ἐσχάτοις. οὐδ᾽ ὅλων ἑαυτῶν ἀλλήλοις συνῆπται. καὶ κλάδος ὁμοίως καὶ καρπός. τὰ δὲ θεῖα ἀεὶ καὶ συντετάχαται ἐχομένως. ἀλλ᾽ οὐδὲν ἧττον καὶ ἐν ἀλλήλοις εἰσὶν, ὡς εἰ μὴ ἦσαν συντεταγμένα. καὶ δι᾽ ὅλων ἑαυτῶν συμπεφύκασι. καὶ ἕν εἰσι πρᾶγμα καθάπαξ, πλὴν τῆς προσωπικῆς ἐν αὐτοῖς ἀντιθέσεως. καὶ τούτου ὑπερφυοῦς ὄντος. καὶ διὰ τὴν ἀπειρίαν καὶ ἄκραν ἁπλότητα προσόντος αὐτοῖς, οὐκ ἔστιν εὑρεῖν ἐν τοῖς οὖσιν οὐδὲν ὑπόδειγμα. ταῖς τοιαύταις τοίνυν ἀκολούθως ἐννοίαις διὰ τοῦ υἱοῦ ἐκπορεύεσθαι τὸ πνεῦμα πιστεύομέν τε καὶ λέγομεν. νοοῦντες ὅτι διΐεισιν οἷον εἰπεῖν δι᾽ αὐτοῦ. καὶ εἴ τις ὑφ᾽ ἡμῶν ἀνατυποῦται παράτασις ἐν ταῖς προόδοις ἐκείναις, διὰ τὴν ἀμβλυωπίαν ἡμῶν, καὶ τὸ τοῦ πράγματος ὕψος καὶ μέγεθος, ταύτῃ τῷ υἱῷ τὸ πνεῦμα συμπαρεκτείνεται, καὶ διήκει τε δι᾽ αὐτοῦ, καὶ ἐν αὐτῷ μένει. καὶ οὕτως ἐστὶν αὐτοῦ. καὶ οὐδὲν ἧττον εἰς τὴν οἰκείαν ἑείζεται χωρεῖς ἰδιότητα. καὶ μόνης τῆς τοῦ πατρὸς αἰτίας ἐξημμένον ἔχει τὸ εἶναι. διὰ τοῦτο Κύριλλος μὲν ἐν τοῖς θησαυ-

Κύριλ. » ροις λέγει. ὥσπερ γὰρ ὁ βραχίων φυσικῶς συνήρμοσται τῷ ὅλῳ σώματι,
» πάντα ἐνεργῶν, ὅσαπερ δόξῃ τῇ διανοίᾳ, καταχρεῖ δὲ συνήθως τῷ
» δακτύλῳ πρὸς τοῦτο κεχρημένος, οὕτω τὸν μὲν τοῦ Θεοῦ λόγον, ἐξ αὐτοῦ
» καὶ ἐν αὐτῷ φυσικῶς ἡρμοσμένον, ἵν' οὕτως εἴπω, καὶ ἐμπεφυκότα λογι-
» ζόμεθα. ἐν δὲ τῷ υἱῷ, φυσικῶς τε καὶ οὐσιωδῶς διῆκον παρὰ τοῦ πα-
» τρὸς τὸ πνεῦμα, δι' οὗ πάντα χρίων ἁγιάζει. οὐκοῦν οὐκ ἀλλότριον
» οὐδ' ἀπεξενωμένον τὸ πνεῦμα τὸ ἅγιον τῆς θείας φύσεως φαίνεται, ἀλλ'
» ἐξ αὐτῆς καὶ ἐν αὐτῇ φυσικῶς. ὁ δὲ Μάξιμος ἐν τῇ πρὸς Μαρῖνον
Μάξιμ. » ἐπιστολῇ. Ἀλλ' ἵνα φησὶ τὸ δι' αὐτοῦ προϊέναι δηλώσωσι. καὶ ταύτῃ
» τὸ συναφὲς τῆς οὐσίας καὶ ἀπαράλλακτον παραστήσωσι. βούλονται γὰρ
οἱ τῆς ἱερᾶς θεολογίας νόμοι, τὸ πνεῦμα τὸ ἅγιον, καὶ τὸν υἱὸν τοῦ Θεοῦ, μὴ
μόνον ἐντεῦθεν, τῷ ἐκ τῆς αὐτῆς ἀρχῆς προϊέναι, μηδὲ ταύτῃ μόνον τὴν
θείαν Τριάδα συνάπτεσθαι. ἀλλὰ καὶ τὸ διὰ θατέρου προϊέναι θά-
τερον. καὶ οἷον εἰπεῖν ἀλλήλοις εὐτάκτως συνανακίρνασθαι. ὁ τοῦ μὲν
δι' ἀλλήλων προϊέναι πρός γε τὴν κατὰ φύσιν συνάφειαν, οὐδὲν διαφέ-
ρει. τῇ δὲ παραδεδομένῃ τάξει καὶ προσωπικῇ διακρίσει τῶν θείων
ἐκείνων πολλῷ πέφυκε πρεπωδέστερον. καὶ οὕτως ἡμεῖς τὴν, ἐκ. πρόθε-
σιν, ἰσοδυναμεῖν φαμὲν τῇ, διά. ἐν τῷ δι' υἱοῦ λέγεσθαι τὸ πνεῦμα ἐκ
πατρὸς προϊέναι. οὐχ ὡς Λατῖνοι παχύτερον λέγουσι. καὶ οὕτω τὰς
τῶν εὐρωπαίων πατέρων ῥήσεις, ἐξηγούμεθα εὐσεβῶς. τὴν μέν, ἐκ. εἰς
τὴν, διά. μεταλαμβάνοντες. ἢ μᾶλλον εἰπεῖν τὴν, ἐκ. ἀντὶ τῆς διά,
νοοῦντες. ἐν δὲ τῷ δι' υἱοῦ, φυσικήν τινα κατανοοῦντες δίοδον, ἐν τοῖς
ὑπερφυέσιν ἐκείνοις πράγμασι, πάσης ὑπερεξῃρημένην κλίσεως ὁμοιότη-
τος. ἐν οἷς οὐκ ἔστι διϊέναι τι διά τινος, εἰ μὴ μετά τινος ὑφέσεως. ἢ κατὰ
φύσιν, ἢ κατ' ἀξίαν. πᾶσαν γοῦν τοιαύτης ὑφέσεως ἔννοιαν ἀποδιοπομ-
πούμενοι, τὴν δὲ συνάφειαν προσιέμενοι μόνον, καὶ ταύτην ἐν τοῖς θεί-
οις προσώποις, κατὰ τὴν φύσιν καὶ τὴν οὐσίαν μόνον τιθέντες εἶναι, φαμὲν
τὸ πνεῦμα ἐκπορευόμενον κατ' αἰτίαν ἐκ πατρός, τῆς πρώτης πάντων ἀρ-
χῆς, διὰ τοῦ υἱοῦ προϊέναι, καὶ οἷον διήκειν, ἵνα τὸ συναφὲς τῆς οὐσίας
ἀπαράλλακτον παριστάνωμεν. ἐπειδὴ γὰρ ἡ μὲν τοῦ υἱοῦ πρὸς τὸν πα-

τέρα.

πέρα κατ' οὐσίαν ταυτότης, ὅτι ἀρρητος ἐστὶν ἐξ αὐτῶν τῶν ὀνομάτων καὶ τῆς γεννήσεως, ἀνάγκη γὰρ πᾶσα τὸν υἱὸν τοῦ Θεοῦ γεννώμενον ἐξ αὐτοῦ κατὰ φύσιν, ὅμοιον τῷ γεννῶντι Θεῷ τυγχάνειν. οὕτω γὰρ ἔχει καὶ ἐπὶ τῆς κάτω γεννήσεως. ἐκεῖ δὲ ἡ τῆς φύσεως ὁμοιότης, καὶ πολλῷ μείζων ἐστί. Γραφ. θεολ. διὸ καὶ εἷς εἰσιν ἄμφω· μᾶλλον δὲ αἱ τρεῖς ὑποστάσεις Θεός. ἐπειδὴ τοίνυν ταῦθ' οὕτως ἔχει, ἡ δὲ τοῦ πνεύματος κατ' οὐσίαν ταυτότης πρὸς τὸν Θεὸν καὶ πατέρα, οὐχ ὁμοίως ἐκ τῶν ὀνομάτων τούτων φαίνεται, καὶ τῆς ἐκπορεύσεως, ἅτε κοινοτέρων ὄντων τῶν ὀνομάτων, καὶ εἰδικόν τινα τρόπον Μάξιμ. φυσικῆς προόδου μὴ δυναμένων σημαίνειν ἔκ γε τῆς λέξεως, διὰ τοῦτο ἐκ τοῦ πατρὸς λέγοντες ἐκπορεύεσθαι τὸ πνεῦμα καθά φησιν ἡ γραφή, πρὸς παράστασιν τῆς κατ' οὐσίαν συναφείας, τὸ δι' υἱοῦ προστίθεμεν. οὐ γάρ ἐστι δυνατὸν τὸ πνεῦμα τὸ ἅγιον ἴδιον ὡς οὕτως εἰπεῖν καὶ διῆκον ἐν τῷ υἱῷ, κατὰ τὸν θεῖον Κύριλλον, μὴ τῆς αὐτῆς οὐσίας εἶναι τῷ Θεῷ καὶ πατρί. εἰ γὰρ ὁ μὲν υἱὸς ὁμοούσιός ἐστι τῷ πατρὶ ὡς υἱὸς αὐτοῦ κατὰ φύσιν, τὸ δὲ πνεῦμα τὸ ἅγιον διὰ τῆς φύσεως καὶ ὑποστάσεως τοῦ υἱοῦ, εἰς τὴν οἰκείαν ὁριζόμενον ἰδιότητα, καὶ δι' αὐτοῦ φυσικῶς τε καὶ συμφυῶς διῆκον καὶ ἴδιον ὡς εἰπεῖν, ὁμοούσιον ἐστὶν αὐτῷ, εὔδηλον ὅτι καὶ τῷ πατρὶ ὁμοούσιον ἐστὶν οὕτω τὸ πνεῦμα, καθάπερ καὶ ὁ υἱός. καὶ οὕτως ἡ μακαρία Τριάς, εἰς μίαν ἑνότητα φύσεως συγκεφαλαιοῦταί τε καὶ συνάγεται κατὰ τὸν ἱερὸν Ἀθανάσιον.

ΚΕΦΑΛΑΙΟΝ μθ.

Ὅπως καὶ ἡ κατ' οὐσίαν συνάφεια τῶν τριῶν ὑποστάσεων ἐντεῦθεν φανεροῦται. καὶ τὸ ἑνιαῖον καὶ μοναρχικὸν τῆς θεότητος.

Ἵνα δὲ τῇ τῶν Λατίνων ἀπληστίᾳ τε καὶ φιλονεικίᾳ, καὶ πλέον τι χαρισώμεθα μετὰ τῆς ἀληθείας, ἐν τῷ δι' υἱοῦ ἐκ πατρὸς τὸ πνεῦμα ἐκπορεύεσθαι λέγειν, οὐ μόνον τὴν ἐν υἱῷ καὶ πνεύματι τῆς θείας οὐσίας

ἑνότητα κα[illegible]μενος, ὡς εἴρηται πρότερον. ἀλλὰ τοῦτ' αὐτὸ καὶ ἐν πατρὶ καὶ υἱῷ κα[illegible]ευόμενον. σαφὲς γάρ ἐστιν, ὅτι κατὰ τὸν ἱερὸν Ἀθανάσιον. ὁ υἱός ἐστιν ἡ οὐσία τοῦ πατρός. καὶ κατὰ τὸν μέγαν ἐν θεολογίᾳ Γρηγόριον, ἐν

Γρηγ. Θεολ. » τῷ περὶ τοῦ πνεύματος λόγῳ, Οὔτε ὁ υἱὸς πατήρ. εἷς γὰρ ὁ πατήρ. » ἀλλ' ὅπερ ὁ πατήρ. οὔτε τὸ πνεῦμα υἱός, ὅτι ἐκ τοῦ Θεοῦ. εἷς γὰρ ὁ μο- » νογενής, ἀλλ' ὅπερ ὁ υἱός. καὶ ὁ Μάξιμος ἐν τῷ ξβ. τῶν πρὸς Θαλάσσιον, τῷ Γρηγορίῳ κατ' ἴχνος ἑπόμενος, ὥσπερ ἐν τοῖς ἄλλοις, οὕτω κἀν-

Μάξιμ. » ταῦθα. Οὔτε τοῦ υἱοῦ ὄντος πατρός φησιν, ἀλλ' ὅπερ ὁ πατήρ, οὔτε τοῦ » πνεύματος ὄντος υἱοῦ. ἀλλ' ὅπερ ὁ υἱός. οὐκοῦν κατὰ τοὺς ἱεροὺς διδασκάλους, πατρότης μὲν καὶ υἱότης, ἀκοινώνητα εἰσι, ἐν πατρὶ καὶ υἱῷ, καὶ διῃρημένα. ὅπερ δέ εἰσιν, ἕν ἐστιν ἐν αὐτοῖς. ὡς ἀπαραλλάκτως καὶ ἐν ἄκρᾳ ταυτότητι διὰ γεννήσεως κοινωνηθὲν ἐκ πατρὸς τῷ υἱῷ. τοῦτο δέ ἐστιν ἡ θεία οὐσία. ἀλλ' ὁ πατήρ, ἐστὶ μὲν πατὴρ τῇ πατρότητι. ἐστὶ δὲ ἁπλῶς τῇ θείᾳ οὐσίᾳ. ὡς δέ ἐστιν, οὕτω καὶ ἐνεργεῖ φυσικῶς. οὐκοῦν ἐνεργεῖ μὲν ὁ πατήρ, ἔχων τὸ πατὴρ εἶναι τῇ πατρότητι. ἐνεργεῖ καὶ τῇ οὐσίᾳ ᾗ ἐστιν ἁπλῶς, καὶ ταύτῃ γεννᾷ καὶ προβάλλει. οὐκοῦν ἀληθές ἐστιν εἰπεῖν, ὅτι τῇ οὐσίᾳ γεννᾷ τὸν υἱὸν ὁ πατήρ, καὶ τὸ πνεῦμα προβάλλει. ταυτὸν δέ ἐστιν εἰπεῖν, τῇ οὐσίᾳ καὶ διὰ τῆς οὐσίας. καὶ εἰς τοῦτο πολλοὶ τῶν τε ἡμετέρων καὶ τῶν λατινικῶν διδασκάλων, τὸ ἐκ τῆς οὐσίας τοῦ πατρὸς γεννηθῆναι τὸν υἱὸν φέρειν ἐδίδαξαν. ἵνα μὴ νομισθῇ γεννᾷν ἡ θεία οὐσία, ὅπερ ἀδύνατον. καὶ ὅτι βέλτιον ἐστὶ διὰ τῆς οὐσίας τοῦ πατρὸς γεννηθῆναι τὸν υἱὸν λέγειν, ἢ ἐκ τῆς οὐσίας, καὶ πολλοὶ τῶν παρὰ Λατίνοις λέγουσι διδασκάλων. Εἰ γοῦν ἡ οὐσία τοῦ πατρός ἐστιν ὁ υἱός, καὶ ὅπερ ὁ πατήρ, κατὰ τοὺς ἱεροὺς διδασκάλους, ἀληθές ἐστιν εἰπεῖν τὸ πνεῦμα τὸ ἅγιον ἐκ τοῦ πατρὸς ἐκπορεύεσθαι τῇ οὐσίᾳ, καὶ διὰ τῆς οὐσίας αὐτοῦ, καθάπερ καὶ ὁ υἱὸς ἐκ τῆς οὐσίας τοῦ πατρὸς λέγεται γεγεννῆσθαι, τουτέστιν ἐκ πατρὸς τῇ οὐσίᾳ, καὶ διὰ τῆς οὐσίας αὐτοῦ. ἐντεῦθεν ἀληθές ἐστι, μᾶλλον δὲ ἐπάναγκες, τὸ πνεῦμα λέγειν ἐκ πατρὸς, δι' υἱοῦ προβάλλεσθαι. ἀλλ' ὥσπερ οὐκ ἔστιν εἰπεῖν τὴν οὐσίαν ἐν τῷ πατρὶ, ἀρχὴν εἶναι τὸ πνεῦμα προάγουσαν, ὡς ὑποστάσιν τε καὶ

ὑποκείμενον, ἀλλ' ἢ καθ' ἑτέραν τινὰ ἐκδοχὴν τῆς ἀρχῆς ἴσως, οὕτως οὐ δὲ τὸν υἱὸν ἐστὶν ἐννοῆσαι, ἀληθῶς ἐν τῷ δι' υἱοῦ ἀρχὴν τὸ πνεῦμα προάγουσαν. ἀλλ' ἢ μόνον ὡς εἴρηται, ὡς διά τινος ἡνωμένου μὲν τῷ πατρὶ κατὰ τὴν φύσιν, ἐχομένου δὲ κατὰ τὴν ὑπόστασιν, ὡς ἐκ τοῦ πατρὸς προσεχῶς δηλαδὴ νοουμένου ἐκ τοῦ πατρὸς προϊέναι τὸ πνεῦμα πιστεύειν τε καὶ φρονεῖν. καὶ οὕτω τὸ συναφές. μᾶλλον δὲ ὑπερηνωμένον τῆς θείας οὐσίας, ἐν τῇ τῶν ὑποστάσεων Τριάδι καλῶς ἀναφαίνεσθαι. καὶ ταῦτα τῷ τοῦ μεγάλου Βασιλείου συνᾴδει σκοπῷ. λέγοντος, » τὸ πνεῦμα τὸ ἅγιον μετὰ τὸν υἱὸν καὶ σὺν αὐτῷ γνωρίζεσθαι, ἐκ δὲ τοῦ πατρὸς ὑφεστάναι. » Βασίλ. καὶ τοῦτ' αὐτῷ τῆς κατὰ τὴν ὑπόστασιν ἰδιότητος γνωριστικὸν προσεῖναι διαβεβαιουμένου. ταῦτα καὶ τῷ τοῦ Μαξίμου καθαρῶς συνᾴδει σκοπῷ. λέγοντος, » δι' υἱοῦ λέγειν τοὺς τότε Ῥωμαίους τὸ πνεῦμα προϊέναι ἐκ τοῦ πατρὸς, ἵνα τὸ τῆς οὐσίας συναφὲς καὶ ἀπαράλλακτον παραστήσωσι. » Μαξιμ. καὶ ἐπαινοῦντος ταύτην τὴν γνώμην. ᾔδει γὰρ ἐκεῖνος καὶ Κύριλλον καὶ Βασίλειον καὶ πάντας τοὺς διδασκάλους σχεδὸν, ἐν τῷ δι' υἱοῦ τὰ πάντα ἐκ τοῦ πατρὸς λέγειν, καὶ εἶναι καὶ ἔρχεσθαι, καὶ πρὸς αὐτὸν ἐπιστρέφειν, καὶ τὴν ἑνότητα τῆς θείας οὐσίας, καὶ τὴν μοναρχίαν διαφυλάττοντας, ἡγεμόνι Παύλῳ χρωμένους. τὰ μὲν πάντα ἐκ πατρὸς δι' υἱοῦ ἐν πνεύματι λέγοντι γεγενῆσθαι, τὸ δὲ πνεῦμα ἐκ πατρὸς δι' υἱοῦ τοῖς ἀνθρώποις ἐκκεχύσθαι θεολογοῦντι. καὶ οὕτως ἀεὶ, τὴν τρίπλοκον ἐκείνην, ὥς τις εἶπε τῶν διδασκάλων, σειρὰν διαπλέκοντι. ὁ μὲν γὰρ ἱερὸς Ἀθανάσιος ἐν τῇ πρὸς Σεραπίωνα ἐπιστολῇ. » Ὥσπερ δὲ ἓν βάπτισμα φησὶν, οὕτω καὶ μία πίστις. ὁ γὰρ πιστεύων εἰς τὸν πατέρα, οἶδεν ἐν τῷ πατρὶ τὸν υἱὸν, καὶ τὸ πνεῦμα οὐκ ἐκτὸς τοῦ υἱοῦ. καὶ διὰ τοῦτο πιστεύει, καὶ εἰς τὸν υἱὸν καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον. ἐπειδὴ καὶ μία τῆς Τριάδος ἡ θεότης, ἐξ ἑνὸς τοῦ πατρὸς γινωσκομένη. » Ἀθανάσ. Ἰδοὺ τὸ πνεῦμα φησὶν οὐκ ἐκτὸς τοῦ λόγου. ὥσπερ ἡμεῖς οὐκ ἄνευ τοῦ υἱοῦ τοῦτ' εἶναι πρότερον ἐλέγομεν. καὶ πάλιν. » Ὁ γὰρ πατὴρ διὰ τοῦ λόγου, ἐν πνεύματι ἁγίῳ τὰ πάντα ποιεῖ. καὶ οὕτως ἡ ἑνότης τῆς ἁγίας Τριάδος σώζεται. καὶ οὕτως εἷς Θεὸς ἐν τῇ Ἐκκλησίᾳ κηρύττεται. ὁ ἐπὶ πάντων καὶ διὰ πάντων καὶ ἐν πᾶσιν. ἐπὶ πάντα » Ὁ αὐτός.

» μῷ, ὡς πατήρ, ὡς ἀρχὴ καὶ πηγή. διὰ πάντων δὲ, διὰ τοῦ λόγου. ἐν
» παντὶ δὲ, ἐν πνεύματι τῷ ἁγίῳ. Τριὰς λέγειν, οὐχ' ἕως ὀνόματος μόνον
» καὶ φαντασίας λέξεως. ἀλλὰ ἀληθείᾳ καὶ ὑπάρξει Τριάς. ὁ δὲ θεῖος
Βασίλ. » Βασίλειος, ἐν τῷ, ιη, τῶν πρὸς Ἀμφιλόχιον. Ἡ ὁδὸς τῆς θεογνωσίας
» ἐστί φησιν, ἀπὸ ἑνὸς πνεύματος, διὰ τοῦ ἑνὸς υἱοῦ, ἐπὶ τὸν ἕνα πατέρα.
» καὶ ἀνάπαλιν. ἡ φυσικὴ ἀγαθότης, καὶ ὁ κατὰ φύσιν ἁγιασμὸς, καὶ τὸ
» βασιλικὸν ἀξίωμα, ἐκ τοῦ πατρὸς διὰ τοῦ μονογενοῦς ἐπὶ τὸ πνεῦμα δι-
ήκει. οὕτως αἱ ὑποστάσεις ὁμολογοῦνται. καὶ τὸ εὐσεβὲς δόγμα τῆς
μοναρχίας οὐ διαπίπτει. καὶ πάντες οἱ διδάσκαλοι τὰ αὐτὰ τούτοις λέ-
γουσι, κἂν τὴν δημιουργίαν ἡμῶν λέγωσι, κἂν τὴν ἀνάπλασιν, κἂν
πάσας εἰπεῖν τὰς ἐκ Θεοῦ δωρεὰς εἰς ἡμᾶς. κἂν τὴν ἡμετέραν εἰς αὐτὸν
ἄνοδον καὶ ἀνάβασιν, οὐκ ἄνευ τῆς ἐκεῖθεν χάριτος γινομένην. κἂν τὴν
αὐτοῦ τοῦ πνεύματος ὕπαρξιν ἐκ πατρὸς, τῷ πατρὶ τὸν υἱὸν, καὶ δι' αὐτοῦ
τὸ πνεῦμα συνάπτοντες, ἐν πᾶσι τούτοις τοῖς λόγοις, οὕτω καὶ τὴν ἑνότητα
τῆς θείας οὐσίας διατηροῦσι, καὶ τὴν μοναρχίαν διαφυλάττουσιν. ἀλλ'
οὔτε ταὐτὸν ἐστὶ πνεύματος δόσις καὶ ὕπαρξις καὶ τάξις τῆς ἡμετέρας
ἀνόδου πρὸς τὸν Θεὸν, καὶ τῆς ἐκ Θεοῦ διηκούσης πρὸς τὰ ἐξ αὐτοῦ φυσι-
κῆς ἀγαθότητος. οὔτε πάντα ὁμοίως ἐπὶ τούτων τιθέναι χρή. τοῦ γὰρ
Θεοῦ διὰ μὲν υἱοῦ τὰ πάντα δημιουργοῦντος καὶ ἁγιάζοντος, καὶ πάντα
ποιοῦντος ὅσα πρέπει Θεῷ, καὶ ὁ υἱὸς νοεῖται δημιουργῶν ἀπαραλλάκ-
τως ὡς ὁ πατήρ. ὡσαύτως δὲ καὶ τὸ πνεῦμα. τοῦ Κυρίλλου λέγοντος
Κύριλ. » ἐν ϛ. τῶν πρὸς Ἑρμείαν. Πάντα γὰρ δι' ἀμφοῖν ἐν ἴσῳ. ἐνεργοῦντος
» μὲν τοῦ πατρὸς. ἔχοντος δὲ δι' υἱοῦ. καὶ σὺν αὐτῷ ἐν πνεύματι, τὴν ἐφ'
» ὁτῳοῦν τῶν δρωμένων ἐνέργειάν τε καὶ θέλησιν. καὶ αὖθις ἐν θησαυ-
» ροῖς. ἔχει φησὶν ὁ πατὴρ, τὸ δύνασθαι δημιουργεῖν, ὡσαύτως καὶ τὸ
» ἁγιάζειν, καὶ ὅσα πρέπει Θεῷ, πάντα δι' υἱοῦ. σύνεστι γὰρ ἀεὶ τῷ πα-
» τρὶ, ὡς τῷ φωτὶ τὸ ἀπαύγασμα. καὶ ἀρχηγὸς τῶν τοῦ πνεύματος δω-
ρεῶν καὶ αἴτιος ὁ υἱὸς ὑπὸ Βασιλείου θεολογεῖται. καίτοιγε διὰ τοῦ
υἱοῦ διδομένων. ἀλλ' ἐπειδὰν διὰ πνεύματος συμμορφούμενοι τῷ υἱῷ
πρὸς τὴν υἱοθεσίαν τοῦ πατρὸς ἀναγνώμεθα, καὶ ὁ πατὴρ γινώσκηται

παρ' ἡμῶν ἐκ πνεύματος διὰ υἱοῦ, οὐκέτι τὸν υἱὸν τοῦ πνεύματος αἴτιον νοοῦμεν. οὕτως οὐδὲ τὸ πνεῦμα διὰ τοῦ υἱοῦ προϊέναι ἀκούοντες ἐκ τοῦ πατρὸς, τὸν υἱὸν ἐξ ἀνάγκης τοῦ πνεύματος νοήσομεν αἴτιον, ἀλλ' ἢ μόνον διὰ τὸ τῆς οὐσίας συναφὲς νομιζόμενον τοῦτο εἰρῆσθαι. εἰ δὲ μὴ, μάτην μὲν ὁ Μάξιμος ἔλεγεν ὅσα παρείρηται ἐν τῇ πρὸς Μαρῖνον ἐπιστολῇ. μάτην δ' ὁ Δαμασκηνὸς ἀπέφασκε τοῦ υἱοῦ πολλαχοῦ πάντα τὰ τὴν αἰτίαν δηλοῦντα. εἰκῆ δὲ καὶ Ἀθανάσιος, τὸ μὲν πνεῦμα οὐκ ἐκτὸς εἶναι τοῦ υἱοῦ ἔλεγεν, ὅπερ ἐστὶ ταὐτὸν, τῷ δι' υἱοῦ. τὴν δὲ μίαν θεότητα ἐξ ἑνὸς τοῦ πατρὸς γινώσκεσθαι.

ΚΕΦΑΛΑΙΟΝ ν.

Ὅπως ἐν τῷ δι' υἱοῦ ἐκπορεύεσθαι τὸ πνεῦμα νοεῖται πρόοδός τις ἐκ τοῦ υἱοῦ, οὐχ ἕνεκα τοῦ ὑποστῆναι, ἀλλ' ἕνεκα τοῦ διακριθῆναι καὶ γνωρισθῆναι μόνον.

Τρίτον ἐπειδὴ τὸ πνεῦμα τὸ ἅγιον ἐκ τοῦ πατρὸς ἐκπορεύεται, καὶ ἐν τῷ υἱῷ μένει, οὕτω τῶν ἱερῶν διδασκάλων λεγόντων. ὁ μὲν γὰρ Δαμασκηνὸς Ἰωάννης. Τὸ πνεῦμα φησὶ τὸ ἐκ τοῦ πατρὸς ἐκπορευόμενον, καὶ ἐν υἱῷ ἀναπαυόμενον. (Δαμασκ.) Γρηγόριος δὲ ὁ διάλογος. Τὸ παράκλητον πνεῦμα φησὶν ἐκ τοῦ πατρὸς προέρχεται, καὶ ἐν τῷ υἱῷ διαμένει. (Γρηγ. διάλογ.) καὶ ἐν ταῖς περιόδοις Ἀνδρέου τοῦ Ἀποστόλου λέγεται, Καὶ εἰς ἓν πνεῦμα ἅγιον ἐκ πατρὸς ἐκπορευόμενον, καὶ μένον ἐν τῷ υἱῷ. (Ἀνδρέ. περιόδ.) τούτου τοίνυν οὕτως ἔχοντος, ἵνα μὴ νοηθῇ τὸ πνεῦμα ἀδιακρίτως ὑπάρχειν ἐν τῷ υἱῷ, διὰ τοῦ υἱοῦ προϊέναι λέγεται. ὁ δὴ Κύριλλος σαφέστερον εἶπε, διήκειν ἐν τῷ υἱῷ. τό, τε δι' υἱοῦ προϊέναι, καὶ τὸ μένειν ἐν τῷ υἱῷ, ἐν οὕτω βραχεῖ καὶ συνεπτυγμένῳ λόγῳ δηλώσας. καὶ ἡ πρόοδος αὕτη, τὴν διάκρισιν τῆς ὑποστάσεως ἐκ τῆς ὑποστάσεως οὐ τὴν αἰτίαν σημαίνει. οὐδὲ τὴν εἰς τὸ εἶναι προαγωγὴν, ἐκ τῆς ὑφιστάσης ἀρχῆς. καὶ γὰρ

καὶ

καὶ τὸ μένειν ἐν τοῖς οἰκείοις ὅροις τε καὶ γνωρίσμασιν ἑκάστην τῶν ὑποστάσεων, μηδὲ μιᾷ τῶν λοιπῶν ἀναμιγνυμένην, ἕνα τῶν τῆς διακείσεως τρόπων ὁ θεῖος φησὶ Διονύσιος. καθάπερ οὖν τῷ πατρὸς διακεκειμένον τὸ πνεῦμα νοεῖται, ἐπειδὰν ἐκπορευόμενον ἐξ αὐτοῦ νοῆται καὶ λέγηται, οὕτω καὶ τῷ υἱῷ διακεκειμένον νοεῖται, ἐπειδὰν δι' αὐτοῦ προϊέναι νοῆται καὶ λέγηται. ἀλλ' ἐκεῖ μὲν καὶ τῆς ὑπάρξεως τοῦ πνεύματος αἴτιος ὁ πατὴρ νοεῖται. ἐν ταῦθα δὲ ἡ διάκεισις, οὐχὶ καὶ τὴν αἰτίαν τῆς ὑπάρξεως συνεπάγεται. οὔτε γὰρ ἀνάγκη τις οὕτω φρονεῖν, οὔτ' ἐκ τῶν ἱερῶν λογίων, τοῦθ' ἡμῖν παραδέδοται. ἀλλ' ἱκανὸν τὸ πνεῦμα νοεῖται καὶ ὑφιστάμενον ἰδιοσυστάτως, καὶ τὴν μακαρίαν Τριάδα πληροῦν, ἐν τῷ τὴν ὕπαρξιν ἔχειν ἐκ τοῦ πατρὸς, καθάπερ ὁ υἱὸς γεννητῶς ἐξ αὐτοῦ τὴν ὕπαρξιν ἔχει. καὶ ὅσον πρὸς τὸ ὑφίστασθαι ἐν τῇ θείᾳ φύσει, τῆς πρώτης αἰτίας διακεινόμενον, ἐξ ἧς φυσικῶς ἀναθρώσκει, οὐδὲν ἂν ἔδει δι' υἱοῦ προελθεῖν, ἢ ἐξ υἱοῦ. ἀλλὰ μὴν καὶ διακεῖνεται μὲν ἱκανῶς τοῦ υἱοῦ τῷ διαφόρῳ τρόπῳ τῆς ἐκ πατρὸς προελεύσεως. καὶ οὐδὲν δεῖ προστιθέναι, πρός τε τὸν τῆς διακείσεως λόγον, ὡς ἀποδέδεικται πρόσθεν τοῖς τῶν διδασκάλων λογίοις. ἀλλ' ἐπειδὴ καὶ ἐν τῷ υἱῷ μένειν. καὶ ἐν τῷ υἱῷ εἶναι λέγεται καὶ πιστεύεται, ἵνα μὴ τὰ τοιαῦτα καλῶς καὶ ἀληθῶς πιστεύωμεν, ὅμως τὴν ἐκεῖθεν ἡμῖν ἀνίσχουσαν διάκεισιν παραβλάψῃ, καὶ ἵνα πανταχόθεν ὁ τῆς ἀληθείας λόγος βέβαιον ἔχῃ, καὶ τῷ δι' αὐτοῦ προϊέναι τὴν ἀπ' αὐτοῦ προσεπιμαρτυρουμένην διάκεισιν. οἱονεὶ διεκκύπτον αὐτὸ τῆς τοῦ υἱοῦ ὑποστάσεως νοοῦντες ἀπὸ τῆς ἐν ἐκείνῳ μονῆς. μένει μὲν γὰρ ἐν αὐτῷ κατὰ φύσιν ἀπαραλείπτως ἀεί. ὑποστατικῶς δὲ πρόεισιν ἐξ αὐτοῦ, ὡς τοῖς ἰδίοις περιγεγραμμένον γνωρίσμασι, καὶ προσωπικῶς αὐτοῦ χωριζόμενον. καὶ τοῦτ'

Γρηγ. Νυσ. „ ἐστιν, ὅπερ ὁ μακάριος ἔλεγε Νύσσης, τὸ διὰ τοῦ υἱοῦ πεφυκέναι καὶ ἐκλάμπειν. ἐκ δὲ τοῦ πατρὸς ὑφεστάναι, καὶ τὴν αἰτίαν ἐκεῖθεν ἔχειν τῆς ὑποστάσεως. ὡς ἐπειδὰν ἐν τῷ υἱῷ μένον νοῆται, καὶ μὴ διεκκύπτον οἷον εἰπεῖν αὐτοῦ, οὔπω καλῶς ἡμῖν ἡ τοῦ πνεύματος ἰδιότης πρός γε τὸν υἱὸν τοῦ Θεοῦ γινώσκεται, ἀλλ' οἷον εἰπεῖν τῷ υἱῷ τὸ τοῦ πνεύματος ἐγκέ-

κρυπται

κρύπτει φῶς. τῇ μὲν ἐκ τῆς ἰδίας αἰτίας προόδῳ καλῶς ὑφιστάμενον. ἐν δὲ τῷ γεννητῷ φωτί πως λανθάνον καὶ διαφεῦγον τὸν ἡμέτερον νοῦν. ὁπόταν δὲ νοηθῇ δι' αὐτοῦ καὶ ἐξ αὐτοῦ προϊὸν, τότε τρανῶς εἰς τὴν οἰκείαν ὁρισθὲν ἰδιότητα διαλάμπει. λέγεται μὲν οὖν καὶ δι' υἱοῦ πεφηνέναι τοῖς ἀνθρώποις τὸ πνεῦμα, ὡς ἡ τοῦ θαυματουργοῦ φησὶν ἀποκάλυψις, καὶ πολλοὶ τῶν διδασκάλων οὕτω φασίν. ἀλλὰ τὰ τοῦ Νύσσης, τοῦτον ἔχει τὸν νοῦν. καὶ συνεφέλκεται μέν τινα καὶ ἀπὸ τοῦ προσκαίρου καὶ χρονικοῦ πράγματος τὸ πνεῦμα διάκρισιν, πρὸς ἡμᾶς γοῦν, καὶ τὴν ἡμετέραν κατάληψιν. δι' ἧς μετὰ τῶν ἄλλων ἰδίων γνωρισμάτων χαρακτηρίζεται. καθάπερ καὶ ὁ τοῦ Θεοῦ υἱὸς ἐκ τῆς οἰκονομίας ἐκείνης, πλείοσιν ἰδιότησι γνωρίζεται παρ' ἡμῶν. οὕτω τοῦ ἱεροῦ Διονυσίου, καὶ τινῶν ἄλλων ἱερῶν διδασκάλων διακρινόντων τὸν υἱὸν τοῦ Θεοῦ, τοῦ τε πατρὸς καὶ τοῦ πνεύματος, πρόσγε τοῖς ἄλλοις καὶ τῷ μονομερεῖ τοῦ προσλήματος. ἀλλὰ καὶ ἀϊδίως διὰ τοῦ υἱοῦ πεφηνέναι τὸ πνεῦμα, τῷ γε τῆς διακρίσεως λόγῳ, καὶ ἀληθές ἐστι, καὶ ὁ Νύσσης οὕτω δοκεῖ βούλεσθαι. ὥσπερ οὖν ὁπόταν μὲν ὁ υἱὸς τοῦ Θεοῦ λέγῃ, Ἐγὼ ἐν ,, Ἰωάν. ιδ.
τῷ πατρὶ καὶ ὁ πατὴρ ἐν ἐμοί, ἑαυτὸν καὶ τὸν πατέρα εἶναι βεβαιοῖ ἕν. ,,
ἐπειδὰν δὲ λέγει, Ἐγὼ ἐκ τοῦ πατρὸς ἐξῆλθον καὶ ἥκω, διακεκριμένον ,, Ἰωάν. η.
ἑαυτὸν τοῦ πατρὸς εἶναι συνίστησιν, οὕτως ὁπόταν μὲν ὁ ἱερὸς Ἀθανάσιος ἐν τῇ πρὸς Σεραπίωνα λέγῃ, Ὅτι τὸ πνεῦμα ἐστὶν ἐν τῷ υἱῷ, καὶ ὁ υἱὸς ,, Ἀθανάσ.
ἐν τῷ πνεύματι, τὴν ἑνότητα τῆς φύσεως ἐν αὐτοῖς βεβαιοῖ. ἐπειδὰν δὲ ,,
διὰ τοῦ υἱοῦ προϊέναι τοῦτο λέγῃ, αὐτός τε καὶ οἱ λοιποὶ τῶν καθ' ἡμᾶς διδασκάλων, τὴν καθ' ὑπόστασιν διάκρισιν αὐτῶν ἐμφαίνειν ἐθέλουσι. πῶς γὰρ ἂν καὶ νοοῖτο τὸ πνεῦμα ἰδιοσυστάτως, μὴ προσόδῳ τινὶ, τὴν ἀπὸ τοῦ υἱοῦ γνωρίζον ἡμῖν διάκρισιν, ἐν ᾧ μένειν πεπίστευται; καίτοι δι' αὐτοῦ προϊὸν, οὐδὲν ἧττον ἐστὶν ἐν αὐτῷ καθάπερ καὶ ὁ υἱὸς ἐν τῷ πατρὶ ἐστὶν ἐξ αὐτοῦ προϊών. Εἰ γὰρ καὶ ἰδίαν ὑπόστασιν ἑκάτερος ,, Κύριλ.
ἀπετέμετο, τὸν γοῦν εἰς ἅπαν διορισμὸν οὐ προσίεται, ἐν ϛ΄. τῶν πρὸς ,,
Ἑρμείαν ὁ ἱερὸς λέγει Κύριλλος. οὕτω τοίνυν τὸ πνεῦμα καὶ ἐν πατρὶ ἐστὶ καὶ υἱῷ κατὰ φύσιν. καὶ διακρίνεται αὐτῶν κατὰ τὴν ὑπόστασιν, τῷ

ἐκ τοῦ πατρὸς διὰ τοῦ υἱοῦ προϊέναι. ἀλλ' ἡ μὲν ἐκ τοῦ πατρὸς πρόοδος, τῆς αἰτίας ἐστὶν ὡς εἴρηται. ἡ δὲ διὰ τοῦ υἱοῦ, διακείσεως ἐστίν. ὑπάρξαν γὰρ ἐκ πατρὸς, καὶ οὕτως ἐκείνου διακειθὲν, ἅμα δὲ καὶ ἐν τῷ υἱῷ ὂν, ἅμα νοεῖται καὶ διεκχύτον ἐκείνου καὶ χαριζόμενον. ὅτε δὲ καὶ τῇ διακείσει ἡ σχέσις καὶ ἡ τάξις συναναφαίνεται, ἣν ὁ θεῖος παραδίδωσι λόγος. ὡς ἂν ἑαυτοῖς πανταχόθεν τὰ ἀληθῆ συμφωνοίη. κεχωρίσθαι μὲν γὰρ δεῖ τοῦ υἱοῦ τὸ πνεῦμα, ὥσπερ ἡ σαβέλλειος ἐλέγχηται συναλοιφή. ἑνῶσθαι δὲ δεῖ τοῦτο τῷ υἱῷ, ὥσπερ ἡ τῶν ἀρειανῶν καὶ τῶν πνευματομάχων φροῦδη γένηται ἀθεΐα. μετὰ τὸν υἱὸν δὲ νοεῖσθαι, ἵν' ἡ τάξις γνωρίζηται. ἣν φυλάττειν ὁ θεῖος θεσμὸς ἡμᾶς ἀναγκάζει. ἐκ δὲ τοῦ πατρὸς ὁμολογεῖσθαί τε καὶ πιστεύεσθαι, ἵνα τὸ τῆς θεότητος ἀξίωμα, ἐκ τῆς θεογόνου καὶ πηγαίας θεότητος αὐτῷ καθήκῃ, καθάπερ καὶ τῷ υἱῷ τοῦ Θεοῦ. καὶ πρὸς τούτοις μηδ' ἄναρχοι ᾖ. ταῦτα δὲ πάντα ἐν τῷ ἐκ πατρὸς δι' υἱοῦ λέγεσθαι τοῦτ' ἐκπορεύεσθαι, φανεροῦται καλῶς. ἐκ μὲν γὰρ τοῦ πατρὸς ἐκπορεύεσθαι λέγεται, ὅτι ἐκεῖθεν ὑφέστηκεν. ὅτι ἐκεῖθεν ἔχει τὸ εἶναι. ὅτι ἐκεῖθεν ἔχει τὴν αἰτίαν τῆς ὑπάρξεως. ὅτι ἐκεῖθεν ἔχει τὴν αἰτίαν τῆς ἐκπορεύσεως, οἱ θεολόγοι ταῦτα φασί. τῷ δὲ ἐκ πατρὸς τὸ δι' υἱοῦ πρόσκειται, ἵνα τε καὶ ἐν τῷ υἱῷ νοηθῇ. οὐ γὰρ ἄν ποτε προεληλύθει δι' αὐτοῦ, μὴ ἐν αὐτῷ ὄν. καὶ ἵνα διακεχειμένον αὐτοῦ πιστευθῇ. τοῦτο γὰρ ἐστὶ τὸ διϊέναι καὶ ἐξιέναι, τὸ διακεῖνεσθαι. ὡς ἕως ἂν ἀνεκφοίτητα τὰ πράγματα ᾖ, καὶ ἀδιάκειτα εἰσὶν ἐκείνων, ἐν οἷς εἰσὶν ἀνεκφοίτητα. καὶ ἵνα τρίτον ἀπὸ πατρὸς, κατὰ μόνην τῶν ὀνομάτων τὴν σύνταξιν (ὡς ὁ Κύριλλος λέγει) φανερωθῇ τὸ πνεῦμα τὸ ἅγιον μετὰ τὸν υἱὸν ἡμῖν ἐκ τοῦ πατρὸς συνεκλάμψαν. καὶ ἵνα μία θεότης ἐν τῇ τοιαύτῃ τάξει τῶν θείων ὀνομάτων καὶ ὑποκειμένων πιστωθῇ.

Ἀθανάσ. „Ἐπείτοιγε οἱ διαιροῦντες ἀπὸ τοῦ λόγου τὸ πνεῦμα, οὐκέτι μίαν τὴν „ἐν Τριάδι θεότητα σώζουσιν, ὁ ἱερὸς φησὶν Ἀθανάσιος ἐν τῇ πρὸς Σεραπίωνα. τούτου δὲ τοὐναντίον ποιοῦσιν, οἱ δι' υἱοῦ τοῦτο λέγοντες ἐκ τοῦ πατρὸς ἐκπορεύεσθαι. συνάπτουσι γὰρ τὰς θείας ὑποστάσεις ὡς ἐν ἀλύσει μιᾷ. καὶ ἐν τῷ δι' υἱοῦ τὸ πνεῦμα λέγειν ἐκ τοῦ πατρὸς, μίαν μὲν αἰτίαν

τὸν

τὸν πατέρα ποιοῦσι καὶ μόνον. τὸ δὲ συναφὲς παριστάνουσι τῆς οὐσίας, ὡς ὁ θεῖος εἴρηκε Μάξιμος. Ὅτι δὲ ἡ πρόοδος οὐ τὴν εἰς τὸ εἶναι μόνον ἰδιοσυστάτως προαγωγὴν τοῦ θείου προσώπου, ἔκ τινος θείου προσώπου δηλοῖ, ἀλλὰ καὶ ἁπλῶς τὴν ἀπό τινος προσώπου διάκρισιν. καὶ πρόεισι μὲν ἕνεκά γε τοῦ διακριθῆναι, καὶ ὡς διακεκριμένον γνωρίζεσθαι. διακρίνεται δὲ κατ᾽ αἰτίαν ἀντιθετικῶς ἄν, καὶ ἐξ αὐτοῦ τὸ εἶναι ἔχῃ, ἢ ἄλλως πῶς ὡς ἡ τῶν ὑποστάσεων ἰδιότης καὶ ὕπαρξις ἀπαιτεῖ. καὶ ὅτι τὸ προκύπτειν καὶ διεκκύπτειν καὶ τὰ τοιαῦτα, οὐχ᾽ ἡμέτεραι εἰσίν, ἀλλὰ τῶν διδασκάλων φωναί. εἷς ἡμῖν ἀρκέσῃ τῶν διδασκάλων ἀξιόχρεως μάρτυς, τὰ χοῦς φροντίζουσιν. ὃν καὶ Λατῖνοι μόνον ἀντὶ πάντων ἀρκεῖν ἡγοῦνται δικαίως, ἐν οἷς αὐτὸν οἴονται σφίσι συμμαχεῖν, ἀπατώμενοι. ἐκεῖνος γὰρ ἐν ε. τῶν πρὸς Ἑρμείαν, οὕτω φησὶ περὶ τοῦ υἱοῦ, ἐν τῇ πρὸς τὸν πατέρα ἀποβλέψει. Εἰ τοίνυν λέγει τὸ χαρακτὴρ τῆς ὑποστάσεως τοῦ πατρὸς, ἀχωρίστως τε ἅμα, καὶ προσπεφυκότως συνυπάρχοντα νόει. καὶ οἱονεὶ τὸ εἶδος αὐτοῦ τοῦ γεγεννηκότος. ἠνίχα δ᾽ ἂν καὶ ἀπαύγασμα μόνον οὐχὶ φωτὸς προέντος καὶ ἀπαστράψαντος, εἰς νοῦν ἔχε τὴν ἐκ πατρὸς οἱονεί πως πρὸς τὰ ἔξω διαδρομήν. οὔτε εἰς ἅπαν ἀπηλλαγμένως τῆς ὅθεν ἐστὶν ὑποστάσεως, οὔτε μὴν εἰς ἅπαν συνεσταλμένως. προεκκύπτουσαν δὲ ὥσπερ εἰς τὸ ὑφεστάναι καθ᾽ ἑαυτὴν, εἰς ὕπαρξιν ἰδικήν. ἐμφιλοχωρεῖ μὲν γὰρ τῇ τοῦ πατρὸς φύσει, μόνον οὐχὶ ῥίζαν ἔχων αὐτὴν ὁ υἱός. καὶ τῆς τομῆς εἰσάπαν οὐκ ἀνεχόμενος. πλὴν ὑφέστηκεν ἰδικῶς. καὶ ἔστιν υἱὸς ἀληθῶς: καὶ ἐν ϛ. τῶν πρὸς Ἑρμείαν, πάλιν περὶ τοῦ υἱοῦ φησί. Μᾶλλον δὲ ὥσπερ ἐστὶ σοφία καὶ δύναμις τοῦ πατρὸς, οὕτως ἂν εἴη καὶ δόξα. τῆς τοῦ τεκόντος οὐσίας ἀφράστως ἀπηυγασμένος. καὶ τὴν ὅθεν ἐξέφυ δι᾽ ἑαυτοῦ κατασημαίνων φύσιν. καθάπερ τις ἡλίου βολὴ καὶ φωτὸς ἀπαύγασμα, τῆς τοῦ προέντος διεκκύπτον οὐσίας. Ἰδοὺ σαφῶς, προεκκύπτειν ὡσανεὶ φησὶ τὸν υἱὸν εἰς τὸ ὑφεστάναι καθ᾽ ἑαυτὸν, εἰς ὕπαρξιν ἰδικήν. καὶ οἱονεὶ πρὸς τὰ ἔξω διεκδρομήν τινα εἶναι τὴν ἐκ πατρὸς τοῦ υἱοῦ πρόοδον βούλεται. ἄλλως γὰρ οὐκ ἂν νοοῖτο διακεκριμένον. ἀλλ᾽ οὐκ ἔστι λόγος τῆς διακρίσεως, αὐτὸ τοῦτο τὸ διακριθῆναι. ἀλλ᾽ ὁ

Κύριλ.

τρόπος ᾧ διακείνεται. διακείνεται δὲ τοῦ πατρὸς ὁ υἱὸς, τῇ κατ' αἰτίαν ἀντιθέσει. ἐν κοινῷ τὸ αὐτὸ καὶ ἐπὶ τοῦ υἱοῦ δεῖ νοεῖν. ὅτι διὰ τοῦ υἱοῦ προϊέναι τὸ πνεῦμα λέγεται, οἱονεὶ προεκκύπτον ἐκείνου, εἰς τὸ ὑφεστάναι καθ' ἑαυτὸ πρὸς ὕπαρξιν ἰδικήν. ἄλλως γὰρ οὐκ ἂν νοοῖτο διακεκειμένον αὐτοῦ καθ' ὑπόστασιν, εἴγε ἐν αὐτῷ μένειν καὶ εἶναι κατὰ φύσιν μόνον θεολογοῖτο. ἀλλ' οὐκ ἔστιν ὁ λόγος τῆς διακείσεως αὐτὸ τοῦτο τὸ διακεῖσθαι. ἀλλ' ὁ τρόπος ᾧ διακείνεται. ὅτι τὸ διαφόρως ἐκ τοῦ πατρὸς προελθεῖν, ὡς ἀποδέδεικται πρότερον. ὅτι δὲ οὐ τὸν αὐτὸν ἀποδίδωσι λόγον τῆς διακείσεως, αὐδ' οὗτος ὁ διδάσκαλος, δῆλον ἐξ

Ὁ αὐτός. » ὧν ἐπάγει περὶ τοῦ πνεύματος ἐν τῷ αὐτῷ λόγῳ. εἰπὼν γὰρ, Ὅτι ὁ
» δεσπότης ἡμῶν ἐκ τοῦ ἐμοῦ λήψεται φάσκων, τὴν οὐσιώδη καὶ φυσικὴν
» οἰκειότητα δέδειχεν ἐναργῶς, εἶτα ἐπάγει. πνεῦμα γὰρ σοφίας καὶ δυνά-
» μεως ὂν, σοφία πάντως καὶ δύναμις ἐστίν. ὅλην ἐξ ὅλου τὴν τούτου περιϊ-
» όντος ἐνέργειαν ἀποσώζον ἐν ἑαυτῷ. καὶ ὡς ἐν ἰδίᾳ φύσει, καταδεικνύον
» εὖ μάλα τὴν οὗπερ ἐστί. Τὸ μὲν γὰρ προϊέσθαι τὸ πνεῦμα, καὶ οἱονεὶ πνέειν αὐτὸ, κοινὸν εἶναι τοῦτο πατρὶ καὶ υἱῷ βούλεται. τούτου γὰρ ἕνεκα καὶ πνεῦμα πατρὸς καὶ υἱοῦ παρά τε τῇ γραφῇ, καὶ πνοὴ παρὰ τοῖς ἱεροῖς διδασκάλοις κατονομάζεται. ὅτι παρ' ἀμφοτέρων πνεῖται. καὶ παρ' ἀμφοτέρων ἐκπέμπεται φυσικῶς. ὡς αὐτὸς φησὶν ὁ Κύριλλος ἐν θησαυ-

Ὁ αὐτός. » ροῖς. Ὅτι ἐκ τῆς θείας οὐσίας φυσικῶς ἐκπεμπόμενον, ὅλην ἔχει τοῦ πα-
» τρὸς καὶ τοῦ υἱοῦ τὴν ἐνέργειαν. ἐπειδὰν γὰρ φησὶν ἐκπέμπηται, τὴν τοῦ πατρὸς καὶ υἱοῦ παρουσίαν ἀποπληροῖ. τοῦτο μὲν οὖν βούλεται κοινὸν εἶναι πατρὶ καὶ υἱῷ, τὸ προΐεσθαι τὸ πνεῦμα, καὶ ἐκπέμπειν, καὶ ὥσπερ πνέειν αὐτὸ, ὅτε δὴ καὶ διακεκειμένον αὐτῶν νοεῖται. ὡς ἐν τῷ προϊέναι καὶ πνεῖσθαι παρ' αὐτῶν διϊστάμενον. οὐ μέντοιγε τὸν αὐτὸν ἀποδίδωσι λόγον τῆς διακείσεως. ὅθεν περὶ μὲν τοῦ υἱοῦ ἔλεγε, τὴν ὅθεν ἐξέφυ. καὶ τὴν ἐξ οὗπερ ἐστὶ κατασημαίνων φύσιν. τουτέστιν ἐκ τοῦ πατρός. περὶ δὲ τοῦ πνεύματος αὖ καὶ τοῦ υἱοῦ τὸν λόγον ποιούμενος, ἐν ἑαυτῷ φησὶ καταδεικνύει ὡς ἐν ἰδίᾳ φύσει, τὴν φύσιν οὗπερ ἐστὶ, δηλαδὴ τοῦ υἱοῦ. πνεῦμα γὰρ αὐτοῦ ἐστίν. Οὕτω καλῶς συνεφώνει τῷ Κυρίλλῳ ὁ Δαμασκηνός.

λέγων,

λέγων, Πνεῦμα υἱοῦ λεγόμενον. ἐκ τοῦ υἱοῦ δὲ οὐ λεγόμενον. τὸ γὰρ ἐκ τοῦ „ Δαμασκ. υἱοῦ, καὶ διὰ τοῦ υἱοῦ προϊέναι λέγοντος ἀκούων Κυρίλλου, καλῶς ταῦτα, καὶ τῇ χρείᾳ τῶν προκειμένων λόγων οἰκείως ἐδέχετο. καθάπερ καὶ ἡμεῖς ἐν τοῖς προτέροις λόγοις δεδείχαμεν.

ΚΕΦΑΛΑΙΟΝ να.

Ὅτι αἱ ἐξηγήσεις αὗται, οὐκ εἰσὶν ἀλλήλων ἀπᾴδουσαι. ἀλλ' ἐκ πασῶν τούτων, μία ἀληθὴς διάνοια συναθροίζεται, τῆς τῶν Λατίνων διανοίας κεχωρισμένη.

Εἰ δὲ νῦν μὲν τὸ δι' υἱοῦ πρόοδόν τινα διακρίσεως δηλοῦν ἀπεδείξαμεν, περὶ δὲ τούτου, τὴν κατ' οὐσίαν συνάφειαν, θαυμάζειν οὐδεῖ. καὶ ἄμφω γὰρ ἀληθῆ ἐστί. καὶ κατ' ἄμφω τὰς ἐννοίας οἱ διδάσκαλοι, τῇ προθέσει κέχρηνται ταύτῃ. καὶ εἰκότως. ἥ τε γὰρ διάκρισις ἐν τοῖς θείοις, τὸν τῆς ἑνώσεως συνεισφέρει λόγον, καὶ ἡ ἕνωσις τὸν τῆς διακρίσεως ἔχει συνεπαγόμενον. καὶ οὔτε διάκρισις ἐστὶν ἀληθὴς, οὐδεμία ἐπὶ τῶν θείων, μὴ καὶ τὴν ἕνωσιν πλαγίως πως συνεισφέρουσα, οὔθ' ἕνωσις, μὴ καὶ τὴν διάκρισιν εὐθὺς διδάσκουσα νοεῖν. ὅθεν τὸ ἐκ τοῦ πατρὸς ἐκπορεύεσθαι τὸ πνεῦμα, καὶ διακρίσεως σημεῖον τῆς καθ' ὑπόστασιν, καὶ ἑνώσεως τῆς κατὰ φύσιν, οἱ ἱεροὶ πατέρες ποιοῦνται. καὶ τὸ τὸν υἱὸν ἐκ τοῦ πατρὸς γεννᾶσθαι ὡσαύτως. καὶ τούτου κομίζειν ἀποδείξεις οὐδεῖ, σαφεστάτου τοῖς ὁπωσοῦν εἰδόσι τὰ τῶν διδασκάλων τυγχάνοντος. ἐπεὶ δὴ τοίνυν ἐν τῷ δι' υἱοῦ τὸ πνεῦμα προϊέναι, ἡ τῆς οὐσίας ἕνωσις δηλοῦται, οὐκ ἀπεικότως ἂν καὶ ἡ τῶν ὑποστάσεων διάκρισις διὰ τούτου σημαίνοιτο. καὶ τὸ ἀνάπαλιν. χρῶνται δὲ μάλιστα, πρὸς τὴν ἑκάστοτε καταναγκάζουσαν χρείαν, τῷ σημαινομένῳ τῆς προθέσεως οἱ διδάσκαλοι, καὶ διαιρεῖν δοκοῦσιν αὐτό. ὅθεν καὶ δοκοῦσι πρόυργου, ποτὲ μὲν τὴν συνάφειαν μόνην ἐντεῦθεν κατασκευάζειν. ποτὲ δὲ τὴν διάκρισιν.

ἀλλ᾽ ἡμεῖς τὰς ἰδίᾳ που καὶ χωρὶς κειμένας τῶν διδασκάλων ἐννοίας συνάγοντες, ὡσὰν αὐτοὶ βουληθεῖεν, ἐκ πασῶν ἀθροίζομεν τ᾽ ἀληθές. ἐκείνοις μὲν γὰρ ἰδίᾳ τῶν λόγων ἦν ἑκάστοτε χρεία. ἡμῖν δὲ ἡ παροῦσα χρεία, πᾶσαν αὐτῶν συναθροῖσαι τὴν γνώμην προτρέπεται. καὶ συνιδεῖν, πότερον ἐκεῖνοι τὴν αἰτίαν ἢ βούλοντο παριστᾷν ἐν τῷ διὰ υἱοῦ, ὡς νῦν τοῖς περὶ Λατίνους δοκεῖ. ἢ ἄλλο τι διδάσκειν ἡμᾶς ἤθελον. τοῦτο δὲ ῥᾷδιον μὲν ἦν ἐκ τῆς Μαξίμου διδάξαντας ἐπιστολῆς πρὸς Μαρῖνον, ἀπηλλάχθαι πραγμάτων. ἐκείνη γὰρ καὶ τὴν τῶν ἄλλων διδασκάλων ἁπάντων, καὶ αὐτοῦ Μαξίμου, καὶ τῶν πότε Λατίνων, δείκνυσι γνώμην. ἔτι γὰρ οἱ Λατῖνοι τῶν διδασκάλων σωφρονέστερον ἤκουον. ἀλλ᾽ ὅμως ἐχρῆν ἡμᾶς, ἀπ᾽ αὐτῶν τῶν διδασκάλων καὶ τῶν κοινῶν ὑποθέσεων τοῦθ᾽ εὑρόντας, καὶ σαφῶς οὑτωσὶν ἐκθεμένους, πεῖσαι πάντας τοὺς τοῖς ἡμετέροις διδασκάλοις προσέχειν ἐθέλοντας, ὅτι πολύ γε ἀπεῖχον ἐκεῖνοι, ἐν τῷ διὰ υἱοῦ τὸ πνεῦμα ἐκπορεύεσθαι λέγειν, αἴτιον νομίζειν τῆς τοῦ πνεύματος ὑποστάσεως τὸν υἱόν. καὶ παρὰ τοσοῦτον μὴ λέγειν ἐκ τοῦ υἱοῦ, παρόσον αἴτιον τὸν υἱὸν ᾔδεσαν ἐξ αἰτίου. καὶ ἀρχὴν ἐξ ἀρχῆς. ἄνευ δὲ τούτου, ἀδιαφόρως ἂν χρήσασθαι ταῖς προθέσεσι. ταῦτα γὰρ μωρία πολλὴ καὶ ἄγνοια περὶ τῶν ἡμετέρων διδασκάλων οὕτω φρονεῖν, σαφῶς οὕτω τὴν ἑαυτῶν παριστώντων διάνοιαν, ὡς καὶ τυφλοῖς ἔκδηλον (ὃ λέγεται) εἶναι. οἰόμεθα δὲ καὶ αὐτοῖς τοῖς διδασκάλοις νῦν πράττειν χαρίεντα, τὴν ἐκείνων γνώμην οὕτω πανταχόθεν εἰς ἓν συνάγοντες. κἀκεῖνοι γὰρ ἔσθ᾽ ὅτε συνάγουσιν. ἢ τί βούλεται τῷ Νύσσης ἕτερον, ἐπειδὰν περὶ τῶν θείων προσώπων διαλεγόμενος φάσ-
Γρηγ. „κη, Τὸ πνεῦμα τὸ ἅγιον, ἐκ μὲν τοῦ Θεοῦ τῶν ὅλων τὴν αἰτίαν ἔχειν τοῦ
Νύσσ. „εἶναι, ὅθεν καὶ τὸ ἀληθινόν ἐστι φῶς, διὰ δὲ τοῦ ἀληθινοῦ φωτὸς ἐκλάμ-
„ψαν. καὶ αὖθις. Διὰ τοῦ υἱοῦ μὲν ἐκλάμπειν. τὴν δὲ τῆς ὑποστά-
„σεως αἰτίαν ἔχειν ἐκ τοῦ πρωτοτύπου φωτός. Ἆρ᾽ οὖν ταὐτόν τι λέγει τῷ
Βασιλ. „ἀδελφῷ, λέγοντι, Τοῦτο γνωριστικὸν τῆς κατὰ τὴν ὑπόστασιν ἰδιότητος
„σημεῖον ἔχειν τὸ πνεῦμα τὸ ἅγιον, τὸ μετὰ τὸν υἱὸν καὶ σὺν αὐτῷ γνω-
„ρίζεσθαι, ἐκ δὲ τοῦ πατρὸς ὑφεστάναι; πάντως, εἰ μὴ ὁ ἕτερος τούτων ἐν-

δεύτερον

δεύτερον ἔλεγεν. οὐκοῦν τὸ διʼ υἱοῦ ἐκλάμπειν, τοῦτʼ ἔστι, τὸ μετὰ τὸν υἱὸν καὶ σὺν αὐτῷ γνωρίζεσθαι. ὥσπερ τὸ ἐκ τοῦ πατρὸς ὑφεστάναι, ταυτὸν ἐστὶ, τῷ τὴν τῆς ὑποστάσεως αἰτίαν ἔχειν ἐκ τοῦ πρωτοτύπου φωτός. ἀλλὰ τὸ μετὰ τὸν υἱὸν καὶ σὺν αὐτῷ ἐκλάμπειν, εἴτουν γνωρίζεσθαι, τὴν κατʼ οὐσίαν συνάφειαν καὶ τὴν προσωπικὴν διάκρισιν καὶ τάξιν, πρὸς τὸν υἱὸν σημαίνει τοῦ πνεύματος. τὸ μὲν γὰρ σὺν αὐτῷ, τὴν ἕνωσιν βούλεται. τὸ δὲ μετʼ αὐτὸν, τὴν διάκρισιν καὶ τὴν συνεπομένην τάξιν ἐμφαίνει. οὐκοῦν καὶ τὸ διʼ υἱοῦ τὴν ἕνωσιν καὶ τὴν διάκρισιν ἅμα παρίστησιν. ὥστε καὶ ἡμῖν καλῶς τε πρότερον ἐλέγετο, ταυτὸν εἶναι εἰπεῖν διʼ υἱοῦ, ὅσπερ μετὰ τὸν υἱὸν, καὶ σὺν τῷ υἱῷ. καὶ νῦν ἐναργέστερον ἀποδέδεικται ἐν τῷ διʼ υἱοῦ. τοὺς παρʼ ἡμῖν διδασκάλους, τὴν ἕνωσιν καὶ τὴν διάκρισιν τοῦ υἱοῦ καὶ τοῦ πνεύματος παριστᾶν, οὐκ αἰτίαν ἐξ αἰτίας τὸν υἱὸν εἶναι οἴεσθαι.

ΚΕΦΑΛΑΙΟΝ νβ.

Ὅτι κατὰ τὰ προϋποτεθειμένα ῥᾳδίως καὶ ἀληθῶς ὑπὲρ ἡμῶν δείκνυνται ὄντα, τὰ τῶν διδασκάλων ῥητὰ ἐκεῖνα, ἐν οἷς λέγεται τὸ πνεῦμα διʼ υἱοῦ εἶναι, ἢ ἐκπορεύεσθαι.

Οὕτως ἡμεῖς τοὺς ἱεροὺς διδασκάλους ἐκείνους νοοῦμεν, ἐπειδὰν λέγωσιν ἐκ πατρὸς διʼ υἱοῦ εἶναι, ἢ προβάλλεσθαι, ἢ ἐκπορεύεσθαι, τὸ πνεῦμα τὸ ἅγιον. καὶ τῆς μὲν Ἀθανασίου ῥήσεως, αὐτῷ χρώμεθα διδασκάλῳ καὶ ἑρμηνεῖ. φησὶ γὰρ οὕτως ἐκεῖνος. τὴν ὑπόκρισιν ἐλέγχων τῶν περὶ τὸν Σαμοσατέα Εὐσέβειον. „Ὅμως γοῦν ὡς γέννησιν ἀπαθῆ διὰ τῆς τοιαύτης ἐξηγήσεως τὴν τοῦ υἱοῦ νοοῦντες πρόοδον, τὸ πνεῦμα „ ἀλλοτριοῦσι πατρὸς καὶ υἱοῦ, ὅτι μὴ γεννήσει ἡ τούτου πρόοδος, ἀλλὰ „ πνεύσει ὁμοιοῦται διὰ τὴν μετάληψιν, ὡς πνοῆς ἐκ στόματος ἐρχομένης. „ καὶ τοῖς μεταλαμβάνουσι ἀναζώσης καθὰ δὴ λέγεται πνεύματος. ἣν „ δʼ ἀδύνατον „ Ἀθανάσ.

» δ' ἀδύνατον ἐν τῇ τῆς Τριάδος δόξῃ τὸ πνεῦμα δοξάζεσθαι, μὴ προο-
» δικῶς ὂν ἐκ Θεοῦ δι' υἱοῦ. ἀλλὰ ποιητικῶς ἐκ Θεοῦ γεγονὸς ὡς λέγουσιν.
» οὐ γὰρ συνδοξάζεται ποίημα ποιητῇ. οὐδὲ δοῦλος δεσπότῃ. οὐδὲ ἡ
Ἰωάν. ἐπ. » τῆς ἀλλοτρίας Θεοῦ οὐσίας, μέθεξις ἂν εἴη Θεοῦ. Ἐν τούτῳ γὰρ φησὶ γι-
α. κεφ. γ. » νώσκομεν ὁ Ἰωάννης, ὅτι ἐν ἡμῖν ἐστιν, ἐκ τοῦ πνεύματος οὗ ἔδωκεν ἡμῖν.

Προκατασκευάσας γὰρ ἐξ ὧν καὶ αὐτοὶ συγχωροῦσιν οἱ περὶ τὸν Εὐσέβιον, ὡς ὁ υἱὸς ὁμοούσιος ἐστὶ τῷ πατρί, εἰ καὶ ἐκεῖνοι τὴν λέξιν οὐ προσίεντο ταύτην κακούργως. ὡσὰν ἐξ ὧν συγχωρεῖν δοκοῦσιν ὀψέποτε. τὴν ταυτότητα τῆς οὐσίας, διὰ τῆς τοῦ ὁμοιουσίου φωνῆς ἀνελῶσιν, εἶτα καὶ λόγον ἐκείνων τινὰ περὶ τοῦ πνεύματος τίθησι. δι' οὗ τὸ πνεῦμα, πατρὸς καὶ υἱοῦ ἀλλότριον ἐπειρῶντο δεικνύειν. ἔλεγον γὰρ, τὴν μὲν πρόοδον τοῦ υἱοῦ γέννησιν οὖσαν, φυσικὴν εἶναι πρόοδον ὑποστάσεως θείας ἐξ ὑποστάσεως. καὶ διὰ τοῦτο τὸν υἱὸν ἐκ τῆς θείας εἶναι οὐσίας. τὴν δὲ τοῦ πατρὸς πρόοδον μὴ γεννήσει ὁμοιουμένην, ἀλλὰ πνεύσει, μὴ εἶναι πρόοδον ὑποστάσεως ἐξ ὑποστάσεως. μὴ δὲ τὸ πνεῦμα εἶναι ἐκ τῆς θείας οὐσίας. ἀλλὰ τὴν μετάληψιν ἣν ἡμεῖς μεταλαμβάνομεν τοῦ Θεοῦ, τοῦτ' εἶναι τὸ τοῦ Θεοῦ πνεῦμα. καθ' ὁμοιότητα πνοῆς ἐκ τοῦ στόματος ἐξιούσης, καὶ τὸν ταύτης ἀγιαζούσης μεταλαμβάνοντα. τοῦτον δὲ τὸν λόγον ὁ μέγας οὗτος ἐλέγχει διχῶς. πρῶτον μὲν γὰρ ἐκ τῶν περὶ τοῦ πνεύματος ὁμολογουμένων αὐτοῖς ἀνατρέπει. τὸ γὰρ πνεῦμα φησὶν, ἐν τῇ τῆς Τριάδος δόξῃ δοξάζεται, ἐπειδὰν τὸν ἐν Τριάδι ἕνα Θεὸν ἀνυμνῶμεν, καὶ τὸ πνεῦμα συμπεριλαμβάνωμεν. ἅτε τὴν ἄκραν ἐκείνην καὶ ἀπλουστάτην ἑνότητα τῆς θεότητος, ἐκ πατρὸς δι' υἱοῦ ἐπὶ τὸ πνεῦμα διήκειν ὑπερφυῶς ἐννοοῦντες. καὶ διὰ τοῦτο τριῶν ἑνάδα ὑπερηνωμένην, τὴν μακαρίαν Τριάδα φρονοῦμεν τε καὶ ὁμολογοῦμεν. τοῦτο δ' ἀδύνατον ἂν ἦν, εἰ μὴ προοδικῶς ἦν τὸ πνεῦμα ἐκ Θεοῦ δι' υἱοῦ, ἀλλὰ ποιητικῶς, ὡς αὐτοὶ λέγουσιν. ἔδει γὰρ αὐτὸ μᾶλλον τοῖς κτίσμασιν ἐναρίθμιον εἶναι, καὶ μὴ τῷ πατρὶ καὶ τῷ υἱῷ συνδοξάζεσθαι. οὐκοῦν προϊὸν μὲν ἐκ πατρὸς δι' υἱοῦ ἐν τῇ τῆς ἑνάδος δόξῃ δοξάζεται. τοῦτο γὰρ ἐστὶν ἡ θεία Τριάς. ἡ θεία φύσις αὕτη, τὰς τρεῖς ὑποστάσεις ταύτας εὐτάκ-

τως

πας διαλαμβάνουσα. ἐν δὲ τῇ τῆς Τριάδος δοξαζόμενον δόξῃ Θεὸς εὐλόγως ἐστὶ καὶ οὐ ποίημα. εἴπερ ὁ Θεὸς ὡμολόγηται Τριὰς εἶναι. οὐ γὰρ συνδοξάζεται ποίημα ποιητῇ, οὐδὲ δοῦλος δεσπότῃ. τοῦτο δ᾽ αὐτό, καὶ ἐν τῷ περὶ τῆς ἐνσάρκου οἰκονομίας φησίν. Ἀσεβὲς οὖν ἐστὶ, κτιστὸν ἢ ποιητὸν λέγειν τὸ πνεῦμα τοῦ Θεοῦ, ὁπότε πᾶσα γραφὴ παλαιά τε καὶ καινὴ, μετὰ πατρὸς καὶ υἱοῦ συναριθμεῖ αὐτὸ καὶ δοξάζει. διατοῦτο τοίνυν, τὸ συναριθμεῖσθαι πατρὶ καὶ υἱῷ, τοῦτ᾽ εἶναι λέγει τὸ εἶναι ἐκ Θεοῦ δι᾽ υἱοῦ. καὶ τοῦτ᾽ εἶναι λόγον τινὰ τῆς μακαρίας Τριάδος, τὸ, τὸ πνεῦμα ἐκ πατρὸς δι᾽ υἱοῦ εἶναι. τουτέστι τὴν μακαρίαν ἐκείνην οὐσίαν, ἐκ πατρὸς δι᾽ υἱοῦ πρὸς τὸ πνεῦμα δείκνυσθαι, ὡς οὕτως εἰπεῖν. εἶτα καὶ τὸν δεύτερον τίθησι λόγον, τὸ μετέχειν φησὶν οὐσίας ἀλλοτρίας Θεοῦ, οὐκ ἔστι Θεοῦ μετέχειν. ἡμεῖς δὲ ἐν τῷ μετέχειν τοῦ πνεύματος, οἴδαμεν ὅτι μετέχομεν τοῦ Θεοῦ, ὡς ὁ μακάριος Ἰωάννης λέγει. οὐκοῦν τὸ πνεῦμα, οὐκ ἔστι τῆς θείας οὐσίας ἀλλότριον. λέγει δὲ φησὶν ἐκ Θεοῦ μὴ ποιητικῶς εἶναι, ἀλλὰ προοδικῶς. τουτέστιν ἐκπορεύεσθαι, οὐ δημιουργεῖσθαι. καὶ τὸ μὲν προοδικῶς, πρὸς τὸ ποιητικῶς ἀντιτάττει. ὡς τὸ φυσικῶς δηλονότι πρὸς τὸ θελητικῶς. εἶναι δὲ ἐκ τοῦ Θεοῦ λέγει διὰ τοῦ υἱοῦ. διότι οὐ κεχώρισται τῆς γεννήσεως ἡ πνεῦσις, καθάπερ ἐκεῖνοι φασίν. ἀλλὰ διαφέρει μὲν, οὐκ ἔξω δὲ ἐκείνης ἐστί. καὶ τὸ πνεῦμα, διακέκριται μὲν τοῦ υἱοῦ, οὐκ ἐκτὸς δὲ αὐτοῦ ἐστιν, ὡς αὐτὸς ἀλλαχόθεν λέγει. καὶ οὕτως ἐκ τοῦ πατρὸς δι᾽ υἱοῦ ὄν, ὃν ἐκεῖνοι συνεχώρουν ἐκ τῆς θείας οὐσίας εἶναι, εἰ καὶ κακούργως, εἰκότως ἐν τῇ τῆς Τριάδος δόξῃ δοξάζεται, ὡς συμπληρωτικὸν τῆς μακαρίας Τριάδος, ἐν τῇ αὐτῇ τῆς οὐσίας ἑνότητι, καὶ Θεὸς ἐστὶν ἐξ ἀνάγκης. οὕτω καὶ τῆς οἰκουμενικῆς ἀκούειν ἑβδόμης συνόδου δεῖ, λεγούσης, Καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον, τὸ ἐκ τοῦ πατρὸς δι᾽ υἱοῦ ἐκπορευόμενον. καὶ προστιθείσης, Καὶ αὐτὸ Θεὸν εἶναι γνωριζόμενον. καὶ ὁ θεῖος Μάξιμος, Τὸ πνεῦμα τὸ ἅγιον, ὥσπερ κατ᾽ οὐσίαν ὑπάρχει τοῦ Θεοῦ καὶ πατρὸς (φησὶν,) οὕτω καὶ τοῦ υἱοῦ κατ᾽ οὐσίαν ἐστὶν, ὡς ἐκ τοῦ πατρὸς οὐσιωδῶς δι᾽ υἱοῦ γεννηθέντος, ἀφράστως ἐκπορευόμενον. καὶ τί θαυμαστὸν εἰ τῆς συμφυΐας τοῦ πνεύματος πρὸς τὸν πατέρα καὶ τὸν υἱὸν ἀπό-

Ὁ αὐτός.

Σύνοδ. ζ.

Μάξιμ.

Hh δειξιν

δειξιν ὁ θεῖος ποιῆται Μάξιμος, τὸ ἐκ πατρὸς αὐτὸ προϊέναι διὰ τοῦ
γεννηθέντος υἱοῦ, ὅπουγε καὶ τὸ ἐκ πατρὸς διὰ υἱοῦ ἐκκεχύσθαι (ὅπερ ὕστερον
Ἀθανάσ. » ἐστὶ καὶ χρονικὸν) σημεῖον ποιοῦνται τῆς κατ' οὐσίαν ταυτότητος; Ἐὰν γὰρ
» δειχθῇ φησὶν ὁ θεῖος Ἀθανάσιος, τῆς αὐτῆς εἶναι φύσεως καὶ θεότητος
» τῆς ἐν υἱῷ καὶ πατρὶ τὸ πνεῦμα, τὸ ἐξ αὐτοῦ τοῦ πατρὸς διὰ τοῦ υἱοῦ ἐκ-
χυθέν, καὶ προσκυνητὸν καὶ λατρευτὸν ἀποδειχθήσεται. καὶ τὴν ἀπόδειξιν
ἐντεῦθεν ἐπάγει. καὶ ὁ Δαμασκηνὸς Ἰωάννης τὴν τὰ βάθη τοῦ πνεύμα-
Κορινθ. α. » τος ἐρευνῶσαν καὶ ἡμῖν ἐκφαίνουσαν δύναμιν, ὡς δὴ πνεῦμα, οὐδεὶς γὰρ
κεφ. β. » φησὶν οἶδε τὰ τοῦ ἀνθρώπου, εἰμὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ κατοικοῦν
» ἐν αὐτῷ. ταύτην τοίνυν τὴν ἐκφαντορικὴν δύναμιν (τὸ πνεῦμα λέγω
τὸ ἅγιον) ἐκ τοῦ πατρὸς διὰ υἱοῦ φησὶν ἐκπορεύεσθαι. καὶ πάλιν τὸν πα-
τέρα μὲν εἶναι τοῦ λόγου γεννήτορα. διὰ δὲ λόγου προβολέα τοῦ ἐκ-
φαντορικοῦ τούτου πνεύματος. οὐ γὰρ ἔμελλε λέγειν διὰ λόγου γεννή-
τορα. ἀλλὰ προβολέα μὲν φησὶν εἶναι. ὥσπερ καὶ τοῦ λόγου γεννήτορα.
τὸ δὲ διὰ λόγου προστίθησιν, ἵνα τὴν τάξιν τῶν προσώπων, καὶ τὴν
τῆς οὐσίας δηλώσῃ συνάφειαν, τῇ τοιαύτῃ μεσιτείᾳ τοῦ λόγου. προβο-
λέα δέ, οὐ διὰ τοῦτο δηλοῖ τὸν λόγον τοῦ πνεύματος, πόθεν ὅς γε οὐδ'
ἐκ τοῦ υἱοῦ τοῦτ' εἶναι συγχωρεῖ, οὐδ' ἐξ αὐτοῦ τὴν ὕπαρξιν ἔχειν, καὶ μόνον
αἴτιον εἶναι τὸν πατέρα φησὶν αὐτοῦ; ἡμεῖς τοίνυν τοσοῦτον ἀπέχομεν,
τεττάρων τινῶν ἢ πέντε ῥήσεων ἕνεκα τῶν προειρημένων θορυβεῖσθαι, ἐν
αἷς ἐκ Θεοῦ διὰ υἱοῦ τὸ πνεῦμα εἶναι λέγεται ἢ ἐκπορεύεσθαι, ὥστε καὶ τιμῶ-
μεν αὐτὰς ὁμοίως ταῖς ἄλλαις. καὶ συμφώνους ἐκείναις εἶναι βουλόμεθα.
καὶ κατὰ τὰ προϋποτεθειμένα νοοῦμεν αὐτάς. ὡς οὐ τὸν υἱὸν παριστῶσας
τοῦ πνεύματος αἴτιον. ἀλλὰ τὴν παραδεδομένην τῶν θείων ὀνομάτων
τάξιν, καὶ τὴν πραγματικὴν τῶν προσώπων διάκρισιν. καὶ τὴν διὰ αὐ-
τῶν ἁπάντων ἐκλάμπουσαν ἑνότητα τῆς οὐσίας δηλοποιούσας. ἀλλ' ἐπει-
δὰν ἐκ πατρὸς διὰ υἱοῦ χορηγεῖσθαι τῇ κτίσει, ἢ δίδοσθαι, ἢ πέμπεσθαι, ἢ
φανεροῦσθαι, λεγόντων τῶν διδασκάλων ἀκούωμεν, ἀναρίθμητοι δὲ σχε-
δὸν αἱ τοιαῦται ῥήσεις εἰσίν, ἐν ταύταις ἁπάσαις καὶ τὴν αἰτίαν πρὸς τοῖς
εἰρημένοις νοοῦμεν. οὐχ ἕνεκά γε τῆς διὰ προθέσεως, ἀλλὰ διότι τὸ ἐν

ταῖς

ταῖς προστάσεσι ταύταις νοούμενον ἔργον, κοινὸν ὅλης τῆς θεότητος ἔργον εἶναι πιστεύομεν, ἐν ᾧ αἱ ὑποστάσεις ἐνεργοῦσι πᾶσαι ἐπίσης, ἐκ μιᾶς ἐνεργείας ἓν ἔργον ἀποδιδοῦσαι, διὰ τὸ τὴν ἐνέργειαν ταύτην, αὐταῖς προσήκειν καθό εἰσιν ἀδιάκριτοι. ἃ πάντα, πρότερον μὲν ἐναργῶς ἀποδέδεικται. νῦν δὲ ἀρκούντως ἡμῖν, ἐπιβεβαιώσει ταύτας, Κύριλλος ὁ ἱερὸς παρατεθείς. φησὶ γὰρ ἐν τοῖς θησαυροῖς. Τὴν δὲ ἑνότητα τοῦ πα- „ Κύριλ.
τρὸς καὶ τοῦ υἱοῦ τηρήσας σαφῶς, τὸ κατευθῦναι τέθηκεν ἑνικῶς. οὐχ᾽ ὡς „
ἰδίᾳ μὲν τοῦ πατρὸς, ἰδίᾳ δὲ χορηγοῦντος τοῦ υἱοῦ, ἀλλ᾽ ὡς παρὰ πατρὸς δι᾽ υἱοῦ ἐν ἁγίῳ πνεύματι, ἐκ τῆς μιᾶς θεότητος πεμπομένων τῶν χαρισμάτων εἰς τοὺς ἀξίους.

Λόγος ἕκτος. ἐν ᾧ δείκνυται ὅπως δεῖ συμβιβάζειν τοὺς παρ᾽ ἑκατέροις διδασκάλους. καὶ ὅτι πρὸς τὸν τύπον τῶν παρ᾽ ἡμῖν διδασκάλων, τὰ τῶν ἀπ᾽ Εὐρώπης διδασκάλων ἕλκεσθαι δεῖ. καὶ οὕτως ὁ τύπος οὗτος σαφέστερός τε καὶ κυριώτερος, καὶ ταῖς ἀρχαῖς τῆς πίστεως συμφωνότερος. καὶ ὅτι ἄλλως συμβιβαζόμενοι, δείκνυνται μακρὸν ἀντιφάσκοντες. ἐν ᾧ καὶ ἐπίλογος τῆς ὅλης πραγματείας.

ΚΕΦΑΛΑΙΟΝ νγ.

Τούτων προϋποτεθειμένων, μᾶλλον δὲ ἀποδεδειγμένων ἀρκούντως, σαφές ἐστιν, ὅτι καὶ οἱ Εὐρωπαῖοι πατέρες περὶ τοῦ ἁγίου πνεύματος, ἀληθῆ τε, καὶ τοῖς ἀπὸ τῆς Ἀσίας διδασκάλοις συμβαίνοντα λέγουσι. φασὶ γὰρ ἐκ τοῦ υἱοῦ προϊέναι τοῦτο· οὐ τὸν υἱὸν ποιοῦντες αἰτίαν τοῦ πνεύματος. ἀλλ᾽ οὕτως ἐκ

τοῦ υἱοῦ λέγοντες, ὡς διὰ τοῦ υἱοῦ. τοῦτο δὲ αὖθις, ἐπὶ φανερώσει τῆς κατὰ τὴν οὐσίαν συναφείας ἐν διακεκριμέναις ταῖς ὑποστάσεσιν. οὗ μάρτυς μὲν ὁ μέγας Μάξιμος ἀξιόπιστος. συμμάρτυρες δὲ καὶ οἱ ἐπ' ἐκείνου Ῥωμαῖοι. ἀρχαιότητι καὶ πᾶσι δικαίοις τῶν νῦν Λατίνων ἐν ταῖς τῶν διδασκάλων ἐξηγήσεσι πιθανώτεροι. καὶ χωρὶς δὲ τῆς τοιαύτης μαρτυρίας, αὐτόθεν ἐστὶ δῆλον, ὅτι ταύτην τὴν διάνοιαν εἶχον ἐκεῖνοι, τοῖς τὰ ἐκείνων

„ Ἰλάριος.

ἐπιοῦσι καλῶς. ὁ μὲν γὰρ Ἱλάριος ἐν τῷ περὶ Τριάδος, Ἀξιωθείην φησὶ τοῦ πνεύματος τοῦ ἁγίου. ὅπερ ἐκ σοῦ διὰ τοῦ μονογενοῦς σου ἐστί. Τοῦτον δὲ τῆς θεολογίας τὸν τύπον, ἐκ τῶν κανονικῶν γραφῶν, καὶ τῶν τῆς πίστεως ἐλάμβανεν ὑποθέσεων. ἀκριβέστατος διδάσκαλος ὤν, καὶ τὴν ἀρχαίαν καὶ ἀσφαλῆ στείχων ὁδὸν, ἣν καὶ οἱ ἡμέτεροι καθηγεμόνες πάντες ἐπῄνεσαν. οὐκοῦν ὅθεν τὸν τύπον τοῦτον εἶχε λαβὼν, ἐκεῖθεν καὶ τὴν τῶν λεγομένων εἷλκε διάνοιαν. καὶ ὡς ἐλέχθησαν οἱ παρ' ἡμῖν διδάσκαλοι φρονοῦντες τὸ δι' υἱοῦ, οὕτω κἀκεῖνος ἐφρόνει δήπουθεν. ἔπειτα χρῶνται μὲν οἱ Λατῖνοι τῇ διὰ προθέσει ἀντὶ τῆς ἐκ. ἀλλ' ὁπόταν λέγῃ τὶς, ὅτι δι' ἐμοῦ τοῦτο γέγονε, τουτέστι παρ' ἐμοῦ, ὃν τρόπον καὶ ἡ γραφὴ πολλαχοῦ ταύτῃ κέχρηται. ὡς δὲ νῦν ἡμᾶς ἀξιοῦσι ταύτῃ χρῆσθαι, οὐ δὲ αὐτοὶ χρῆσθαι εἰώθασι. καὶ διὰ τοῦτο οὐδὲ βούλονται λέγειν ἐκ πατρὸς δι' υἱοῦ. συγχωροῦσι δὲ τοῦτο μόνον ἡμῖν κακούργως. ὡς ἂν ἐντεῦθεν κερδαίνωσιν, ὅπερ βούλονται, καὶ πρὸς τὴν ἑαυτῶν δόξαν μεθιστῶσιν ἡμᾶς. ἀνάπαλιν μὲν οὖν ἀληθὲς ἂν ἦν ἐκείνους εἰπεῖν τὸν υἱὸν διὰ τοῦ πατρὸς προβάλλειν τὸ πνεῦμα. δηλαδὴ διὰ τὸν πατέρα. ὅτι ὁ πατὴρ αὐτῷ δέδωκε τὸ προβάλλειν. οὕτω γὰρ ἐκείνοις τῇ προθέσει χρῆσθαι σύνηθες ταύτῃ. οὐκοῦν καὶ Ἱλάριος εἰ μὴ πρὸς τὴν τῶν Ἀσιανῶν γνώμην ἐποιεῖτο τὸν λόγον. τὸ γοῦν ἰδίωμα τῆς ἰδίας γλώττης ἐν ᾗ ταῦτα συνέγραφε, διεφύλαττεν ἄν. οὐκ ἄρα τὸν υἱὸν αἴτιον ἐφρόνει τοῦ πνεύματος, ἀλλ' οὕτως ἔλεγεν ἐκ πατρὸς δι' υἱοῦ εἶναι, ὡς οὐκ ἄνευ δηλονότι τοῦ υἱοῦ, ὡς οὐκ ἐκτὸς τοῦ υἱοῦ, ὡς μετὰ τὸν υἱὸν καὶ σὺν τῷ υἱῷ. διὰ τὴν ἀκολουθίαν τῆς τάξεως, καὶ τὴν τῆς φύσεως ἕνωσιν. καὶ ὅλως διὰ τὰ πρὸ μικροῦ παρ' ἡμῶν ἐπεξειργασμένα. ὅτι

διὰ

δὲ καὶ παρὰ Λατίνοις ἡ· διά. πρόθεσις καὶ δίοδόν τινα καὶ συνάφειαν καὶ τὸ διόλον δηλοῖ, ἐπὶ μὲν τῶν ἄλλων πραγμάτων οἰκείως αὐτοῖς ἑκάστοις, ἐπὶ δὲ τῶν θείων θεοπρεπῶς νοουμένων, ἴσασιν οἱ τὸ ἰδίωμα τῆς ἐκείνων γλώττης ἐπιγινώσκοντες. καὶ θαυμαστὸν οὐδέν. ὅπου γε καὶ ἡ πρόοδος ἐν τοῖς θείοις νοεῖται θεοπρεπῶς, οὕτως οὖν ἐκεῖ καὶ τὴν δίοδον, καὶ τὸ διήκειν φαμέν, οὐχ ὡς ὑποστρωμένης τῆς ὑποστάσεως τοῦ υἱοῦ τῷ πνεύματι. καθάπερ ὅταν τι λέγωμεν ἔρχεσθαι ἢ πορεύεσθαι διὰ γῆς καὶ διὰ θαλάττης, ὡς διὰ τοῦ συνεχοῦς. ἐφ' οὗ δεῖ πάντως σωματικὴν γίνεσθαι κίνησιν, οὐκ ὀργανικὸν ἢ ὑπουργικὸν αἴτιον νοοῦντες τὸν υἱόν. ὅ γε μηδὲ αἴτιον ὅλως αὐτὸν εἶναι βουλόμεθα. ἀλλὰ τὸ μὴ διηρτῆσθαι, μήτε τὴν πνεῦσιν τῆς γεννήσεως, μήτε τὸ πνεῦμα τὸ ἅγιον τοῦ υἱοῦ. συνημμένως δὲ εἶναι καὶ διακεκριμένως ταῦτα οὐδὲν ἧττον κατασημαίνοντες, καθάπερ ἐκ τοῦ ἡλίου διὰ τοῦ φωτὸς τὴν θέρμην εἰς ἡμᾶς ἔρχεσθαι λέγομεν, ὡς συνδιήκουσαν τῷ φωτὶ καὶ συνοῦσαν, εἰ καὶ ἄλλως ἀπεοικὸς ἐστὶ τὸ ὑπόδειγμα. ἢ καθάπερ ἐν τρίτῳ τῶν πρὸς Εὐνόμιον, ὁ Νύσσης περὶ τῶν ἁγίων λέγει δυνάμεων, Ὅτι ἐκ τῆς πρὸς τὸ φύσει ἅγιον κοινωνίας, δι' ὅλης τῆς „ Γρηγ. ὁ
αὐτῶν ὑποστάσεως κεχωρηκότα ἤδη καὶ συμπεφυσιωμένον τὸν ἁγιασμὸν „ Νύσσ::
ἔχουσιν. ἢ καθάπερ ὁ Κύριλλος * τοῦτο φησὶ διὰ τοῦ υἱοῦ; καὶ αὖθις θεο- „ Κύριλ.
πρεπῶς διὰ τοῦ υἱοῦ προϊέναι ἐν ταῖς εἰς τὸ Εὐαγγέλιον ἐξηγήσεσιν. οὕτως Ἱλάριος ἐκ τοῦ Θεοῦ διὰ τοῦ υἱοῦ εἶναι τὸ πνεῦμα λέγει. ᾧ προσέχειν Λατίνους μᾶλλον ἐχρῆν, ἢ τοῖς τὴν προσθήκην ἐργασαμένοις, ἐφ' ὅσον οὗτος τῇ κοινῇ τῆς ἐκκλησίας γνώμῃ συνέβαινεν. Ἀμβρόσιος δὲ ἐν τῷ κατὰ Μακεδονίου βιβλίῳ, Τὸ αὐτὸ φησὶν ὁ ἀπόστολος, πνεῦμα Θεοῦ „ Ἀμβρόσ.
λέγει καὶ ἑπομένως πνεῦμα Χριστοῦ. πρόσχες ὅτι ἐνταῦθα τὸ πρόσωπον „
τοῦ Χριστοῦ ὑπὸ τῇ προσηγορίᾳ τοῦ Θεοῦ σημαίνεται. ἢ εἰ τὸν πα- „
τέρα, οὗ τὸ πνεῦμά ἐστιν, ὑπὸ τῇ τοῦ Θεοῦ προσηγορίᾳ σημαίνει, ἰδοὺ „
ἐνταῦθα τὸ πνεῦμα τὸ ἅγιον, διὰ τῆς ἑνότητος τῆς οὐσίας, καὶ τοῦ πα- „
τρὸς, καὶ τοῦ υἱοῦ πνεῦμα εἶναι παραδηλοῦται. καὶ εἰκότως προϊέναι ἐξ ἀμ- „
φοτέρων διαγινώσκεται. καὶ ἐν τῷ δεσμῷ τῆς Τριάδος διακεκριμένην „
ὑπόστασιν ἔχειν κατοπτεύεται. Τῷ τῆς ἑνότητος τοίνυν λόγῳ καὶ τῆς „

διακείσεως οὐδὲ ἡμεῖς ἀρνούμεθά ποτε, καὶ ἐν ἀμφοῖν εἶναι. καὶ ἐξ ἀμφοτέρων προϊέναι τὸ πνεῦμα τὸ ἅγιον. οὐδὲ γὰρ ἴσμεν, πῶς ἂν ἄλλως διακειθείη τοῦ υἱοῦ τὸ ἐν αὐτῷ ὄν, ἢ πῶς ἂν ἑνοῖτο τῷ υἱῷ καθ' ἕνωσιν ἄκραν φύσεως τὸ προσωπικῶς αὐτοῦ διακεχειμένον, εἰ μὴ δι' αὐτοῦ τε καὶ ἐξ αὐτοῦ προϊέναι πιστεύοιτο, ἐπειδὰν ἐκ τῆς ἰδίας αἰτίας. μᾶλλον δὲ τῆς κοινῆς αἰτίας τῆς θεότητος (λέγω δὴ τοῦ πατρὸς) πιστεύηται προϊέναι, τουτέστιν ὑφίστασθαι. ἡ γὰρ ἑνότης τῆς θείας φύσεως ὡς ἐστὶν ἐν πατρὶ καὶ υἱῷ, καὶ ἐν ἀμφοῖν εἶναι τοῦτ' ἀναγκάζει. ἡ δὲ διάκεισις προϊέναι καὶ ἐξ ἀμφοῖν. ἀλλ' οὐχ ὡς ἐξ ἀμφοῖν ὑφιστάμενον. ἀλλ' ὑφιστάμενον μὲν ἐκ τοῦ πατρὸς ὅθεν καὶ ὁ υἱός. τῇ δὲ τοῦ υἱοῦ ὑποστάσει, ἅμα τε συνδιῆκον οὕτως εἰπεῖν, καὶ ἅμα πρὸς τὸ ἰδιοσυστάτως εἶναι ταύτης διακεινόμενον. εἴρηται γὰρ πρότερον, τὴν μέν τινα πρόοδον αἰτίας εἶναι καὶ διακείσεως. τὴν δὲ διακείσεως μόνον. τὸ γὰρ οὐκ ἀνάγκην εἶναι εἰ μέλλοι τὸ πνεῦμα τοῦ υἱοῦ διακεῖνεσθαι, καὶ ἐξ αὐτοῦ τὴν αἰτίαν ἔχειν, ἀλλὰ μᾶλλον αὐτὸ τὸ τοῦ πατρὸς διακειθῆναι τὸ πνεῦμα ὑποστὰν προοδικῶς ἐξ αὐτοῦ, πρὸς τὸ καὶ τοῦ υἱοῦ διακεχειμένον εἶναι ἀρκεῖν, καὶ διδάσκαλοι πάντες λέγουσιν, ὡς δέδεικται πρότερον, καὶ πολλοῖς τῶν λατινικῶν διδασκάλων οὕτω δοκεῖ. τὸ δὲ καὶ διὰ τοῦ υἱοῦ νοεῖσθαι αὐτὸ προϊέναι, ὑποθέσεις ἕτεραι τῆς πίστεως ἀναγκάζουσιν, ἡ ἀπειρία δηλονότι, καὶ ἡ ἑνότης τῆς θείας οὐσίας ἐκείνης, καὶ ἡ κατὰ τὰς ὑποστάσεις διάκεισις, καὶ ἡ τάξις, ἣν ἡμῖν ὁ θεῖος παραδέδωκε λόγος. ἀλλ' οὐ διὰ ταῦτα καὶ θεῖναί τι ἀξιώσομεν, ὅπερ οὔτε τῇ κοινῇ πίστει δοκεῖ, οὔτε ἀναγκαῖον ἐστί. καὶ πρὸς τούτοις τῷ προσωπικῷ τοῦ πατρὸς ἀξιώματι, καὶ τῇ τοῦ πνεύματος ἰσότητι πρὸς τὸν υἱὸν καὶ τὸν πατέρα πολέμιον ταῦτα ἡμεῖς τε φρονοῦμεν, ὡς ἐκ τῶν προαποδεδειγμένων γέγονε δῆλον, καὶ Ἀμβρόσιος ἡμῖν συνεπιψηφίζεται, διὰ μὲν τῆς ἑνότητος τῆς οὐσίας, καὶ ἀμφοτέρων πνεῦμα λέγεσθαι τοῦτο δεικνύων. διὰ δὲ τὸ δεῖν αὐτὸ καὶ διακεχειμένην ἔχειν ὑπόστασιν ἐν τῷ δεσμῷ, τουτέστι τῇ σφρᾷ καὶ τῇ συμπλοκῇ τῆς μακαρίας Τριάδος, καὶ ἐξ ἀμφοῖν προϊέναι. καὶ ὡς ἂν ἡμεῖς φαίημεν σαφέστερον, ἐκ πατρὸς δι'

Ὁ αὐτός. » υἱοῦ. καὶ ὁ αὐτὸς αὖθις διδάσκαλος ἐν τῷ αὐτῷ λόγῳ φησί. Πέμπεσθαι

παρά

παρὰ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ λέγεται, ἵνα ἀπὸ τῆς αὐτῶν οὐσίας προϊέναι καὶ σὺν αὐτοῖς ἓν ἔργον ἐργάζεσθαι διαγινώσκηται. ὅτι τοίνυν ἐκ τῆς αὐτῶν οὐσίας πρόεισι, καὶ Κύριλλος λέγει.

Κύριλ.

Ὅτι τοίνυν τὸ πνεῦμα τὸ ἅγιον ἐν ἡμῖν γενόμενον, συμμόρφους ἀποδεικνύει Θεοῦ, πρόεισι δὲ ἐκ πατρὸς καὶ υἱοῦ, εὔδηλον ὅτι τῆς θείας οὐσίας ἐστίν. οὐσιωδῶς ἐν αὐτῇ καὶ ἐξ αὐτῆς προϊόν. Λέγουσι δὲ ταῦτα, τὴν ἐκεῖθεν κίνησιν τοῦ πνεύματος (ὡς οὕτως εἰπεῖν) καὶ τὴν πέμψιν οὐσιώδη δεικνύοντες καὶ ἰσότιμον. οὐ δημιουργικήν τινα καὶ ὑπουργικὴν κατὰ τὰς τῶν αἱρετικῶν φλυαρίας. εἶτα ἐπάγει ὁ αὐτὸς οὗτος Ἀμβρόσιος.

Ἀμβρόσ.
Ἰωάν. ιε.

Καὶ διὰ τοῦτο ὁ υἱὸς περὶ αὐτοῦ φησίν. ὁ παράκλητος ὃς παρὰ τοῦ πατρὸς ἐκπορεύεται. τουτέστιν ἀπὸ τῆς κοινωνίας τῆς πατρικῆς δυνάμεως, καὶ ἀπὸ τῆς ἰδιότητος τῆς φύσεως. Καὶ ἡμεῖς τοίνυν, ὅσον μὲν εἰς τὴν κοινωνίαν τῆς πατρικῆς δυνάμεως ἥκει, καὶ ἐκ τοῦ υἱοῦ τὸ πνεῦμα προϊέναι συγχωρήσαιμεν ἂν ἀκολούθως τοῖς προϋποτεθειμένοις. ὅσον δὲ ἐκ τῆς ἰδιότητος τῆς φύσεως, ἐκ τοῦ πατρὸς μόνου φαμέν. τῇ γὰρ ἰδιότητι τοῦ πατρὸς μόνῃ, προσήκειν ἡγούμεθα, τὴν θείαν ὑφιστάνειν ὑπόστασιν. οὐδὲ δυνατὸν εἶναι ἡγούμεθα τὴν ἰδιότητα τοῦ πατρός, καὶ τὴν ἰδιότητα τοῦ υἱοῦ, εἰλικρινῶς νοουμένας συνελθεῖν ἄν ποτε πρὸς μίαν ἐνέργειαν εἰς τὰ ἔνδον. ἀσύνθετοι γάρ εἰσιν, ἀλλ' ἢ μόνον πρὸς τὰ ἔξω. τότε γὰρ ἡ ἰδιότης ὅλης τῆς θείας φύσεως ἐνεργεῖ. ἡ δὴ θεία φύσις, καὶ ἕν ἐστι, καὶ εἰσὶ καὶ ὑφεστήκασιν αἱ τρεῖς ἰδιότητες. καὶ διὰ τοῦτο δημιουργεῖ μὲν ὁ πατήρ. ὡσαύτως δὲ καὶ ἑκάστη ὑπόστασις. ἀλλὰ καθὸ ἑκάστη τούτων Θεός ἐστιν, οὐ καθὸ ἐστὶ τοιάδε ὑπόστασις. εἶτα προστίθησιν ὁ διδάσκαλος οὗτος.

Ὁ αὐτός.

Ἀλλ' ἐκ τούτου τοῦ λόγου ἐπειδὰν λέγηται παρὰ τοῦ πατρὸς ἐκπορεύεσθαι, ἀποδείκνυται μετὰ τοῦ πατρός, μὴ ἔχειν ἀρχήν. Διὰ τοῦτο γοῦν καὶ ἡμεῖς οὐ λέγομεν ἐκ τοῦ υἱοῦ τοῦτ' ἐκπορεύεσθαι, διότι ἔχει μετὰ τοῦ υἱοῦ ἀρχήν. τουτέστιν αὐτό τε, καὶ ὁ υἱός, εἰς μίαν ἀρχὴν ἀναφέρεται τὸν πατέρα. εἶτα ἐπάγει.

Ὁ αὐτός.

Τί δέ ἐστιν ὅτι ἐκ τοῦ Θεοῦ πατρὸς ὁ υἱὸς γεννᾶσθαι λέγεται, καὶ τὸ πνεῦμα τὸ ἅγιον ἐκπορεύεσθαι παραδηλοῦται; ἐὰν ζητῇς τί μεταξὺ τοῦ γεννωμένου, καὶ τοῦ ἐκπορευομένου δίισταται, ἐναργῶς τούτῳ διαφέρει, ὅτι οὗτος μὲν ἐξ

ἑνὸς

ἑνὸς γεννᾶται. ἐκεῖνος δὲ ἐξ ἀμφοτέρων πρόεισι. Τοῦτο καὶ ἡμεῖς λέγομεν
διαφέρειν τοῦ γεννωμένου τὸ ἐκπορευόμενον, ὅτι ὁ μὲν υἱὸς προσεχῶς ἐκ τοῦ
πατρὸς νοεῖται προϊών, ἐπειδὰν λέγηται γεννᾶσθαι. μονογενὴς γάρ ἐστι.
τὸ δὲ πνεῦμα ἐξ ἀμφοτέρων προέρχεται. καὶ ὥσαι ἡμεῖς φαίημεν ἐκ πα-
τρὸς δι᾽ υἱοῦ, τουτέστι διὰ τῆς ἑνότητος τῆς οὐσίας ὡς αὐτὸς ἔλεγε. καὶ
ἀπὸ τῆς κοινωνίας τῆς πατρικῆς δυνάμεως. ἡ μὲν γὰρ ἑνότης τῆς
θείας φύσεως ὡς ἐστὶν ἐν πατρὶ καὶ υἱῷ τὸ πνεῦμα εἶναι ἀναγκάζει καὶ
τῷ υἱῷ ἐκ τοῦ πατρὸς ὑφιστάμενον. ὁ δὲ τῆς διακρίσεως λόγος τοῦτ᾽ ἀ-
παιτεῖ καὶ δι᾽ αὐτοῦ προϊέναι. ἄλλως γὰρ οὐκ ἂν διακεκριμένος νοοῖτο.
ἅμα δὲ ὑφίσταταί τε ἐκ τοῦ πατρὸς καὶ ἐν υἱῷ ἐστι. καὶ δι᾽ υἱοῦ πρόεισι.
καὶ οὐδὲν ἧττον ἐστὶν ἐν τῷ πατρί. διὰ τοῦτο ἐκ πατρὸς πρόεισι καὶ υἱοῦ.
τουτέστιν, ἐκ πατρὸς δι᾽ υἱοῦ. καὶ πάλιν ὁ αὐτὸς ἐν ἑνὶ τῶν περὶ τοῦ πνεύ-
Ὁ αὐτός. ματος λόγων, Τὸ ἀπὸ τῶν ἐνδοτάτων τοῦ Θεοῦ φησὶ προϊόν, οὐ Θεοῦ
κτίσμα. ἀλλὰ Θεοῦ δείκνυται εἶναι οὐσία. καὶ μετ᾽ ὀλίγα. Ἐπειδὴ
Ρωμ. η. τοίνυν τὸ πνεῦμα τὸ ἅγιον, ἐξ ἀμφοτέρων πρόεισι, διὰ τοῦτο λέγει, ὅς τις
Ἰωάν. κ. πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ. καὶ ἀλλαχοῦ, ἐνεφύσησε
καὶ εἶπε, λάβετε πνεῦμα ἅγιον. Ταύτην δὲ τὴν πρόοδον καὶ ἡμεῖς ἐξ
ἀμφοτέρων εἶναι φαμὲν. καὶ ἐκ τῶν ἐνδοτάτων σπλάγχνων τοῦ υἱοῦ τοῦ
Θεοῦ, τὸ πνεῦμα προϊέναι τῇ κτίσει προχεόμενον, Κυρίλλῳ μετὰ Ἀμ-
βροσίου πειθόμεθα λέγοντι. ὁ δὲ μακάριος Πάπας Λέων ἐν τῷ εἰς
Λέων ὁ πάπας. τὴν Πεντηκοστὴν πρώτῳ λόγῳ φησί. Τὸ δὲ τὸ ἅγιον πατρὸς καὶ υἱοῦ
πνεῦμα ὄν, οὐχ ὥς τι τῶν κτισμάτων ἅπερ πατρός εἰσι καὶ υἱοῦ, ἀλλ᾽ ὡς
μετ᾽ ἀμφοτέρων ζῶν καὶ δυνάμενον. καὶ ἀϊδίως ἐκ τούτου, ὅπερ ἐστὶν ὁ πα-
τὴρ καὶ ὁ υἱὸς ὑφιστάμενον. Τοῦτο καὶ ἡμεῖς πιστεύομεν ὁμοίως τῷ Λέοντι.
ἐκ μὲν γὰρ τοῦ πατρὸς εἶναι φαμὲν τὸ πνεῦμα, ὡς ἐκ τῆς πατρικῆς ἐκ-
πορευόμενον ὑποστάσεως. τοῦ πατρὸς δὲ εἶναι καὶ τοῦ υἱοῦ πνεῦμα, ὡς
κατὰ φύσιν ᾠκειωμένον αὐτοῖς, καὶ τὴν αὐτὴν τῆς θεότητος ἐξουσίαν
ἔχον καὶ δύναμιν. οὐ μέντοιγε ἐκ τοῦ υἱοῦ ὑφιστάμενον. οὐ δὲ ἐκ τῆς
ὑποστάσεως ἐκείνης τὸ εἶναι λαμβάνον, καθάπερ ἐκ τῆς πατρικῆς. ἀλλ᾽
ἐξ ἐκείνου, ὅπερ ἐστὶν ὁ πατὴρ καὶ ὁ υἱός. ὅδε ἐστὶν ὁ πατὴρ καὶ ὁ υἱός, ἡ

θει

θεία ἐστὶν οὐσία. οὐ βούλεται γοῦν ὁ μακάριος οὗτος πατὴρ τὴν οὐσίαν ὡς ἐπὶ ὑφεστὼς προάγειν τὸ πνεῦμα τὸ ἅγιον, ὥστ᾽ εἶναι τὴν θείαν οὐσίαν, ὡς ἐστὶν ἐν πατρὶ καὶ υἱῷ προσώποιν ἕν, ὑφιστῶν τὴν τοῦ πνεύματος ὑπόστασιν. τοῦτο γὰρ ψεῦδος ἐστὶ καὶ ἀδύνατον. ἀλλ᾽ ὑφίστασθαι φησὶν ἐξ ἐκείνου, τουτέστιν ἐκείνῳ ὑφίστασθαι. ἐκεῖνο λαμβάνειν ἐκ τοῦ πατρὸς, ὅπερ ἐστὶν ὁ πατὴρ καὶ ὁ υἱός. ἤγουν τὴν αὐτὴν ἐκείνοις οὐσίαν ἔχειν καὶ φύσιν. τοῦτο δὲ πολὺ διαφέρει τοῦ εἰπεῖν τοῦτο ἐκ τοῦ πατρὸς ὑφίστασθαι καὶ τοῦ υἱοῦ. Ἀλλ᾽ ἐπεὶ πολλῆς ἂν εἴη πραγματείας κατὰ μέρος ἐπεξιέναι τὰ τῶν διδασκάλων ἐκείνων ῥητὰ, καὶ ταῦτα τοῖς τῶν ἡμετέρων διδασκάλων ἐφαρμόζειν λογίοις, ἀρκεῖ καὶ τὰ εἰρημένα, πρὸς ὑφήγησίν τινα τῆς ὅλου καὶ τοῦ τύπου, οἷς τὴν συμφωνίαν αὐτῶν μεταχειρισόμεθα ὀρθῶς καὶ δικαίως. καὶ τοι τῶν ἀπὸ τῆς Εὐρώπης πατέρων, οὐ πολλὰ ἔχομεν. ἀλλ᾽ ὁπόσα ἡμῖν αὐτοὶ Λατῖνοι παρέσχον ἐκγράψαντες. ταῦτα δὲ εἰσὶν, ἐξ ὧν μάλιστα πρὸς τὴν ἑαυτῶν δόξαν ἤλπισαν βοηθήσεσθαι. εἰ δέ γε τὰ τῶν διδασκάλων βιβλία παρ᾽ ἡμῖν ἦσαν, καὶ πρὸς τὴν ἡμετέραν φωνὴν μετεβάλλοντο, πάνυ καλῶς ἐγὼ πέπεισμαι ὡς ἐν πολλοῖς ἂν εὕρομεν κἀκείνους τοὺς διδασκάλους, καὶ ταύτην τὴν ἀμφισβήτησιν λύοντας. ἃ καὶ ἡμεῖς ἤδειμεν ἄν, εἴ τις ἡμῖν ἐκεῖθεν προστεθειμένος, τὰς παρ᾽ αὐτοῖς σαθρότητας ἤλεγχεν. καθάπερ ἔνιοι παρ᾽ ἡμῶν ἐκείνοις προστεθειμένοι, τὴν ἡμετέραν ἔνστασιν ἐκ τῶν παρ᾽ ἡμῖν διδασκάλων ἐπειράθησαν ἀνελεῖν. μᾶλλον δὲ τὴν πρὸς Λατίνους αὐτομόλησιν, δι᾽ ἄλλας αἰτίας σφίσι γεγενημένην συγκαλύψαι τοῖς ὑπὲρ Λατίνων συγγράμμασιν. ἐκεῖνοι γὰρ τοῖς Λατίνοις καὶ τὰς Ἀθανασίου ῥήσεις ἐκείνας, καὶ Γρηγορίου τοῦ Νύσσης, καὶ τοῦ Βασιλείου, δεδώκασι φέροντες. ὡς ἂν ταύταις χρῆσθαι δύναιντο καθ᾽ ἡμῶν, ἐνίας αὐτῶν που καὶ κακουργήσαντες. ἀλλ᾽ ἡμεῖς ἐκεῖνα μόνα τῶν εὐρωπαίων διδασκάλων ἴσμεν, ὅσαπερ αὐτοὶ πρὸς συνηγορίαν ἐκλεξάμενοι τῆς ἰδίας δόξης προβάλλονται. ταῦτα δὲ πάντα μεθ᾽ ἡμῶν καὶ τῶν ἡμετέρων ἵστανται, ταὐτὸν δὲ μετὰ τῆς ἀληθείας εἰπεῖν. διδάσκαλοι γὰρ τῆς ἀληθείας ἦσαν κἀκεῖνοι τῶν ἡμετέρων οὐχ ἧττον. Ὅτι δὲ μεθ᾽ ἡμῶν ἵστανται μᾶλλον, σαφές ἐστι. τὰ μὲν γὰρ αὐτῶν τὴν κατ᾽

οὐσίαν συνάφειαν τοῦ πνεύματος πρὸς τὸν πατέρα καὶ τὸν υἱόν, ἐκ τοῦ καὶ παρ' ἀμφοτέρων προϊέναι τῇ κλήσει δεικνύουσι. τὰ δὲ συνουσίωσίν τινα καὶ διάκρισιν τῶν ὑποστάσεων, ἀλλ' οὐκ αἰτίαν ἐκφαίνει. οὐ γὰρ ἀρχὴν κηρύττουσιν, ἢ αἴτιον τοῦ πνεύματος τὸν υἱόν. οὐδ' ἐκ τοῦ υἱοῦ ὑφίστασθαι λέγουσιν. ἀλλὰ μόνον ἐκ τοῦ υἱοῦ προϊέναι. οὐ τρόπον ὑπάρξεως διὰ τῆς ἐκεῖθεν προόδου κατασημαίνοντες. (καθ' ὃ σημαινόμενον ὁ Θεολόγος λέγει Γρηγόριος, περὶ τοῦ πνεύματος, Τὸ δέ, τῆς προόδου καὶ οὐχ υἱότητος.) ἀλλ' αὐτὸ τὸ προϊέναι ἁπλῶς, πρὸς ἔνδειξιν ἀληθινῆς διακρίσεως. Ἃ μὲν οὖν οἱ Λατῖνοι κομίζουσιν ὑπὲρ ἑαυτῶν, οὐδὲν μέγα πρὸς συνηγορίαν τῆς κενοτομίας σφίσι παρέχονται, ὡς μηδ' ἔχειν ἡμᾶς αὐτὰ προσαρμόσαι τοῖς τῶν ἡμετέρων διδασκάλων λογίοις. τὰς δὲ τῇ παρ' ἡμῖν ἀληθείᾳ περιφανῶς βοηθούσας ῥήσεις ἐκείνων, καὶ τὴν ἀμφισβήτησιν ταύτην λυούσας ὑπὲρ ἡμῶν, ὁρῶσι μὲν Λατῖνοι καλῶς. ἀλλὰ πρὸς τὴν τῆς κενοτομίας σύστασιν ἕλκουσι. βούλονται γάρ, οὐ τὰς πρεσβυτικὰς ἐκείνας τῶν διδασκάλων ἐννοίας, καὶ τὴν ἀρχαίαν τῆς Ἐκκλησίας δόξαν κρατεῖν. ἀλλ' ἅπερ αὐτοὶ καθ' ἡμέραν, ὑπὸ τῆς ἐν λόγοις φιλοτιμίας ἐπινενοήκασιν, ἐπικενώσει τοῦ μυστηρίου τῆς καθ' ἡμᾶς πίστεως τῶν ἀπορρήτων κατεξορχούμενοι, Σκότους τινὰς προστησάμενοι καὶ Ῥικάρδους. οἷς εἴ τις βούλοιτο προσέχειν, πάντα ἂν ἀγνοήσειε τ' ἀληθῆ. οὕτως ὑπὸ πολλῆς τῶν φρενῶν λεπτότητος, ὥσπερ ἐκβεβακχευμένοι φύρουσι πάντα, τῆς ἀρχαίας καὶ πρεσβυτικῆς ἐκείνης καὶ ἀτύφου καὶ ἱερᾶς ὄντως θεολογίας ἴχνος οὐδὲν ἀποσώζοντες. ὁ δὲ μακάριος Αὐγουστῖνος, δοκεῖ μὲν αὐτοῖς τῶν ἄλλων διδασκάλων πλέον συνηγορεῖν. ἀλλ' εἴ τις κἀκείνου βούλοιτο συνετῶς ἀκούειν καὶ εὐγνωμόνως, εὑρήσει κἀκεῖνον τῆς κοινῆς τῶν ἀδελφῶν καὶ ὁμοτίμων γνώμης οὐδαμῶς ἀποδιϊστάμενον. εἰ μὲν γάρ τις βούλοιτο ἀφαιρεῖν τὴν Ἐκκλησίαν καινοτομιῶν, καὶ τῆς τοιαύτης καινοτομίας ὑπέρασπις ᾖ τινὶ χρῆσθαι τῶν διδασκάλων, καὶ Αὐγουστῖνον, καὶ πολλοὺς ἄλλους ὑφαρπάσει πρὸς τὴν χρείαν αὐτοῦ. οἱ ζῶντες μέν, ἥκιστα ἂν αὐτῷ προσετέθησαν κακουργοῦντι. ἐν δὲ τῷ πλάτει τῶν λόγων δοκοῦσί τινά που παρέχειν ἐκείνῳ συνηγορίαν, ὥσπερ

καὶ

καὶ τὰ τῆς ἀληθείας ῥήματα τοῖς αἱρετικοῖς πᾶσιν ὑπούργησεν. οὐ καθ' ἑαυτοῖς, ἀλλὰ κατ' ἐκείνων, ἐπεὶ σφαλῆναι προείλοντο. ἡ δὲ ἀλήθεια, καὶ διέμεινεν ἀήττητος, καὶ μέχρι τέλους διαμένει. τῷ δὲ βουλομένῳ τὴν Ἐκκλησίαν ἑνοῦν, πολλῷ ῥᾶον ἐστὶ καὶ Αὐγουστῖνον καὶ πάντα διδάσκαλον πρὸς τὰς κοινὰς ἕλκειν δόξας. καὶ οὐδεὶς ἂν οὕτω πράττοντι μέμψαιτο. πάνυ γὰρ ἐστὶ δίκαιον, καὶ τῇ ἑνότητι τῆς Ἐκκλησίας συμφέρον, οὕτω ποιεῖν. οὐ δὲ χρὴ πρὸς τὴν ἐν αὐτοῖς φαινομένην διαφορὰν σκανδαλίζεσθαι, εὐλόγως τε καὶ ἐξ ἀνάγκης συμβεβηκυῖαν ἐκείνοις. οἱ γὰρ τῆς Ἐκκλησίας διδάσκαλοι ἀντικειμέναις αἱρέσεσιν ἐπολέμουν. καὶ ὅ φησιν ὁ ἱερὸς θεολόγος, Ἐκ διαμέτρου καὶ τὴν ἀσέβειαν „ Γρηγ. ὁ
ὁμοτίμοις κακοῖς ἐμάχοντο. „ θεολ.
διὰ τοῦτο δοκοῦσι μέν τι πλέον νέμειν ἑκάστοτε τῇ χρείᾳ. ποτὲ μὲν ὑπὲρ τῆς θείας ἑνότητος, ποτὲ δὲ ὑπὲρ τῆς ἀληθινῆς καὶ ἐμπράκτου Τριάδος τῶν ἰδιοτήτων τοῖς αἱρετικοῖς πολεμοῦντες. τῆς μέντοιγε ἀληθείας, καὶ τῆς ἐν ἅπασιν ἀκριβείας, οὐδ' ὅλως ἀπέστησαν, τοὺς ἀρίστους τῶν Ἰατρῶν μιμησάμενοι. οἱ τὰς ἐν τοῖς σώμασι δυσκρασίας λύειν ἐθέλοντες, δοκοῦσι μὲν ὑφιέναι τι τῆς ἀκριβείας, ἣν ἡ κράσεως ἑκάστης ἐπιζητεῖ θεραπεία, ἐκ τοῦ τῷ πλεονάζοντι τῆς καχεξίας μείζω παρέχειν τὴν ἐπιμέλειαν. ἀκριβέστατα δὲ πράττουσιν. οὐ γὰρ οἴδασιν ἄλλως ἐπανασώσοντες τὴν ἀγαθὴν ἕξιν τῷ σώματι, μὴ πάντων μὲν ἐπιμελούμενοι τῶν ἔνδον μορίων. οὐδέ ποτε συμβαίνει τῇ θεραπείᾳ τῶν ἄλλων χεῖρον διατεθεῖσθαι, πρὸς τοῦτο πάλιν ἐπιμελέστερον νεύοντες. οὕτω τοίνυν ἄπερ ἄλλοι τῶν διδασκάλων συγκεχωρήκασιν ἀγωνιστικῶς ἐκ περιουσίας νικῶντες, οἱ τὴν ἀλήθειαν παραβλάπτοντες, ταῦθ' ἕτεροι περιφανῶς ἀπηρνήσαντο, τοῦ καιροῦ τὴν ἀκρίβειαν ἀπαιτοῦντος. ὥστε τὸ μὲν διαλλάττον αὐτῶν, τῆς ἀνάγκης ἐστίν. ἡ δὲ συμφωνία, καὶ ἐν αὐτῷ τῷ διαλλάττοντι διαπρέπει θαυμασίως. ἐφ' ὅσον ὑπερασπίζουσι τοῦ κινδυνεύοντος οὕτως, ὥστε μηδένα κίνδυνον ἐπαγαγεῖν τῷ ἠρεμοῦντι μέρει καὶ μὴ ἐνοχλουμένῳ τῆς πίστεως. ὥσπερ Ἀμβρόσιος ἐν τοῖς κατὰ Μακεδονιανῶν λόγοις, δοκεῖ μὲν τι πλέον νέμειν τῇ τῆς οὐσίας ἑνότητι, τοῦτ' ἀπαιτούσης τῆς ὕλης τῶν λόγων. ἦσαν γὰρ κατὰ

τῶν χωριζόντων τὸ πνεῦμα τῆς οὐσίας τοῦ υἱοῦ. καθάπερ τὰ κτίσματα τῆς οὐσίας κεχώρισται τοῦ Θεοῦ. καὶ οὐκ ἔνδοθεν αὐτοῦ παρίασιν ἐκ τῆς αὐτοῦ φύσεως, οὔτε εἰπεῖν. ἀλλ' ἔξωθεν αὐτοῦ τυγχάνουσιν, ὡς καθ' ὁμοιότητά τινα τῆς θείας βουλήσεως δημιουργικῶς ὑποστάντα. οὐδὲν ἧττον μέντοιγε τῆς κοινῆς ὁ διδάσκαλος οὐκ ἐξίσταται δόξης. οὐδὲ τῶν τῆς ἀληθείας κανόνων ἀποχωρεῖ. οὐδὲ λέγει τι τοῖς νέοις τούτοις παραφανῶς συνιστάμενον δόγμασι. ταῦτα δεῖ καὶ περὶ Αὐγουστίνου φρονεῖν, τοὺς ὑγιῶς διαιτᾶν μέλλοντας. προϊέναι μὲν γὰρ ἐκεῖνος τὸ πνεῦμά φησιν ἐκ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ πολλαχοῦ. ἀλλ' αἱ τῶν λόγων ὑποθέσεις, οὐ τὴν αὐτὴν ἀπαιτοῦσι τῆς προόδου διάνοιαν. οὐχ ἡμῶν οὕτω κρινόντων, ἀλλὰ τῶν ἄλλων διδασκάλων ἁπάντων, πρὸς οὓς ἐπισπᾶσθαι τὸν Αὐγουστῖνον οὐ δίκαιον, πρὸς τοὺς πλείους δηλονότι τὸν ἕνα. καὶ διὰ τοῦτο χρὴ τὸ προϊέναι τοῦ Αὐγουστίνου ἓν ὄν, εἰς πλείους διαιρεῖν ἐννοίας. καὶ ἑκάστην διάνοιαν ἑκάστῃ τῶν λόγων ὑποθέσει, καλῶς ἐφαρμόττειν. στοχαζομένους ἑκασταχοῦ, τίνι ἂν ἐχρήσατο τότε λέξει Κύριλλος, καὶ τῶν παρ' ἡμῖν ἕκαστος διδασκάλων, παρ' οἷς λέξεων εὐπορία πολλή, πρὸς τὸ διορισμένως σημαίνειν ἕκαστα. οὐδὲ γὰρ Αὐγουστῖνος τὰς διαφόρους ἐννοίας συγχέειν ἐβούλετο. ἀλλὰ λέξει μὲν ἐχρῆτο μιᾷ, τῇ τοῦ προϊέναι. ὃ Λατῖνοι προκέδερε λέγουσιν. ἐχρῆτο δὲ ταύτῃ, ποτὲ μὲν ἐπὶ τοῦ ὑφεστάναι καθάπερ ἡμεῖς. ποτὲ δὲ ἐπὶ τοῦ προϊέναι ὅλως. ὃ δὴ καὶ τῇ λογικῇ προόδῳ τοῦ πνεύματος, οἱ παρ' ἡμῖν διδάσκαλοι καλῶς ἐφαρμόζουσιν, ὡς κοινῷ τινὶ καὶ γενικῷ λεγόμενοι τούτῳ. τὸ γὰρ ἐκπορεύεσθαι, (καί τοι καὶ αὐτὸ κοινὸν ὂν) πρὸς τὴν ἀΐδιον ἀκούουσιν ὕπαρξιν, τῇ γραφῇ ταύτην ἀπονέμοντες τὴν τιμήν. ἢ πρὸς δήλωσιν τῆς ἐκ τοῦ πατρὸς ὑπάρξεως; ὡς ἀπ' αἰτίας ἰδίας τὴν λέξιν ταύτην παρείλετο. ἐν γὰρ τῷ

Αὐγουσ. » περὶ τῶν ζητημάτων λόγῳ, πρὸς τὸν Ὀρόσιον οὕτω φησί. Τὸ πνεῦμα δὲ τὸ
» ἅγιον, οὐκ ἐκ τοῦ πατρὸς εἰς τὸν υἱὸν ἐκπορεύεται, καὶ ἐκ τοῦ υἱοῦ ἐκπο-
» ρεύεται, ἐπὶ τῷ ἁγιάσαι τὴν κτίσιν. ἀλλ' ἅμα ἐξ ἀμφοτέρων ἐκπορεύεται. Οὕτω μὲν δοκεῖ λέγειν ἕνεκά γε τῆς λέξεως. ὅθεν καὶ οἴονται δικαίως οἱ Λατῖνοι καθ' ἡμῶν, συμπεραίνειν οὕτω. Τὸ ἐκπορεύεσθαι τὴν ἀΐδιον

δηλοῖ

δηλοῖ (καθ' ὑμᾶς τοὺς Γραικούς) τοῦ πνεύματος ὕπαρξιν. ἀλλ' Αὐγουστῖνος λέγει, τὸ πνεῦμα ἐξ ἀμφοτέρων ἐκπορεύεσθαι. ἣν ἄρα δόξα τοῦ διδασκάλου, τὸ καὶ ἐξ ἀμφοτέρων ἔχειν τὴν ὕπαρξιν τὸ πνεῦμα τὸ ἅγιον. ἀλλ' οὐχ' οὕτω ταῦτ' ἔχει. καὶ δῆλον ἐντεῦθεν. εἰ Κύριλλος ἦν ὁ ταῦτα λέγων, οὐκ ἄνποτε εἶπεν ὡς ἐκ τοῦ υἱοῦ τὸ πνεῦμα ἐκπορεύεται. ἀλλ' εἶπεν ὡς ἐκ τοῦ υἱοῦ προχεῖται ἢ πρόεισι. λέγω δὲ Κύριλλον, τοὺς ἄλλους διδασκάλους σιγῶν. διότι τὴν αὐτὴν ἀνάγκην εἶχον τῶν λόγων Αὐγουστῖνος τότε καὶ Κύριλλος, τὴν τοῦ Νεστορίου περιθρυλλουμένην τότε δυσσέβειαν. καὶ τῶν ἡμετέρων διδασκάλων ὁ μάλιστα δοκῶν παρὰ Λατίνων λέγειν, οὗτος ἐστί. μυριάκις γοῦν φησὶ Κύριλλος, ἐκπορεύεσθαι τὸ πνεῦμα ἐκ τοῦ πατρὸς, καὶ οὐδ' ἅπαξ ἐκ τοῦ υἱοῦ ἐκπορεύεσθαι, ἀλλ' ἢ μόνον προχεῖσθαι, καὶ προϊέναι, καὶ χορηγεῖσθαι, καὶ τὰ τοιαῦτα. ὡσαύτως δὲ καὶ οἱ λοιποὶ διδάσκαλοι. ὁπότε δὲ καὶ τὴν ἐπὶ τῷ κτίσεως ἁγιασμῷ τοῦ πνεύματος πρόοδον προὔκειτο σκοπεῖν, πότερον μία καὶ ἡ αὐτὴ ἐκ πατρὸς ἐστὶ καὶ υἱοῦ, ἢ ἐκ τοῦ πατρὸς πρὸς τὸν υἱὸν γίνεται. κἀκεῖθεν ὡς ἀπ' ἄλλης ἀρχῆς πρὸς τὴν κτίσιν, ἀδιώκτον ἂν ἦν, καὶ Κύριλλον καὶ ὁντινοῦν τῶν καθ' ἡμᾶς διδασκάλων, τούτῳ τῷ τρόπῳ τὸν λόγον τοῦτον προενεγκεῖν. ἀλλὰ πῶς; τὸ δὲ πνεῦμα τὸ ἅγιον οὐκ ἐκ τοῦ πατρὸς πρὸς τὸν υἱὸν πρόεισι, καὶ ἐκ τοῦ υἱοῦ πρόεισιν ἐπὶ τὸ ἁγιάσαι τὴν κτίσιν, ἀλλ' ἅμα ἐξ ἀμφοτέρων πρόεισι. καὶ οὕτως ἀληθὴς ἂν ἦν ὁ λόγος, καὶ τῷ τύπῳ τῶν διδασκάλων οἰκείως ἔχων. τὸ γὰρ πνεῦμα τὸ ἅγιον, ὅτι πρόεισιν ἐκ πατρὸς καὶ υἱοῦ ἅμα πρὸς τὸ ἁγιάσαι τὴν κτίσιν, οὐδὲν δ' ἧττον καὶ ἐξ ἑαυτοῦ, καὶ ἡ πρόοδος ἐκείνη οὐ διακόπτεται, ἀλλὰ μία καὶ ἡ αὐτὴ ἐστὶ, καὶ κοινὴ ἐνέργεια τῆς θεότητος. καὶ ὁ ἐκ ταύτης ἁγιασμὸς, κοινὸν ἐστὶν ὅλης τῆς θεότητος δῶρον, τοῦτο καὶ Κυρίλλου καὶ τῶν λοιπῶν διδασκάλων πάντων καὶ ἡμῶν τῶν αὐτοῖς προὔργου προσεχόντων πέφυκε γνώμη. οὐκοῦν καὶ Αὐγουστῖνος τὸ προκέδερε ἐκεῖ, ἀντὶ τοῦ προϊέναι ἁπλῶς ἐλάμβανε. καὶ ἡμῖν οὕτως ἑρμηνευτέον ἂν εἴη τά γε τοιαῦτα, εἰ μέλλοι καλῶς ἑρμηνεύεσθαι. καὶ οὐκ ἔνθα ἂν Αὐγουστῖνος λέγει προκέδερε, πρὸς τὸ ἐκπορεύεσθαι μεταβλη-

τέον. ἀλλὰ ποῦ μὲν εἰς τὸ προϊέναι ἁπλῶς, ὃ κοινόν ἐστι πάσαις ταῖς ἐκδοχαῖς τῆς προόδου. ποῦ δὲ εἰς τὸ ἐκπορεύεσθαι, ὃ τῷ ὑφίστασθαι ταυτόν ἐστι. καὶ οὕτω τὸν Αὐγουστῖνον σύμφωνον τοῖς ἄλλοις διδασκάλοις ἐπιδεικτέον. οἱ δὲ Λατῖνοι κἂν τῷ Εὐαγγελίῳ προκέδερε ἀκούοντες ἐκ πατρὸς, κἂν τῷ συμβόλῳ, ὃ δὴ τὴν εἰς τὸ εἶναι προσωπικῶς τοῦ πνεύματος πρόοδον ἐκ τῆς ἰδίας αἰτίας δηλοῖ. ἀκούοντες δὲ καὶ τὸν Αὐγουστῖνον τούτῳ πρὸς πᾶσαν ἐκδοχὴν τῆς προόδου κεχρημένον ὑπὸ τῆς τῶν λέξεων πενίας τῷ ῥήματι, κἂν εἰς τὸ ἁγιάσαι τὴν κτίσιν λέγῃ τὸ πνεῦμα προκέδερε, καὶ ὅπου οὖν αὐτοὶ ἐκπορεύεσθαι νοοῦσι καὶ ἑρμηνεύουσι, καὶ οὕτως ἡμῖν Αὐγουστῖνον ἐπανιστῶσι, σύμφωνον οἷς αὐτοὶ φρονοῦσι, καὶ ἡμῖν ἐναντίον εἶναι συκοφαντοῦντες. ἀλλ᾽ ἡμᾶς γε οὔτε πείσουσιν οὔτε ἀναγκάσουσιν, ἕως ἂν ἐν ἡμῖν τὸ φρονοῦν ὑγιαῖνον ᾖ καὶ ἐλεύθερον. αὐτῶν μὲν γάρ ἐστι, τὰς Αὐγουστίνου ῥήσεις προκομίζειν ἡμῖν. ἡμέτερον δὲ ἐστὶν, ἑρμηνεύειν αὐτὰς, κανόνι χρωμένων, οὐ τῇ ἰδίᾳ γνώμῃ, καθάπερ Λατῖνοι, ἀλλὰ τῷ πλάτει τῆς τῶν Ἀσιανῶν διδασκάλων θεολογίας. χρωμένων δὲ καὶ αὐτοῖς Λατίνοις τοῦ δέοντος παραδείγματι. τί γὰρ ἐκεῖνοι ποιοῦσι; λέγουσι μὲν τοὺς ἀπὸ τῆς Ἀσίας διδασκάλους ὁμοίως τοῖς οἰκείοις τιμᾶν. προΐστανται δὲ πανταχοῦ τοὺς οἰκείους. καὶ πᾶσαν αὐτῶν τὴν πίστιν πρὸς τὸν τύπον ἐκεῖνον ἀναφέρειν φιλονικοῦσι. καὶ ἐπειδὰν μὲν ἀπαθῶς τι ζητοῦσιν, ἐφικνοῦνται τῆς ἀληθείας καὶ τῆς τῶν διδασκάλων γνώμης καλῶς. ἐπειδὰν δὲ ὦσι πως προκατειλημμένοι, κἀκείνους ἀδικοῦσι καὶ σχίζουσιν. ἐντεῦθεν γὰρ καὶ αὐτοὶ πρὸς διαφόρους σχίζοντας γνώμας, μετὰ τῶν διδασκάλων ἐπιόντες ἀλλήλοις. οὐδὲν δὲ διαφέρει, πότερον ἐν τῷ δὲ τῷ συμπεράσματι ἢ ἐν ἑτέρῳ, ἕως ἂν ἐν πολλοῖς τῆς πίστεως συμπεράσμασι σχίζωνται. καὶ οἱ μὲν ἐκ τῆς τοῦ Θωμᾶ. οἱ δὲ ἐκ τῆς τοῦ Φραγκίσκου καὶ Σκότου διατριβῆς λέγωσιν εἶναι, εἴτουν αἱρέσεως. αἵρεσιν ἐνταῦθα φησὶν, ἣν οἱ Λατῖνοι λέγουσι σέκταν. ὥσπερ Στωϊκοὶ καὶ Περιπατητικοὶ πάλαι καὶ Ἐπικούρειοι. εἰ τοίνυν ἐκεῖνοι τοῦ τύπου τῶν οἰκείων διδασκάλων ἐξέρχονται, διατί μὴ καὶ ἡμεῖς οὕτω νοῦν ἔχοντες πράξομεν; καὶ πολλῷ μᾶλλον, ὅτι τοῦ

τύπου

τύπου τῶν εὐρωπαίων διδασκάλων, ὁ τῶν ἡμετέρων διδασκάλων τύπος, σαφέστερός τε καὶ κυριώτερος. καὶ ταῖς κοιναῖς τῆς πίστεως ὑποθέσεσι συμφωνότερος ἐστὶν, ὡς αὐτίκα δειχθήσεται. καὶ εἰ τοὺς ἡμετέρους διδασκάλους οὐκ ἀτιμάζειν ἐκεῖνοι φασὶν, ἐπειδὰν αὐτοὺς πρὸς τὸν οἰκεῖον ἐξηγῶνται σκοπὸν, διατί μὴ καὶ ἡμεῖς τοὺς ἐκείνων διδασκάλους τιμήσομεν ἀληθέστερον, πρὸς τὴν κοινὴν τῆς Ἐκκλησίας δόξαν τὰ ἐκείνων ἐπιπτώμενοι ῥήματα; σκοπῶμεν δὲ πρότερον καὶ ἐξ ἄλλων τοῦ διδασκάλου ῥητῶν, εἰ δυνατὸν ἐστὶν αὐτὸν, πρὸς τὴν τῶν διδασκάλων συμφωνίαν ἀκολουθεῖν, καλῶς ἑρμηνευομένης αὐτῷ, τῆς τοῦ προκέδερε λέξεως. ἐν γὰρ τῷ κατὰ Μαξίμου δευτέρῳ βιβλίῳ, Ζητεῖς παρ' ἐμοῦ φησὶν, εἰ ἐκ τῆς οὐσίας τοῦ πατρὸς ἐστὶν ὁ υἱὸς, ἐκ τῆς οὐσίας τοῦ πατρὸς ἐστὶ καὶ τὸ πνεῦμα τὸ ἅγιον, διατί ὁ μὲν εἷς ἐστὶν ὁ υἱὸς, τὸ δὲ ἕτερον οὐκ ἔστιν υἱός; ἰδοὺ ἀποκρίνομαί σοι, κἄντε λάβῃς, κἄντε μὴ λάβῃς. ἐκ τοῦ πατρὸς ἐστὶν ὁ υἱός. ἐκ τοῦ πατρὸς ἐστὶ τὸ πνεῦμα τὸ ἅγιον. ἀλλ' ἐκεῖνος μὲν, γεννητός. τοῦτο δὲ, ἐκπορευόμενον. διὸ ἐκεῖνος μὲν υἱὸς ἐστὶ τοῦ πατρὸς ἀφ' οὗ ἐγεννήθη. τοῦτο δὲ πνεῦμα ἑκατέρου, ὅτι ἐξ ἀμφοτέρων πρόεισιν. ἀλλὰ διὰ τοῦτο περὶ ἐκείνου λέγων ὁ υἱὸς ἔφη, ἐκ τοῦ πατρὸς ἐκπορεύεται, ὅτι ὁ πατὴρ τῆς προόδου αὐτοῦ ἐστὶν αἴτιος. ὃς τοιοῦτον υἱὸν ἐγέννησε. καὶ ἐν τῷ γεννᾶν δέδωκεν αὐτῷ, ἵνα καὶ ἐξ αὐτοῦ προΐῃ τὸ πνεῦμα τὸ ἅγιον. καὶ γὰρ εἰ μὴ τὸ πνεῦμα τὸ ἅγιον προΐει καὶ ἐξ αὐτοῦ, οὐκ ἂν εἶπε τοῖς μαθηταῖς, λάβετε πνεῦμα ἅγιον. καὶ τοῦτο ἐδήλου ἐμφυσῶν, ἵνα καὶ ἐξ αὐτοῦ προϊέναι παραδηλῶν, ἀποκεκαλυμμένως ἐμφυσῶν ἀποδείξῃ, ὅπερ πνέων κεκαλυμμένως ἐδήλου. εἶτα ἐπάγει. ἀμφοῖν ἄρα πνεῦμα ἐστὶ, προϊὸν ἐξ ἀμφοῖν. Τούτῳ τῷ τρόπῳ καλῶς ἡ ῥῆσις, καὶ τοῖς ἄλλοις διδασκάλοις συμφώνως ἔχει, πᾶσι τοῖς συνορᾷν δυναμένοις. ἀλλ' οἱ τὴν προσθήκην πρότερον τετολμηκότες, καὶ νῦν ὑπ' αὐτῆς ἐξηπατημένοι Λατῖνοι, δι' ὅλου τοῦδε τοῦ ῥητοῦ, τὸ προκέδερε, εἰς τὸ ἐκπορεύεσθαι νοοῦσιν. ὃ παρ' ἡμῖν ὥρισται, σημαίνει τὴν ὑποστατικὴν τοῦ πνεύματος πρόοδον. οὐδὲ τοῦτο γοῦν συνορῶντες, ὅτι καὶ τῆς προόδου τοῦ πνεύματος, αἴτιον τὸν πατέρα φησὶν ὁ διδάσκαλος. καὶ τοῦτο δοκεῖ τῷ πατρὶ μόνον ἀποκληροῦν, διὰ τὴν

Αὐγουστ.

Ἰωάν. ιε.

Ἰωάν. κ.

εὐαγγε-

εὐαγγελικὴν ἐκείνην ῥῆσιν. καὶ ὅτι πρόοδον τοῦ πνεύματος ἐκ τοῦ υἱοῦ βού-
λεται εἶναι τὴν κεκαλυμμένην καὶ ἀφανῆ δόσιν τοῦ πνεύματος. καὶ ὅτι τοῦ
μὲν προϊέναι τὸ πνεῦμα ἐκ τοῦ υἱοῦ, σημεῖον ποιεῖται τὸ ἀέριον ἐμφύσημα,
διὰ δὲ τὸ προϊέναι αὖθις ἐξ ἀμφοῖν, συμπεραίνει καὶ ἀμφοῖν πνεῦμα εἶ-
ναι. καὶ τοῦτ' ἐστὶν, ὅπερ οἱ Λατῖνοι πρότερον ἔλεγον, ἕως ἐφρόνουν καλῶς,
ὅτι τὸ διὰ τοῦ υἱοῦ καὶ ἐκ τοῦ υἱοῦ προϊέναι τὸ πνεῦμα, τοῦτο βούλεται τοῖς
Ῥωμαίοις πατράσιν, ἵνα τὸ συναφὲς τῆς οὐσίας καὶ ἀπαράλλακτον παρα-
στήσωσι. πρόεισι γὰρ ἐξ ἀμφοτέρων, πνεῦμα ἐστὶν ἀμφοτέρων. ἀλλὰ πνεῦ-
» μα μὲν υἱοῦ, ὡς οἰκειούμενον κατὰ φύσιν αὐτῷ φησὶν ὁ μέγας Βασίλειος. καὶ
» ὡς δι' αὐτοῦ φανερούμενον, καὶ τῇ κτίσει μεταδιδόμενον, ὁ θεῖος ἔφη Δα-
» μασκηνός. ἀλλ' οὐκ ἐξ αὐτοῦ ἔχον τὴν ὕπαρξιν. πνεῦμα δὲ πατρὸς, ὡς
ἐκ πατρὸς ἐκπορευόμενον. ταὐτὸν δὲ εἰπεῖν ὑφιστάμενον. καὶ ἐν τῷ περὶ
» πίστεως πρὸς Πέτρον. Ἀΐδιον καὶ ἄναρχον ἐστὶ φησὶν, ὅτι ὁ υἱὸς ἐκ τῆς τοῦ
» πατρὸς οὐσίας ὑπῆρξε. καὶ ἀΐδιον καὶ ἄναρχον, ὅτι τὸ πνεῦμα τὸ ἅγιον ἐκ
» τῆς τοῦ πατρὸς οὐσίας καὶ τοῦ υἱοῦ πρόεισιν. ἐν δὲ τῷ περὶ Τριάδος βι-
βλίῳ, πολλαχοῦ τὸ πνεῦμα ἐκ πατρὸς καὶ υἱοῦ προϊέναι λέγει. καὶ
τοῦ μὲν ἐκ πατρὸς προϊέναι, μαρτυρίαν ἐπάγει, ὃ φησὶν ὁ ἡμέτερος ἐν
Ἰωάν. ιε. » εὐαγγελίοις δεσπότης, Τὸ πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ πατρὸς ἐκ-
πορεύεται. τοῦ δὲ ἐκ τοῦ υἱοῦ προϊέναι, μαρτυρίας κομίζει, τὸ πέμπε-
σθαι τοῦτο παρὰ τοῦ υἱοῦ. τὸ ἐμφυσᾶσθαι. τὴν ἐξερχομένην ἐξ αὐτοῦ
δύναμιν καὶ ἰωμένην πάντας. τὴν τοῦ Ἡσαΐου προφητείαν ἐκείνην περὶ
Ἡσαΐ. ια. » τοῦ υἱοῦ. Ὅτι τῷ πνεύματι τῶν χειλέων αὐτοῦ, ἀνελεῖ τὸν ἀσεβῆ. ἢ
Παῦλ. » καὶ τὸ τοῦ ἀποστόλου συνάδει, λέγοντος, Ὃν ἀποκτείνει Κύριος Ἰησοῦς
Ἀποκαλ. » τῷ πνεύματι τοῦ στόματος. τὸ ἐν τῇ ἀποκαλύψει λεγόμενον, Ὅτι Ῥομ-
» φαία ἑκατέρωθεν ἠκονημένη ἐξεπορεύετο. εἶτα ἐκ τούτων ἁπάντων συμπε-
ραίνει, καὶ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ πνεῦμα εἶναι, τὸ ἐν Τριάδι λεγόμενον
πνεῦμα ἅγιον. καὶ ἐκ πατρὸς τοῦτο καὶ υἱοῦ προϊέναι. ταῦτα τοίνυν καὶ
πάνυ καλῶς λέγει. τὸ πνεῦμα γὰρ καὶ τοῦ υἱοῦ εἶναι, καὶ ἐκ τοῦ υἱοῦ προϊέ-
ναι τοῖς ἀποστόλοις δι' αὐτοῦ φανερούμενον καὶ διδόμενον. καὶ οὕτως εἶναι
τὸ πνεῦμα τοῦ υἱοῦ, καθάπερ καὶ τοῦ πατρός. πλὴν τῆς ἐκεῖθεν αἰτίας

οὐδ'

ἀλλ' ἐν τῇ ἀϊδίῳ ὑπάρξει τοῦ υἱοῦ διϊστάμενοι. ἀλλὰ μόνον μὲν ἐν αὐτῷ κατὰ φύσιν· διακρινόμενον δὲ αὐτοῦ καθ' ὑπόστασιν. καὶ οὕτω δι' αὐτοῦ λεγόμενον προϊέναι ὁ τῶν ἡμετέρων διδασκάλων κύκλος βοᾷ. Οὐκοῦν καὶ Αὐγουστῖνος ἄριστα λέγει, πρὸς τὴν αὐτὴν ἐκείνοις συντρέχων διάνοιαν. συνδραμεῖται δὲ καὶ ἐν πᾶσι καλῶς, εἰ μὴ ἀεὶ τὸ προκέδερε πρὸς τὸ ἐκπορεύεσθαι μεταβάλλοιτο. ἀλλ' ὅτε μὲν πρὸς τὸν πατέρα ἀναφέρεται μόνον, πρὸς τὸ ἐκπορεύεσθαι ἑρμηνεύοιτο. ὅτε δὲ πρὸς τὸν υἱόν, ἢ τὸν πατέρα καὶ τὸν υἱόν, εἰς τὸ προϊέναι. οὕτω δὲ καὶ τὸν σοφὸν ἐκεῖνον Πλανούδην τοὺς περὶ Τριάδος λόγους ἑρμηνεύειν ἐχρῆν. ὁ δὲ τὸ προκέδερε ἀεὶ πρὸς τὸ ἐκπορεύεσθαι μεταβεβληκώς, ἢ τῆς καθ' ἡμᾶς θεολογίας ἄπειρος ἦν, καὶ διὰ τοῦτο τῇ λέξει μόνῃ τοῦ διδασκάλου προσεῖχεν. ἢ τὰ Λατίνων φρονῶν ἐκακούργει τὴν ἑρμηνείαν. οἰόμενος πάντας τοῖς Αὐγουστίνου λόγοις ἐνδώσειν, ἐπειδὰν ἀκούσωσιν αὐτὸν ἐκ τοῦ υἱοῦ καὶ ἐξ ἀμφοτέρων ἐκπορεύεσθαι λέγοντα. Εἰ δέ τῳ δοκεῖ ταῦτα βίαια εἶναι, ἡμεῖς τριῶν προκειμένων, ἢ τὸν Αὐγουστῖνον δεῖξαι κακῶς τὰς γραφικὰς ἐκείνας α.
ῥήσεις νοήσαντα, καὶ δόξαν ἐν ἑαυτῷ συλλαβόντα, καινοτέραν τε καὶ μηδενὶ τῶν ἄλλων διδασκάλων ἀρέσκουσαν, καὶ διὰ τοῦτο περιϊδεῖν ὡς καινοτόμον τινὰ καὶ νεωτερίζοντα. ἢ μόνον αὐτὸν τοῦ σύμπαντος τῶν διδασκά- β.
λων χοροῦ, καὶ τῶν κοινῶν δοξῶν προτιμῆσαι. ἢ συμβιβάσαι τοῖς ἄλλοις, γ.
εἰ καὶ βιαίως. Τό γε τρίτον αἱρούμεθα, παραδείγματι κεχρημένοι Μαξίμῳ. ὃς τὰ τοῦ Νύσσης περὶ τῆς ἀποκαταστάσεως, τοῦτον τὸν τρόπον ἐδέξατο. μᾶλλον δὲ καὶ τῆς ἐξηγήσεως, ἣν τοῖς Αὐγουστίνου ῥητοῖς ἀποδίδομεν, αὐτὸν ἔχοντες Μάξιμον ἡγεμόνα. καὶ μᾶλλον αἱρούμεθα τοῦτο ποιεῖν, εἰ καὶ μέλλοι μέν τι τοῦ δικαίου πλέον χαρίζεσθαι, ἢ τοιοῦτόν τι πρὸς τὸν Αὐγουστῖνον ἀφεῖναι, οἷον ὁ Θωμᾶς πρὸς τὸν Μακάριον Δαμασκηνὸν ἀφιεὶς οὐκ ᾐδέσθη. Εἰ δὲ καὶ παντάπασιν ἀσύμβατα τὰ Αὐγουστίνου ταῖς κοιναῖς δόξαις ἦν, οὐκ ἄν ποτε τοὺς ἄλλους διδασκάλους ἀφέντες, καὶ τὰς κοινὰς παραιτησάμενοι δόξας, Αὐγουστίνῳ μόνῳ φέροντες ἐνειμάμεθ' ἑαυτούς. οὐδ' ὑπὲρ τῆς πρὸς Λατίνους εἰρήνης, ἄσπονδόν τινα πόλεμον πρὸς τηλικοῦτον διδασκάλων χορὸν εἱλόμεθα ἄν ποτε. ἀλλ'

ἔδει μᾶλλον ἡμᾶς τὸν μὲν Αὐγουστῖνον σιωπῇ καὶ μετ' εὐφημίας ἐᾶν, καὶ μηδὲν πρὸς Λατίνους ἀποκρίνεσθαι πλέον. μηδὲ γὰρ ἀνάγκην εἶναι περὶ παντὸς ὁτουοῦν ἐρωτωμένους λόγον ὑπέχειν. τοὺς δὲ διδασκάλους πάντας προτείνειν, τῇ καινοτομίᾳ Λατίνων πᾶσαν ἀποκλείοντας πάροδον. Εἰ γὰρ ὑπὲρ τῶν ἀμφιβόλων τούτων ἀγωνιζόμενοι Λατῖνοι, καὶ Δαμασκηνὸν διαβάλλουσι, καὶ τὴν σύνοδον συκοφαντοῦσι τὴν τρίτην. καὶ σοφιστῶν αὐτῇ καὶ μικρολόγων περιτιθέασι δόξαν, ὅτι τῆς ἀληθείας ἐν τῷ μείζονι μέρει κινδυνευούσης ἠνέσχοντο. καὶ σιωπῇ τὴν εἰς τὸ πνεῦμα τοῦ Νεστορίου παρεληλύθεσαν ὕβριν, περὶ τῶν ἐλαττόνων αὐτῷ δι' ὄχλου πάνυ γεγενημένοι· πῶς οὐχ ἡμᾶς ὑπὲρ τῶν ὁμολογημένων ἐνισταμένους, καὶ ἅπερ οὐδεὶς ἐγκαλεῖν πω τετόλμηκε. πολλῷ μᾶλλον προσήκει, τοῖς μὲν διδασκάλοις πᾶσι συγχωρῆσαι κρατεῖν, οἳ πάντες εἰς μίαν γνώμην συμβαίνουσιν. Αὐγουστίνου δὲ μηδὲ θίγειν ὅλως εὐλαβουμένους τὸν ἄνδρα, διά τε τὴν ἄλλην ἁγιωσύνην αὐτοῦ καὶ σοφίαν, καὶ τὰ κατὰ τῶν αἱρετικῶν ἀγωνίσματα ἐκεῖνα ἐνθυμουμένους, ἅπερ ἐν τῷ προτέρῳ μέρει τοῦ βιβλίου καλῶς ἡμῖν ἐπεξείργασται. καὶ οὐδὲν δεῖ προστιθέναι; ποῦ δὲ καὶ βίαιόν ἐστι τὸ παρ' ἡμῶν εἰωθὸς ἀεὶ λέγεσθαι, ὅτι καὶ Αὐγουστῖνος, καὶ Λέων, καὶ Γρηγόριος, οἱ τῆς Ῥώμης ἀρχιερεῖς, εἰς τὸ ἐκ πατρὸς ἐκπορευόμενον ὁμολογοῦσιν ἀεὶ πνεῦμα; καίτοι προϊέναι τοῦτο λέγοντες ἐξ ἀμφοῖν, ὁπωσποτε τὸ προϊέναι τοῦτο ἐννοοῦσι. καὶ οὐδεὶς αὐτῶν εἰς τὴν ἔγκαλον γνώμην, ἢ προήχθη, καίτοι μέγιστα δυναμένων τὴν κοινὴν μεταβάλλειν ὁμολογίαν. καὶ οἱ μετὰ τούτους αὖθις ἀρχιερεῖς τῆς Ῥώμης, μέχρι τοῦ πρώτου τοῦτο τετολμηκότος, τὴν αὐτὴν τοῖς μεγάλοις ἀρχιερεῦσιν ἐκείνοις καὶ διδασκάλοις ἐβάδισαν. ἐπιόντες μὲν τοὺς τῶν διδασκάλων λόγους, οἷς ἔγκειται τὸ πνεῦμα προϊέναι καὶ ἐξ ἀμφοῖν, ὁμολογοῦντες δὲ δημοσίᾳ τὴν πίστιν, ὡς ὑπ' ἐκείνων ὁμολογεῖτο. οὗ τί γένοιτ' ἂν σαφέστερον δεῖγμα, τοῦ τοὺς παρ' ἡμῶν ἐξηγήσασθαι ταύτας καὶ συμβιβάσαι ἀληθεῖς καὶ κυρίας εἶναι; δῆλον γὰρ ἐστίν, ὅτι πᾶσαν ἐκείνην τὴν θεολογίαν πρὸς τὸν τοῦ συμβόλου τύπον ἀνέφερον. καὶ διὰ τοῦτο τό, τε σύμβολον μένειν εἴων ἀκαινοτόμητον, καὶ τὴν τῶν διδασκάλων θεολογίαν

Σημείωσαι

οὕτως

οὕτως ἐνόσουν, ὥστε μηδαμῶς ἐνοχλεῖν αὐτοῖς λογισμόν τινα περὶ τοῦ συμβόλου. ἀλλ' ὡς μηδὲ μιᾶς δεομένου προσθήκης ἐφησυχάζειν. Εἰ δὲ τὸ σύμβολον τέλειον ἦν, ἔνγε τῷ περὶ τοῦ πνεύματος μέρει, καὶ μηδὲ μιᾶς προσθήκης δεόμενον, οὐκ ἄρα τὸ προϊέναι ἐξ ἀμφοῖν τὸ πνεῦμα, οὕτως ἐνόσουν ἐκεῖνοι, ὡς ὑφισαμένου τοῦ πνεύματος ἐξ ἀμφοῖν. οὐ καθ' ἡμᾶς οὕτω νοεῖν χρή, εἴπερ ἐν τῷ συμβόλῳ τοῦτο βούλεται, τὸ ἐκ τοῦ πατρὸς ἐκπορευόμενον, τὸ ἐκ πατρὸς οὐσιωδῶς προαγόμενόν τε καὶ ὑφιστάμενον. Εἰ δὲ τῷ ἐκ τοῦ πατρὸς λέγουσι, καὶ τὸ ἐκ τοῦ υἱοῦ συνεμφαίνεσθαι, καὶ διὰ τοῦτο τοὺς διδασκάλους ἄλλο τι νοεῖν, ἐπειδὰν ἔλεγον ἐξ ἀμφοῖν προϊέναι, εἰ μὴ καὶ τὸ παρ' ἀμφοτέρων ὑφίστασθαι, μήτε τοὺς τὴν προσθήκην εἰργασμένους προσθεῖναι, ἀλλὰ μόνον ἀναπτύξαι τὴν λέξιν, καὶ τὴν ἐμφαινομένην ἐξαπλῶσαι διάνοιαν, σόφισμα τοῦτ' ἐστὶν ὡς ἀληθῶς καὶ φενάκη, καὶ λογισμῶν ὀρθῶν ἐκπτώσις. τίσι γὰρ πιστεύσομεν μᾶλλον, αὐτοῖς τοῖς τὴν Ἐκκλησίαν προπετῶς διελοῦσιν, ἢ τοῖς τῆς Ἐκκλησίας προμάχοις; καὶ οἷς ὁ ὑπὲρ τῆς ἀληθείας ζῆλος τὸ ἐπίσημον; ἐκεῖνοι γὰρ ὅπως ἀνέπτυξαν τὸ ἐκ τοῦ πατρὸς ἐκπορεύεσθαι, οὐδὲ μιᾶς δεῖ μαντείας εἰδέναι, ἀλλὰ βοῶσι καὶ λάμπουσι πόρρωθεν αἱ προεκτεθειμέναι ῥήσεις ἐκείνων, αἷς οὐδέν ἐστι καὶ τῇ Λατίνων ἀναπτύξει κοινόν. Ἔπειτα τίς ἦν ἀνάγκη λέξιν καλῶς ἔχουσαν ἀναπτύσσοντας, ὑπερβαίνειν μὲν πατέρων θεσμοὺς, σχίζεσθαι δὲ τοῦ πλείστου καὶ μεγίστου μέρους τότε τῆς Ἐκκλησίας; καὶ θείων ῥημάτων ἀνάπτυξιν, ἑαυτοῖς μόνοις πιστεύειν οὐ πᾶσι Χριστιανοῖς, ὅτε δὴ καὶ εἰκὸς ἦν σφαλῆναι, τοὺς ἐξ οἰήσεως πρᾶγμα ἁρπάζοντας, οὐ σφίσι προσῆκον; καὶ διδασκάλους τῆς ἀναπτύξεως ἐκείνης προΐστασθαι, οὐ πάντας, οὐ δὲ τοὺς βελτίστους τε καὶ ἱκανωτάτους τά γε τοιαῦτα. καὶ οὓς οἱ πρὸς τοὺς αἱρετικοὺς ἀγῶνες, διηκριβωμένως τε καὶ σαφῶς, τὰ περὶ τῶν θείων ἐξετάζειν ἠνάγκασαν. καὶ οἷς ἡ παρὰ τῆς γλώττης βοήθεια προσῆν. ἣν καὶ Λατῖνοι πάσης ἀκριβοῦς ὁμιλίας, ὁμολογοῦσιν εἶναι παράδειγμα; ἐξῆν γὰρ δήπου καὶ ταῖς Ἀνατολικαῖς Ἐκκλησίαις ἀναπτύσσειν εἴπερ ἠβούλοντο. μείζω τε γὰρ δύναμιν εἶχον τῷ πλήθει τῶν θρόνων, καὶ τῇ παρὰ τῆς βασιλείας ῥοπῇ, ὑφ' ὧν αἱ σύμπασαι τῆς οἰκουμένης Σύνοδοι,

τὴν Ἀσίαν μόνην τὸν πρόσθεν χρόνον ἐκόσμουν, καὶ τὴν τῆς ἑβδόμης Συνόδου ψῆφον εἶχον μεθ᾽ ἑαυτῶν, ἐκ πατρὸς δι᾽ υἱοῦ τὸ πνεῦμα λέγουσαν ἐκπορεύεσθαι. καὶ πολλῷ πρότερον τὴν τῆς τρίτης, ἢ τὸ τὴν ὕπαρξιν μὴ ἔχειν τὸ πνεῦμα ἐκ τοῦ υἱοῦ, ἐξ ὧν τι οὐκ ἀντεῖπε, καὶ πολλοῖς ἄλλοις τρόποις ἔδειξε στέρξασα. καὶ τὰς τῶν διδασκάλων ἀναπτύξεις οὕπω πάνυ σαφεῖς εἶχον, ὥστε μηδένα ἂν αὐταῖς ἀντειπεῖν, εἴπερ ἀναπτύσσειν οὕτως ἠβούλοντο. ἠνώχλει δὲ αὐταῖς καὶ ἡ παρὰ Λατίνοις καινοφωνία βοσκομένη τὴν Ἐκκλησίαν δεινῶς. καὶ τὴν φανερὰν ἀποστασίαν ὠδίνουσα. ἀλλ᾽ ὅμως οὐδὲν τοιοῦτον ἐποίουν αἱ τῆς Ἀνατολῆς Ἐκκλησίαι. εὐλαβοῦντο γὰρ καὶ τοὺς τῆς τρίτης Συνόδου, περὶ τοῦ μὴ προστιθέναι θεσμούς, καὶ ἑνὸς πατριάρχου τοῦ πάπα καταφρονεῖν δεινὸν ἐποιοῦντο. καὶ ὃ μεῖζον ἐστὶν, οὐδ᾽ ὕστερον ἐπῄρει αὐτάς, ἡ τῆς Ῥωμαϊκῆς Ἐκκλησίας αὐτονομία, πρᾶξαί τι πρὸς ὀργήν, καὶ τὰς τῆς εἰρήνης ἐλπίδας ἀποτεμεῖν. οὕτω περὶ τὴν πίστιν καὶ τὴν εἰρήνην αἱ τῆς Ἀνατολῆς Ἐκκλησίαι βέλτιον διετέθησαν. καὶ εἰκότως. τὴν μὲν γὰρ τῆς Ἐκκλησίας ὁλοκληρείαν ἔδει σωφρονεῖν τε καὶ ὑγιαίνειν. οὕτω τοῦ ἡμετέρου δεσπότου, καὶ παραδόντος αὐτῇ, καὶ σαφῶς ἀπηγγελμένου. μέρος δέ τι (κἂν τὸ τιμιώτερον ᾖ) νοσεῖν τε καὶ διεφθάρθαι, τοῦ λοιποῦ καλῶς ἔχοντος, οὐδὲν ἦν ἀδύνατον. Πρὸς δὲ τούτοις, εἴπερ ἀνάπτυξις ἦν τὸ ἐκ τοῦ υἱοῦ, τοῖς τῶν διδασκάλων ἐγκειμένην βιβλίοις, μένειν ἐπὶ ταύτῃ ἐχρῆν, καὶ μὴ προχωρεῖν περαιτέρω. μηδὲ σχίσμα ποιεῖν τοῦ προτέρου πολλῷ χαλεπώτερον, ἀναπτύξεως αὖθις ἐπινοοῦντας ἄλλην ἀνάπτυξιν. καὶ μυρίας εἰσάγουσαν ἀντιφάσεις, ὡς μετ᾽ ὀλίγον δειχθήσεται. τοῦ μὲν γὰρ ἐκ τοῦ υἱοῦ τὸ πνεῦμα τὸ ἅγιον ἐκπορεύεσθαι, πολλὰς ἡμῖν νομίζουσιν ἀποδείξεις, ἐκ τῶν Αὐγουστίνου ῥητῶν. ἃ μᾶλλον ἐκ τοῦ υἱοῦ προϊέναι λέγει τὸ πνεῦμα κατὰ τὴν ἀληθινὴν ἡμῶν ἑρμηνείαν. αἴτιον δὲ εἶναι τοῦ πνεύματος τὸν υἱόν, ἢ ἀρχήν, ἢ τὸ πνεῦμα ἔχειν τὸ ὑφεστάναι, ἢ τὴν ὕπαρξιν ἐξ υἱοῦ, τίς τῶν διδασκάλων οὕτω διαρρήδην φησίν, ἐξ οὗ λαβόντες, πίστιν τοιαύτην εἰς τὸ κοινὸν τῆς Ἐκκλησίας τεθαρρηκότως κομίζουσιν; Ὅτι μὲν οὖν καὶ Αὐγουστῖνον, καὶ τοὺς ἄλλους Ῥωμαίων πατέρας, ἡμεῖς ἐσμὲν

ἐντιμῶντες ὡς ἀληθῶς, οἱ πρὸς τὴν κοινὴν τῆς Ἐκκλησίας ἐπιστώμενοι δόξαν αὐτούς, καὶ τοῖς τῶν ἀδελφῶν καὶ ὁμοτίμων λογίοις τὰ αὐτῶν ἐπιδεικνύντες συμβαίνοντα, ἱκανῶς ἐκ τῶν εἰρημένων γέγονε δῆλον. ἅμα δὲ δῆλόν ἐστιν, ὅτι μέχρι πολλοῦ τὴν αὐτὴν ἡμῖν ἡ τῶν Ῥωμαίων Ἐκκλησία περὶ Αὐγουστίνου καὶ τῶν ἄλλων Εὐρωπαίων πατέρων γνώμην ἐκέκτητο. τουτέστιν ἀπὸ τῶν τῆς τρίτης Συνόδου καιρῶν. ἐν οἷς ἦν Αὐγουστῖνος, μέχρι καὶ τῶν τοῦ μακαρίου Φωτίου χρόνων, ἐφ᾽ οὗ, καὶ ὑπὸ τῆς Συνόδου συναθροισθεῖσα, πέντε καὶ ἑβδομήκοντα παρερρυηκότων μετὰ τὴν ἑβδόμην ἐτῶν, ἐγκαθίδρυσέ τε αὐτὴν τῷ θρόνῳ, καὶ τοῖς τὴν καινοτομίαν ὑποψιθυρίζοντας τότε Λατίνους ἐκεῖ (οὗ χάριν, τὸ τῶν Ἐκκλησιῶν ἤρετο σκάνδαλον) ἐκκηρύκτους τῆς Ἐκκλησίας καὶ ἀποβλήτους κατεδίκασεν εἶναι. ταύτῃ δὲ τῇ Συνόδῳ, καὶ ὁ ἁγιώτατος πάπας Ἰωάννης διὰ τοποτηρητῶν ἐπεδήμει, Πέτρου καρδιναλίου πρεσβυτέρου, καὶ ἐπισκόπων δυοῖν Παύλου καὶ Εὐγενείου, καὶ ὡς ἐν ϛ΄. πράξει ταύτης ἀναγινώσκεται, μετὰ τὴν γνώμην κοινῇ προστεθεῖσαν τοῦ ἱεροῦ συμβόλου ἀνάγνωσιν, Οὕτω φρονοῦμεν ἅπαντες, οἱ πατέρες ἐβόησαν, οὕτω πιστεύομεν, εἰς ταύτην ἐβαπτίσθημεν τὴν ὁμολογίαν, καὶ τοῦ ἱεροῦ βαθμοῦ ἠξιώμεθα. τοὺς δὲ ἑτέρως παρὰ ταῦτα φρονοῦντας, ὡς ἐχθροὺς Θεοῦ καὶ τῆς ἀληθείας ἡγούμεθα. „ εἴ τις παρὰ τοῦτο τὸ ἱερὸν σύμβολον τολμήσῃ ἕτερον ἀναγράψασθαι, ἢ „ προσθεῖναι, ἢ ὑφελεῖν, καὶ ὅρον ὀνομάσαι ἀποθρασυνθείη, κατάκριτος „ καὶ πάσης χριστιανικῆς ὁμολογίας ἀπόβλητος. τὸ γὰρ ἀφαιρεῖν τι ἢ „ προστιθέναι, ἀτελῆ τὴν εἰς τὴν ἁγίαν καὶ ὁμοούσιον Τριάδα μέχρι σή- „ μερον ἀνέκαθεν κατισχύσασαν ὁμολογίαν ἡμῖν δείκνυσι. καὶ τῆς τε ἀποστολι- „ κῆς παραδόσεως, καὶ τῆς τῶν πατέρων διδασκαλίας καταγινώσκει. Εἴ τις „ τοίνυν εἰς τοῦτο ἀπονοίας ἐλάσας τολμήσῃ (ὡς ἀνωτέρω λέλεκται) ἕτερον „ ἐκθέσθαι σύμβολον, καὶ ὅρον ὀνομάσαι, ἢ προσθήκην ἢ ὑφαίρεσιν ἐν τῷ „ παραδεδομένῳ ἡμῖν παρὰ τῆς ἁγίας καὶ οἰκουμενικῆς Συνόδου ποιῆσαι, „ ἀνάθεμα ἔστω. ὁ δὲ Ῥώμης ἐπίσκοπος, ὁ μακάριος Ἰωάννης ἐπιστέλλων Φωτίῳ, τοιάδε περὶ τούτων φησί. Καὶ γὰρ ἡ σὴ ἀδελφότης ἐπίσταται, ὡς ὅταν παρεγένετο πρὸς ἡμᾶς, ὁ μικρὸν ἔμπροσθεν ἀποσταλεὶς παρ᾽ αὐ-

Σημείωσαι μετὰ τὴν ἑβδόμην σύνοδον 75.

Ἡ ἐπὶ Φωτίου σύνοδος.

Ἰωάννης πάπας Φωτίῳ πατριάρχῃ.

τῆς, καὶ περὶ τοῦ ἁγίου συμβόλου ἡμᾶς ἐδοκίμασεν, εὗρεν ἀπαράπτωτον, καθὼς ἀρχῆθεν παρεδόθη ἡμῖν διατηροῦντας. καὶ μήτε προστεθέντας, μήτ' ἀφαιροῦντας. ἀκριβῶς εἰδότας ὡς τοῖς τὰ τοιαῦτα τολμῶσι, βαρεία καταδίκη ἀναμένουσα ἀπόκειται. καὶ πάλιν. ὅμως παραδηλοῦμεν τῇ αἰδεσιμότητί σου, ἵνα περὶ τοῦ ἄρθρου τούτου, δι' ὃ συνέβη τὰ σκάνδαλα μέσον τῶν Ἐκκλησιῶν τοῦ Χριστοῦ, ἔχῃ πληροφορίαν εἰς ἡμᾶς, ὅτι οὐ
Σημείωσαι μόνον οὐ λέγομεν τοῦτο, ἀλλὰ καὶ τοὺς πρῶτον θαῤῥήσαντας τῇ ἑαυτῆς ἀπονοίᾳ τοῦτο ποιῆσαι, παραβάτας τῶν θείων λογίων κρίνομεν. καὶ μεταποιητὰς τῆς θεολογίας τοῦ Χριστοῦ, καὶ τῶν λοιπῶν πατέρων, οἳ Συνοδικῶς συνελθόντες παρέδωκαν τὸ ἅγιον σύμβολον. καὶ μετὰ τοῦ Ἰούδα αὐτοὺς τάττομεν, ὅτι καὶ ταῦτα ἐκείνῳ τετολμήκασιν. οὐ παραδόντες εἰς θάνατον τὸ κυριακὸν σῶμα. ἀλλὰ τοὺς πιστοὺς, οἵτινες εἰσὶν ὡς μέλη τοῦ σώματος αὐτοῦ, διασχίσαντες καὶ διατεμόντες ἀλλήλων. καὶ οὕτως αἰωνίῳ παραπέμψαντες θανάτῳ. καὶ μᾶλλον ἑαυτοὺς (ὡς ἐποίησεν ὁ ῥηθεὶς οὐκ ὀρθὸς μαθητὴς) ἀποπνίξαντες. Μέχρι τοίνυν τότε τῶν Αὐγουστίνου ῥητῶν οὕτως ἤκουεν ἡ τῶν Ῥωμαίων Ἐκκλησία, καθὼς ἡμεῖς νῦν ἀκούομεν. καὶ μέχρι τῶν καιρῶν ἐκείνων ἐν οἷς ἡ καινὴ δόξα αὕτη
130 καὶ τοῦ συμβόλου γενέσθαι μέρος ἐκράτησε. Τριάκοντα δὲ ἔτη πρὸς τοῖς ἑκατὸν ὕστερος ἦν, ὁ τὴν προσθήκην τετολμηκὼς πάπας, τοῦ τὴν καλὴν ἕνωσιν πράξαντος Ἰωάννου*. ὁ δ' ἠβουλήθη ποτὲ τὸ κοινὸν τῆς Ἐκκλησίας ἐκείνης, σκάνδαλον τοῖς Χριστιανοῖς ἐμβαλεῖν τῶν τοιούτων ῥήσεων ἕνεκα. ἀλλ' ἔθρεπτε μὲν τινὰς ἐν αὐτοῖς, τάγε τοιαῦτα, καὶ τὸν νεωτερισμὸν ἐμελέτων. ἦγχε δ' ὅμως ἐκείνους ἡ Ῥωμαϊκὴ Ἐκκλησία. αὐτή τε τῶν ἀρχαίων ἐχομένη, καὶ σωφρονοῦσιν ἔτι δυναμένη χρῆσθαι πολλοῖς. καὶ τῷ τοῦ συμβόλου τύπῳ, πᾶσαν τὴν τῶν νεωτεριζόντων τόλμαν ἀνέκοπτε. καὶ τὰς Ἀνατολικὰς Ἐκκλησίας παρεμυθεῖτο. καὶ ὑπισχνεῖτο τὴν τῶν νεωτεριζόντων διόρθωσιν. Ἐπεὶ δὲ ἐνέδωκέ ποτε τοῖς καινοτόμοις ἐκείνοις, τὴν τῆς πίστεως ὁμολογίαν παραχαράξαι, ἐντεῦθεν ὥσπερ ἑαυτῆς ἐπιλαθομένη, καὶ τὸν Αὐγουστῖνον ἐξηγεῖται καθὼς ἂν τῇ προσθήκῃ συμφέροι, καὶ τὸ ἑαυτῆς ἀξίωμα προτείνει πρὸς δικαιολογίαν.

γίαν. καὶ ταῖς καιναῖς ὑποθέσεσι πρὸς τὸ δοκοῦν αὐτῇ ἄγηται. καὶ τοὺς ἡμετέρους διδασκάλους καθάπερ αἰχμαλώτους τινὰς πρὸς συνηγορίαν ἕλκει τῶν αὐτῆς νόμων. καὶ ἡμᾶς πίστιν βιάζεται δέξασθαι, ἣν οὐκ ἴσμεν πόθεν ἐστί. Καὶ ἐπειδάν τις αὐτῇ συμβουλεύοι ῥάστην τε καὶ δικαιοτάτην ὁδὸν πρὸς τὴν τῶν Ἐκκλησιῶν ἕνωσιν (αὕτη δὲ ἐστὶν ἡ τῆς προσθήκης ἐκείνης ἀφαίρεσις) ἐπιλανθανομένη τοῦ ἀξιώματος, μὴ δύνασθαι φησὶ προσθήκην ἀφαιρεῖν χρόνῳ βεβαιωθεῖσαν, μηδὲ πάντας ἕξειν ὑπείκοντας ἑαυτῇ. καὶ οὕτω μέχρι τοῦ προστιθέναι μόνον τοῖς ἀρχαίοις ἔχειν τὸ κράτος ἐπιδείκνυσιν ἑαυτήν. πρὸς δὲ τὸ τὰ νέα ἀφαιρεῖν μηδὲν δύνασθαι. καὶ συγχεῖν μὲν, ἰσχύειν τὴν τῶν Χριστιανῶν Ἐκκλησίαν. ἑνοῦν δὲ καὶ διαλλάττειν, ἀδυνατεῖν. καί τοι προστιθέναι καὶ ἀφαιρεῖν τῷ συμβόλῳ τῆς πίστεως, καὶ ἡ τρίτη καὶ πᾶσαι Σύνοδοι κεκωλύκασιν ἐφεξῆς, ὡς ἡμεῖς λέγομεν. ὡς δὲ οἱ Λατῖνοι φασὶν, ὁ τῆς Ῥώμης ἀρχιερεὺς, οὐδαμῶς ἐστὶ τοῖς ὅροις τούτοις ὑπεύθυνος. δοκοῦν καὶ αὐτοὺς καὶ προστιθέναι καὶ ἀφαιρεῖν ἰσχὺν ἔχει. καὶ εἰ θάτερον τούτων, καὶ ἄμφω. καὶ εἰ μὴ θάτερον, οὐδὲ θάτερον. εἰ τοίνυν οὐ δύναται νῦν ὁ πάπας ὁπώς ποτε ἀφαιρεῖν, οὐ δὲ προστιθέναι ἠδύνατο τότε ὁ πώς ποτε. ἀλλ' εἴγε δεῖ τ' ἀληθῆ λέγειν, τότε μὲν πράττων ὅπερ οὐκ ἠδύνατο, (οὐ γὰρ ἐξὸν αὐτῷ προστιθέναι, καὶ ταῦτ' ἐπὶ τῷ τῆς Ἐκκλησίας κακῷ) πάνυ κακῶς ἐποίει. νῦν δὲ μὴ βουλόμενος πράττειν ὃ δύναται, (δύναται δὲ προσθήκην σκανδαλίζουσαν ἀφαιρεῖν. καὶ ταῦτα τοῦ συμβόλου καλῶς μέλλοντος ἔχειν, εἴπερ ἀνάπτυξις ἐστὶν ὡς ἀληθῶς τὸ προτεθειμένον ὡς αὐτοὶ λέγουσι, καὶ οὐδὲν πλέον ἐστὶν, οὐδὲ τελεώτερον) ἁμαρτάνει δήπου χεῖρον ἢ πρότερον. ἡμῶν δὲ οὐδεὶς τῷ Θεῷ τὸν λόγον ὀφλήσει, οὕτω φανερῶς καὶ τότε καὶ μέχρι τοῦ νῦν τοῦ πάπα τὸ σχίσμα πράττοντος. εἰ γὰρ ἐχρῆν τινα καὶ οἰκονομίαν πρὸς τὰς τῶν Ἐκκλησιῶν ἐπινοεῖσθαι, συμβάσης αὐτῷ γ' ἂν προσῆκεν οἰκονομεῖν. τὸ γὰρ οἰκονομεῖν πανταχοῦ, τοῦ μείζονος πέφυκεν. αὐτὸς δὲ ἐστὶ μείζων ὡς ἀληθῶς ἐν τῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ, εἴγε τὰ τῶν μειζόνων βούλεται πράττειν. ταῦτα μὲν οὖν ὥσπερ ἐν ἐκδρομῇ. Ἐπεὶ δὲ καὶ Λατῖνοι τὰς ἐν τοῖς

διδασκά-

διδασκάλοις φαινομένας διαφωνίας λέγουσι λύεσθαι, κειμένης τῆς νεωτέρας δόξης αὐτῶν, τουτέστι τοῦ τὸν υἱὸν ἀρχὴν εἶναι τοῦ πνεύματος καὶ αἴτιον, πρῶτον μὲν δείξομεν, ὡς εἰ καὶ τοῦτ' ἦν δυνατὸν, ἀλλὰ βέλτιον ἐστὶ πρὸς τὸν τύπον Ἀσιανῶν διδασκάλων ἕλκειν τοὺς Εὐρωπαίους. καὶ κανόνα καὶ τύπον τῆς πίστεως, αὐτοὺς τῶν ἀπὸ τῆς Ἀσίας πατέρων ποιεῖσθαι τὰς συλλαβὰς, ἢ τὸ ἀνάπαλιν πρὸς τὸν τύπον τῶν Εὐρωπαίων τὰς τῶν ἡμετέρων διδασκάλων λέξεις βιάζεσθαι. δεύτερον ὡς ἀδύνατον ἐστὶ κειμένου τοῦ τὸν υἱὸν ἀρχὴν εἶναι τοῦ πνεύματος, τοὺς ἡμετέρους διδασκάλους, μὴ ὅτι γε τοῖς ἀπὸ τῆς Εὐρώπης συμβαίνειν, ἀλλ' οὐ δὲ σφίσιν αὐτοῖς. καὶ τοῦτο σαφὲς ποιήσομεν, πάσας τὰς ἐξηγήσεις, αἷς τὰ τῶν ἡμετέρων διδασκάλων οἰκειοῦσθαι πειρῶνται Λατῖνοι σοφιζομένων οὔσας, καὶ οὐδὲν ὑγιὲς ἐχούσας ἐπιδείξαντες. καὶ οὕτω πέρας ἐπιθήσομεν τῷ βιβλίῳ προσῆκον. Τὰ αὐτὰ δὲ καὶ ὥσπερ τις ἀνακεφαλαίωσις τῶν ῥήσεων τῶν ἱερῶν διδασκάλων ἔσται κατ' ἐπιδρομήν. ὡς ἂν ὁ σύμπας οὑτοσὶ λόγος, εἰ καὶ δοκεῖ τινα πρόθεσιν ἰδίως ἔχειν, ὅμως ἐπανάληψις ᾖ τῶν προειρημένων, καὶ ὥσπερ τις δευτερολογία τοῖς ἐπιμελῶς ἐντευξομένοις, οὐδένα κόρον παρέξουσα. Ὅτι μὲν οὖν ἕλκειν πρὸς τὰ σαφέστερα χρὴ τὰ ἧττον τοιαῦτα, καὶ πρὸς τὰ κυρίως λεγόμενα τὰ μὴ κυρίως, καὶ οὕτως ἐν ἑκάστῃ πρέπει ποιεῖν ἐπιστήμῃ τοὺς ἀληθεῖς διδασκάλους, οὐδεὶς ἂν ἀρνήσαιτο. ὅτι δὲ οἱ παρ' ἡμῖν διδάσκαλοι σαφέστερόν τε καὶ κυριώτερον τεθεολογήκασι τῶν ἀπὸ τῆς Εὐρώπης πατέρων, οὐδεὶς ἀγνοήσει τὰ τῶν διδασκάλων εἰδώς. οὐκοῦν τὰ ἐκείνων πρὸς τὰ τούτων ἀπευθύνεσθαι δεῖ, καθάπερ εἰς τινα κανόνα καὶ τύπον. ἀλλὰ πρῶτον ὅτι σαφέστερα τὰ τῶν ἡμετέρων διδασκάλων εἰσὶ δείξομεν. Εἰ τοίνυν γνωριμώτερα εἶναι δεῖ καὶ σαφέστερα, ὅσα τῶν ἀρχῶν εἰσὶν ἐγγυτέρω, ὡς τῶν ἀρχῶν φύσει φανερωτάτων οὐσῶν. ἀρχαὶ δέ τινες εἰσὶν ἐν ἡμῖν τῆς πίστεως τῷ τῆς ἀποκαλύψεως γνωρισθεῖσαι φωτὶ, καὶ ταύταις ὁ τύπος τῶν παρ' ἡμῖν διδασκάλων παντάπασι συμφωνεῖ, εὔδηλον, ὅτι καὶ σαφέστερός ἐστιν. οἷον ἀρχὴ μέν τις ἐστὶν ὁ τοῦ ἡμετέρου δεσπότου λόγος, ὅτι τὸ πνεῦμα παρὰ τοῦ πατρὸς ἐκπορεύεται. ἧς ἐν εὐαγγελίοις οὐδὲ μίαν σαφεστέραν ἔχομεν

ῥῆσιν,

ῥῆσιν, περὶ τῆς τοῦ πνεύματος ὑπάρξεως ἐκ τοῦ Θεοῦ καὶ πατρός. καὶ ὅτι
τὸ παρὰ τοῦ πατρὸς ἐκπορεύεσθαι, τὸ τὴν ὕπαρξιν ἐκ τοῦ πατρὸς ἔχειν
δηλοῖ, καὶ ὡς ἕτερον ἐστὶ τοῦτο τοῦ παρὰ τοῦ πατρὸς καὶ υἱοῦ πέμπεσθαι,
φθάσαντες ἐν τῷ τρίτῳ δεδηλώκαμεν λόγῳ. Ἔστι τις ἑτέρα πάλιν ἀρχὴ,
ὁ ἀποστολικὸς λόγος ἐκεῖνος. ἐν ᾧ φησὶν ὁ μακάριος Παῦλος περὶ τοῦ
Θεοῦ καὶ πατρός, Ὅτι ἔσωσεν ἡμᾶς διὰ λουτροῦ παλιγγενεσίας, καὶ ἀνακαι- » Πρὸς Τίτον, γ.
νώσεως πνεύματος ἁγίου, οὗ ἐξέχεεν ἐφ' ἡμᾶς πλουσίως, διὰ Ἰησοῦ Χρι- »
στοῦ. Ταύταις ταῖς ἀρχαῖς σύμφωνόν τινα περὶ τοῦ πνεύματος οἱ παρ'
ἡμῖν διδάσκαλοι συντεθέμενοι λόγον, λέγουσι πανταχοῦ τὸ πνεῦμα, ἐκ
μὲν τοῦ πατρὸς ἐκπορεύεσθαι, χορηγεῖσθαι δὲ τῇ κτίσει δι' υἱοῦ. καὶ ἐκ
Θεοῦ μὲν τὴν ὕπαρξιν ἔχειν, δι' υἱοῦ δὲ πεφηνέναι τοῖς ἀνθρώποις. καὶ
διὰ τοῦ υἱοῦ μὲν ἐκλάμπειν, τὴν δὲ τῆς ὑποστάσεως αἰτίαν ἔχειν
ἐκ τοῦ πρωτοτύπου φωτός. καὶ ἐκ τοῦ Θεοῦ μὲν τὴν ὅλην τὴν αἰτίαν ἔ-
χειν τοῦ εἶναι, ὅθεν καὶ τὸ μονογενὲς ἐστὶ φῶς. διὰ δὲ τοῦ ἀληθινοῦ φω-
τὸς ἐκλάμπειν. καὶ ταῦτα λέγουσι, τὸ μὲν ἐκπορεύεσθαι, εἰς τὸ τὴν αἰ-
τίαν ἔχειν τοῦ εἶναι, καὶ τὸ ὑφεστάναι μεταβαλόντες. ἀντὶ δὲ τοῦ ἐκχεῖσθαι,
τῷ πεφηνέναι ὡς οἰκειοτέρῳ χρησάμενοι, ὅσῳ καὶ τὸ φῶς ἀσωματώτερον
ἐστὶ τοῦ ὕδατος. καὶ ἡ λάμψις τῆς χύσεως. ἄλλοι δὲ φανεροῦσθαι καὶ με-
ταδίδοσθαι λέγουσιν αὐτὸ δι' υἱοῦ. πάντες ἐν διαφόροις ταῖς λέξεσι, πρὸς
τὴν διάνοιαν τῆς ἀποστολικῆς ἐκείνης ῥήσεως ἑαυτοὺς ἀναφέροντες. Ἔστιν
ἑτέρα τις ἀρχὴ, ὃ φησὶν ὁ μακάριος Πέτρος περὶ τοῦ ἡμετέρου δεσπότου,
Ὅτι τῇ δεξιᾷ τοῦ Θεοῦ ὑψωθεὶς, τήν τε ἐπαγγελίαν τοῦ πνεύματος λα- » Πράξ. β.
βὼν παρὰ τοῦ πατρὸς, ἐξέχεε τοῦτο, ὃ νῦν ἡμεῖς βλέπετε καὶ ἀκούετε. »
τούτους τοὺς ἀποστολικοὺς λόγους συνάψας ὁ Κύριλλος περὶ τῆς τοῦ
πνεύματος δόσεως τὸν λόγον ποιούμενος, ποῦ μὲν φησὶν, Ὅτι τὸ πνεῦμα » Κύριλ.
τὸ ἅγιον ἐν ἡμῖν γενόμενον, συμμόρφους ἡμᾶς δεικνύει Θεοῦ, πρόεισι δὲ »
ἐκ πατρὸς καὶ υἱοῦ, τὴν τοῦ ἐκχεῖσθαι λέξιν μεταβαλὼν, καὶ ὡς κοινο- »
τέρᾳ καὶ πνευματικωτέρᾳ τῇ τοῦ προϊέναι χρησάμενος. ἐκεῖ τε οἱ ἀπό-
στολοι λέγουσιν, ὅτι ἐξέχεεν ὁ πατὴρ ἐφ' ἡμᾶς. καὶ ὅτι ἐξέχεεν ὁ υἱὸς
τοῦτο, ὃ νῦν ὑμεῖς βλέπετε. καὶ οὗτος ὁ διδάσκαλος λέγει, ὅτι ἐν ἡμῖν

τὸ πνεῦμα γινόμενος, πρὸς τὸ συμμορφοῦν ἀποδεῖξαι Θεοῦ, ἐκ πατρὸς καὶ υἱοῦ πρόεισι. ποῦ δὲ καὶ αὐτὴ τὴν ἀπόστολον χρῆται λέξει. καὶ φησὶν ἐξ ἀμφοῖν. τουτέστιν ἐκ πατρὸς διʼ υἱοῦ, προχεῖσθαι τὸ πνεῦμα, μόνην μεταποιήσας τὴν πρόθεσιν, καὶ προστίθησιν οὐσιωδῶς. ἵνα τὴν ὑπόστασιν ἐκείνην, ἧς ἡ πρὸς ἡμᾶς χεομένη χάρις ἐστὶν, ἐπιδείξῃ τῆς θείας τυγχάνειν

Γαλάτ. δ. οὐσίας. πάλιν φησὶν ὁ ἀπόστολος, Ἐξαπέστειλεν ὁ Θεὸς τὸ πνεῦμα τοῦ υἱοῦ αὐτοῦ. καὶ εἴ τις πνεῦμα Χριστοῦ οὐκ ἔχει. ταύτην τὴν ἀρχὴν αὖθις τῇ εὐαγγελικῇ ἐκείνῃ συνάπτοντες οἱ ἐν τῇ πρώτῃ Συνόδῳ πατέρες

Συνόδ. α. λέγουσι, Δέχου μίαν θεότητα. εἶτα ἐπάγουσι, καὶ τοῦ ἁγίου πνεύματος τοῦ ἐκπορευομένου ἐξ αὐτοῦ τοῦ πατρὸς, ἰδίου δὲ ὄντως τοῦ υἱοῦ, καὶ πάλιν. Εὕρηται φασὶ τὸ πνεῦμα ἐκπορευόμενον μὲν ἐκ τοῦ πατρός. ἴδιον δὲ τοῦ υἱοῦ, καὶ ἐξ αὐτοῦ ἀναβλύζον. καὶ τοῦτο πάλιν ἀφʼ ἑτέρας ἀρχῆς, ἣ τὸ πνεῦμα ὕδωρ καλεῖ, μεταφορικῶς ἐν εὐαγγελίοις. καὶ Κύριλλος τῇ Συνόδῳ συνᾴδων, ἴδιον τοῦ υἱοῦ τὸ πνεῦμα φησί. καὶ ὡς ἰδίῳ πράττειν αὐτῷ τὰς θεοσημείας τὸν ἡμέτερον Κύριον. οὐχ ὡς ἔξωθεν ἐπισκεινομένῳ, καὶ ἀνάζοντι κατὰ τὸν Νεστόριον. καὶ Θεοδώρητος ὑποπτεύει, μήποτε ἴδιον αὐτὸ καλεῖ, ὡς ἐκ τοῦ υἱοῦ τὴν ὕπαρξιν ἔχον. μᾶλλον δὲ εἰ δεῖ τ' ἀληθέστερον εἰπεῖν, ἐνοχλεῖ. καὶ Κύριλλος αὖθις ἀπολογούμενος, ἐκπορεύεσθαι μὲν ἐκ τοῦ πατρὸς αὐτὸ διομολογεῖ. εἶναι δέ φησιν ἴδιον ὡς οὐκ ἀλλότριον. ἵνα νοῆται πνεῦμα μὲν υἱοῦ ὡς ἴδιον αὐτοῦ, κατά τε τὴν Σύνοδον καὶ τὸν Κύριλλον. ἴδιον δὲ, ὡς οὐκ ἀλλότριον, κατʼ αὐτὸν πάλιν τὸν Κύριλλον, καὶ ὡς ᾠκειωμένον κατὰ φύσιν αὐτῷ κατὰ τὸν Βασίλειον. ἀλλʼ οὐκ ἐξ αὐτοῦ τὴν ὕπαρξιν ἔχον, κατά τε τοὺς ἄλλους καὶ αὐτὸν τὸν Δαμασκηνόν. Ταύταις ταῖς ἀρχαῖς ἡ δευτέρα Σύνοδος ἀκολουθήσα-

Σύνοδ. β. σα, Τὸ πνεῦμα εἶπε τὸ ἐκ τοῦ πατρὸς ἐκπορευόμενον. τὸ σὺν πατρὶ καὶ υἱῷ συμπροσκυνούμενον, καὶ συνδοξαζόμενον. καὶ αἱ σύμπασαι μετʼ αὐτὴν οἰκουμενικαὶ Σύνοδοι. Ἔτι καθολική τις ὑπόθεσις τῆς πίστεως πέ-

Γρηγ. ὁ θεολόγ. φυκεν (οὐκ ἴσμεν εἰ καὶ Λατίνοις ἡμῖν ὁμοίως φυλαττομένη) Ὅτι μία ἀρχὴ πάντων ἐστὶν ὁ Θεὸς καὶ πατὴρ διʼ υἱοῦ ἐν πνεύματι. τὸ ἄναρχον. ἡ ἀρχὴ καὶ τὸ μετὰ τῆς ἀρχῆς ὁ θεῖος εἶπε Γρηγόριος. τουτέστιν ὁ ἐν Τριάδι

προ-

προσώπων, εἷς καὶ οὐσίαν Θεός. οὗτος γὰρ ἐστὶ καὶ ἄναρχον κατὰ φύσιν,
καὶ μία πάντων ἀρχὴ δημιουργικῶς. ἀρχὴ δὲ υἱοῦ καὶ πνεύματος ἐστὶν ὁ πα-
τὴρ φυσικῶς. ἵνα ᾖ ὁ πατὴρ πάντων ἀρχή. ἀλλ' υἱοῦ μὲν καὶ πνεύματος,
μόνος καὶ φυσικῶς. ὡς προσωπικὸν ἔχων τὸ εἶναι τούτων ἀρχή, καὶ κατὰ
τὸ εἶδος ταῦτα προάγων τῆς φύσεως. τῶν δὲ κτισμάτων, οὐ μόνος. ἀλλὰ
μετὰ τοῦ υἱοῦ καὶ τοῦ πνεύματος. ὡς μία μετὰ τούτων ἀρχή. ποιεῖται γὰρ
ταῦτα κατὰ τὴν τῆς κοινῆς βουλήσεως ὁμοιότητα. καὶ οὐσιωδῶς εἴτουν
φυσικῶς ἔχει τὸ εἶναι τῶν κτισμάτων ἀρχή, οὐ προσωπικῶς. οὐ γὰρ
πρὸς τὸ ἔξωθεν μόνον ἀντιτιθέασιν οἱ διδάσκαλοι τὸ οὐσιωδῶς. ἀλλὰ
δὴ καὶ πρὸς τὸ προσωπικῶς. ὥσπερ ὁ μακάριος Μάξιμος ἐν τῷ κη.
τῶν πρὸς Θαλάσσιον, καὶ τῷ πρὸς Μαρῖνον τόμῳ περὶ τοῦ υἱοῦ φησίν.
Ὅτι ὑποστατικὴν καὶ οὐ φυσικὴν ἔχει παρὰ τὸν πατέρα ἐνέργειαν. Μάξιμ.
ταυτὸν λέγων φυσικὸν καὶ οὐσιῶδες. καὶ ὑποστατικὸν αὖ καὶ προσωπι-
κόν. Ταύτῃ τοίνυν τῇ τῆς πίστεως ὑποθέσει κατακολουθοῦντες, ὁ μὲν
Διονύσιος, μόνην πηγὴν τῆς ὑπερουσίου θεότητός φησι τὸν πατέρα. ὁ δὲ Διονύσ.
Ἀθανάσιος, μόνον πηγὴν θεότητος. ὁ δὲ Δαμασκηνός, μόνον αἴτιον. ὁ Ἀθανάσ.
δὲ Μάξιμος, οὐκ εἶναι τὸν υἱὸν αἴτιον, τῆς τοῦ ἁγίου πνεύματος ἐκπορεύ- Δαμασκ.
σεως. ὁ δὲ Γρηγόριος πάντα τὰ τοῦ πατρὸς ἔχειν τὸν υἱόν, πλὴν τῆς αἰ- Μάξιμ.
τίας. λέγει δὲ τὴν ἔνδον. περὶ γὰρ τῶν ἔνδον ποιεῖται τὸν λόγον ἐκεῖ. Γρηγ. ὁ
καὶ ὁ αὐτὸς ἰδιότητα τοῦ πατρὸς εἶναι, τὸ αἴτιον καὶ τὴν ἀρχήν φησι τῆς θεολ.
ἐν υἱῷ καὶ πνεύματι θεωρουμένης θεότητος. καὶ πάλιν, ἰδιότητα τοῦ πατρὸς
μέν, τὸ ἄναρχον, καὶ τὴν ἀρχήν. ἀρχὴν δὲ ὡς αἴτιον καὶ πηγήν, καὶ ὡς
ἀΐδιον φῶς. καὶ ὁ Μάξιμος μίαν εἶναί φησιν υἱοῦ καὶ πνεύματος τὸν πα- Μάξιμ.
τέρα αἰτίαν. τοῦ μὲν κατὰ γέννησιν. τοῦ δὲ κατὰ ἐκπόρευσιν. καὶ ὁ Νύσ-
σης, Ἓν φησὶ καὶ τὸ αὐτὸ πρόσωπον τοῦ πατρός, ἐξ οὗπερ ὁ υἱὸς γεννᾶται, Νύσσ.
καὶ τὸ ἅγιον πνεῦμα ἐκπορεύεται. καὶ ὁ μέγας Ἀθανάσιος ἐν μϛ. κε-
φαλαίῳ, Τί ἐστὶ Θεός; ἡ πάντων ἀρχὴ κατὰ τὸν ἀπόστολον. λέγοντα εἷς Ἀθανάσ.
Θεὸς ὁ πατήρ, ἐξ οὗ τὰ πάντα. καὶ γὰρ ὁ λόγος ἐξ αὐτοῦ γεννητῶς. καὶ
τὸ πνεῦμα ἐξ αὐτοῦ ἐκπορευτῶς. εἶτα πᾶσα ἡ κτίσις, διὰ τοῦ λόγου ἐν
πνεύματι συνέστη δημιουργικῶς. καὶ ὁ Θεολόγος ἐν τῷ εἰς τὴν Πεντηκο-

στὶν λόγῳ, πρὸς τὴν πρώτην αἰτίαν, ὥσπερ τὰ τοῦ μονογενοῦς ἅπαντα, οὕτω δὴ καὶ τὰ τοῦ πνεύματος ἀναπέμπεται. φυλαττομένου δηλονότι, τοῦ, τὸ μὲν γέννημα εἶναι. τὸ δὲ πρόβλημα. ἐξ οὗ καὶ ἡ προεπίνοια τοῦ υἱοῦ πρὸς τὸν πατέρα, ἀναγκαίως. καὶ ἡ ἐν αὐτοῖς τάξις ἀνίσχει. Ἔτι τὰς ἰδιότητας τῶν ὑποστάσεων ἀσυγχύτους διατηρεῖν, ὁ τῆς Θεολογίας νόμος παρακελεύεται. τοῦτον δὲ οἱ παρ' ἡμῖν διδάσκαλοι τηροῦντες

Διονύσ. » τὸν νόμον, ὁ μὲν Διονύσιος, Πηγαίαν θεότητα, καὶ θεογόνον, τὸν πατέρα
Γρηγ. ὁ » καλεῖ. Γρηγόριος δὲ ὁ Θεολόγος, Τοῦτ' ἐστὶν ὁ πατὴρ (φησὶ) γεννήτωρ καὶ
θεολ. » προβολεύς. τῶν δὲ, τὸ μὲν γέννημα. τὸ δὲ πρόβλημα. καὶ περὶ τοῦ
» υἱοῦ πάλιν λέγει. ὅτι μόνον υἱὸς ἐστί. καὶ ὅλον υἱός. καὶ πάλιν, Δέον
» ἕνα Θεὸν πατέρα γινώσκειν ἄναρχον καὶ ἀγέννητον. καὶ υἱὸν ἕνα γεγεννη-
» μένον ἐκ τοῦ πατρός. καὶ πνεῦμα ἓν, ἐκ Θεοῦ τὴν ὕπαρξιν ἔχον. καὶ ὁ
Θεόδωρος » Στουδίτης Θεόδωρος εἰπὼν, Εἰς ἓν πνεῦμα ἅγιον ἐκ Θεοῦ καὶ πατρὸς προϊὸν,
Στουδίτης » καὶ πατρὶ καὶ υἱῷ συνθεολογούμενόν τε καὶ συνδοξαζόμενον, ὡς συμ-
» φυὲς καὶ συναΐδιον, ἐπάγει, Τριάδα μὲν δοξάζοντες ὑποστάσεσιν, εἴτουν
» προσώποις. καὶ ἑκάστῳ τῶν εἰρημένων, ἀμιγεῖς καὶ ἀσυγχύτους τηροῦν-
» τες τὰς ἀφοριστικὰς ἰδιότητας, ὡς οὐδαμοῦ μεταπιπτούσας, ἢ κινουμένας.
» πατρὶ μὲν τὴν ἀγεννησίαν καὶ τὸ αἴτιον τῶν ἐξ αὐτοῦ νέμοντες. υἱῷ δὲ τὴν
» γέννησιν. πνεύματι δὲ τὴν ἐκπόρευσιν. καὶ ὡς ἐξ αἰτίου τοῦ πατρὸς, τό, τε
» γεννώμενον, καὶ τὸ ἐκπορευόμενον, νοοῦντες ἀπαυγάσαντα. καὶ ὁ ἀοίδι-
Νικηφόρος » μος Πατριάρχης ὁ Νικηφόρος, Εἰδότες φησὶ τὸ μὲν αἴτιον, καὶ γεννήτορα,
πατριάρ- » καὶ προβολέα, τὸν πατέρα. ἄναρχον καὶ ἀναίτιον, ἄχρονον καὶ ἀΐ-
χης » διον. τὸ δὲ γέννημα καὶ υἱὸν. τῷ πατρὶ συνάναρχον καὶ συναΐδιον. ἀ-
» ναλλοίωτον καὶ ἀπαθῆ, καὶ ἄτροπον ἐκ πατρὸς τὴν γέννησιν ἔχοντα. πρὸς
» αἴτιον δὲ καὶ ἀρχὴν τὸν πατέρα ἀναφερόμενον. τὸ δὲ ἐκπόρευμα. ἤτοι
» ἐκπορευτὸν, καὶ ἁγιαστικὴν δύναμιν τὸ πνεῦμα τὸ ἅγιον ἀχρόνως ἀεὶ ἐκ
» τοῦ πατρὸς προϊὸν, οὐ γεννητῶς, ἀλλ' ἐκπορευτῶς ἔχει τὴν πρόοδον.
» πατρὶ καὶ υἱῷ συνυπάρχον ἀϊδίως, καὶ τὰ ἑξῆς. εἶτα ἐπάγει, Ἐξ ὧν
» καὶ τὸ ταυτὸν καὶ ἑνιαῖον τῆς οὐσίας πιστεύεται, καὶ τὸ τρισσὸν τῶν προ-
» σώπων δοξάζεται. τῶν συγχεόντων δὲ καὶ διαιρούντων τὰ συγχύσεως

καὶ διαιρέσεως ἀνεπίδεκτα, ἡ ἀθεΐα καὶ ἀπιστία καταβέβληται καὶ κατήργηται. Καθάπερ λοιπὸν οἱ θεολόγοι καὶ τῶν ἀρρήτων μύσται καὶ μυσταγωγοὶ, ὀρθῶς τε καὶ ἐνθεέστατα κηρύττοντες παραδεδώκασιν *. Ἔτι διὰ τῶν τριῶν ὑποστάσεων τούτων, μίαν εἶναι τὴν οὐσίαν. καὶ ἀριθμῷ μίαν. καὶ οὕτω Θεὸν εἶναι τὸν πατέρα, καὶ τὸν υἱὸν, καὶ τὸ πνεῦμα τὸ ἅγιον, ἡ ἀληθινὴ πίστις κρατεῖ. καὶ διὰ τοῦτο χωρίζεσθαι μὲν τὰς ὑποστάσεις ταῖς ἰδιότησιν. ἀχωρίστως δὲ αὖθις συνεῖναι καὶ συγκαταλαμβάνεσθαι. καὶ μήτε τὸν υἱὸν καὶ τὸ πνεῦμα χωρίζεσθαι τῆς ἰδίας αἰτίας, μηδὲ ταῦτα ἀλλήλων ἀποδιεστάναι. μήτε τὰς προόδους αὐτῶν. ἀλλὰ πάντα ἐν ἀλλήλοις εἶναι, καὶ δι᾽ ἀλλήλων. μενούσης ἀσυγχύτου τῆς ὑποστατικῆς αὐτῶν διακρίσεως. Τούτῳ τοίνυν τῷ δόγματι συμφώνως οἱ θεῖοι πατέρες ἐκ πατρὸς δι᾽ υἱοῦ τὸ πνεῦμα φασὶν ἐκπορεύεσθαι. καὶ ἐκ πατρὸς δι᾽ υἱοῦ εἶναι. καὶ τὸν πατέρα προβολέα εἶναι τοῦ πνεύματος διὰ λόγου. καὶ τὴν αἰτίαν προστιθέασιν ἑαυτοὺς ἐξηγούμενοι, ἵνα τὸ συναφὲς τῆς οὐσίας καὶ ἀπαράλλακτον παραστήσωσι. τουτέστιν, ἵνα δείξωσι τὸν υἱὸν καὶ τὸ πνεῦμα, μὴ τῇ ἀρχῇ μόνον, ἀλλὰ καὶ ἀλλήλοις συναπτομένους. ὡς μίαν καὶ τὴν αὐτὴν ἄπειρον φύσιν ἐκ τῆς ἀρχῆς ἐκείνης λαμβάνοντας. καὶ ἵνα δείξωσι τὸ βασιλικὸν ἀξίωμα τῆς θεότητος, ἐκ τοῦ πατρὸς διὰ τοῦ υἱοῦ, ἐπὶ τὸ πνεῦμα διήκειν. Ἔτι τὴν τάξιν τῶν θείων προσώπων, καὶ ἐν αὐτῇ τῇ ἄκρᾳ κατ᾽ οὐσίαν ἑνότητι διατηρεῖν ἡμῖν ἐπιτάττουσιν οἱ διδάσκαλοι. καὶ τάξιν ἐκείνην, ἣν τὰ θεῖα παραδίδωσι λόγια. διὰ τοῦτο τὸν μὲν υἱὸν προσεχῶς νοοῦσιν ἐκ τοῦ πατρός. οὕτω γὰρ καὶ τὴν τῶν ὀνομάτων σημασίαν βουλομένην εὑρίσκουσιν, ἀναφορικὴν οὖσαν ἀμέσως. τὸ δὲ πνεῦμα ἐκ τοῦ πατρὸς διὰ τοῦ υἱοῦ νοοῦσι. καὶ οὕτω τὸν υἱὸν προεπινοοῦσι τοῦ πνεύματος. εἰ καὶ ἄμφω εἰσὶν ἐκ τοῦ πρώτου. καὶ προεπινοοῦσι μὲν, ἅτ᾽ ἂν προϋπεπινοῆσθαι τῶν ἑτέρων, τῷ τῆς αἰτίας λόγῳ, καὶ οὐ τῆς φύσεως. πλὴν οὐχ ὁμοίως. ἀλλὰ τὸν μὲν πατέρα τοῦ υἱοῦ καὶ τοῦ πνεύματος, ἀντιθετικῶς. καθόσον ἐν αὐτοῖς ὁ τῆς αἰτίας λόγος, συναντιθέσει τινὶ στρέφεται τῇ κατ᾽ αἰτίαν ἀναφορικῇ. τὸν δὲ υἱὸν προεπινοοῦσι τοῦ πνεύματος διαφόρως, καὶ οἷον εἰπεῖν ἀντιδι-

εἰρημένως, καθόσον ὁ τῆς αἰτίας λόγος ἐν αὐτοῖς, οὐκ ἀντιθετικῶς, ἀλλὰ διαφόρως μόνον ἐμπολιτεύεται. τῷ γε διαφόρως ἐκ τῆς αὐτῆς προελθεῖν αἰτίας. καὶ διαφόρως εἶναι αἰτιατά. τὰς μὲν εἰρημένας ὑποθέσεις τῆς πίστεως, οὕτω γνησίως ὁ τῶν παρ' ἡμῖν διδασκάλων τύπος διαφυλάττει. ὁμοίως δὲ ἔχειν φανήσεται, καὶ πάσαις ἄλλαις τοιαύταις ὑποθέσεσι τῆς ἱερᾶς θεολογίας παραβαλλόμενος. καὶ πάσας δὲ τὰς τῇ ἀληθείᾳ ἀνθισταμένας αἱρέσεις, ὁ τύπος οὗτος πέφευγεν οὕτω πάνυ καλῶς, ὥστε μηδ' ὑποψίαν παρέχειν. οὕτως ἀκριβής ἐστι. καὶ πρὸς τὴν τῆς καθ' ἡμᾶς θεοσεβείας ἀλήθειαν, ἀπεξεσμένος πάνυ καλῶς. οἷον ἀπήλλακται μὲν τῆς Σαβελλίου συναλοιφῆς. ὅτι τῶν ἰδιοτήτων, οὐδὲ μίαν κοινωνίαν ποιεῖται. ἀλλὰ τὴν αἰτίαν, καὶ τὴν ἀρχὴν, καὶ τὴν ἀγεννησίαν, καὶ τὴν πατρότητα, ταὐτὸν δὲ εἰπεῖν τὴν γέννησιν καὶ τὴν προβολὴν κατὰ τὸν θεολόγον Γρηγόριον, ἀκοινωνήτως μένειν ἐν τῷ πατρὶ τίθησι. καὶ τὸν υἱὸν καὶ τὸ πνεῦμα, τῷ διαφόρῳ τῆς προόδου τρόπῳ διακρίνει καλῶς. Κεχώρισται τῆς Ἀρείου διαιρέσεως, ὅτι πλὴν τῆς αἰτίας πάντα τὰ τοῦ πατρὸς, καὶ τῷ προσεῖναι προσμαρτυρεῖ. καὶ καθάπερ ἔχει μὲν τὸ πνεῦμα τοῦ πατρὸς καὶ παρὰ τοῦ πατρὸς, τὸν υἱὸν φυσικῶς. ἀλλ' οὐχ ὑφιστᾶν τοῦτο προσωπικῶς αὐτὸν τίθησι. κοινωνεῖν γὰρ τὸν πατέρα τῷ υἱῷ τῶν πραγμάτων. ἀλλ' οὐ τῆς ἐν τοῖς πράγμασιν ἰδιότητος, τῆς προσωπικῶς αὐτῷ προσηκούσης. Ἀποθεῖται δ' ὁ τύπος οὗτος καλῶς, καὶ τὸ πολύαρχον ὡσαύτως Ἀρείου τε καὶ τῶν Μανιχαίων. καὶ τὴν πρώτην καὶ δευτέραν ἀρχὴν, ἃ τῶν πλατωνικῶν φλυαρειῶν ἐκεῖνοι παρέσπασαν, ἐπισυράσθαι λήθει τῆς καθ' ἡμᾶς πίστεως ἐκ τῶν ἔξω δοξῶν τὰ πρὸς τὴν ταύτης ἀναίρεσιν φέροντα φαύλως συλαγωγήσαντες. Ἐκπέφευγε τὴν Μακεδονίου φλυαρείαν μεθ' ὑπερβολῆς. ὅτι τὸ πνεῦμα οὔτε δημιουργικῶς, οὔτε φυσικῶς ἐκ τοῦ υἱοῦ ὑφίστασθαι λέγει ὡς ἔκ τινος ἀρχῆς καὶ αἰτίας. ἀλλὰ. μόνον ἐκ τοῦ πατρὸς οὕτως. τὴν δὲ πρὸς τὸν υἱὸν οἰκειότητα, τρόποις ἄλλοις παρίστησιν. Ἀπηλλοτρίωται τῶν πνευματομάχων ἁπάντων, ὅτι οὐ συγχωρεῖ προσεῖναί τι τῷ πατρὶ καὶ τῷ υἱῷ φυσικῶς. καὶ ᾗ Θεὸς ἐστὶν ἑκάτερος, ὅπερ οὐ δὲ τῷ πνεύματι πρόσεστιν, οὐδὲ συγχωρεῖ τὸ

πνεῦμα

πνεῦμα ἐκ τῆς θείας προϊέναι βουλήσεως. ἀλλ' ἐκ τῆς φύσεως τοῦ πατρὸς καὶ τὸν υἱὸν καὶ τὸ πνεῦμα. πλὴν διάφορόν τινα τρόπον. καὶ τὴν διαφορὰν ἄρρητον εἶναι καὶ ἀνεννόητον. Οὐ δὲ δύο τινὰς γονιμότητας εἶναι ἐν τῷ Θεῷ, τὴν νόησιν καὶ τὴν θέλησιν λέγει. τὴν μὲν προτεταγμένην, ὥσπερ Βαλαντῖνος καὶ Πτολεμαῖος, δύο συζυγίας ἐφλυάρουν εἶναι ἐν τῷ Θεῷ, ἔννοιάν τε, καὶ θέλημα. καὶ πρῶτον μὲν ἐννοήθη φασίν, εἶτα ἠθέλησεν. ἀλλὰ γέννησιν λέγει καὶ προβολήν. κατὰ μίαν τινὰ φυσικὴν δύναμιν γόνιμον, ἐν τῷ πατρὶ νοουμένας συνειλημμένως τε καὶ ἑνοειδῶς. ἐν δὲ τῇ πρὸς τὰ προαγόμενα παραθέσει ἀπορρήτως διχαζομένας. δι' ὧν ἅμα τὸν υἱὸν καὶ τὸ πνεῦμα προάγεσθαι, εἰ καὶ ἡ παραδεδομένη τῶν προσώπων ἀρίθμησις, καὶ ἡ τῶν ὀνομάτων σημασία, τὰς ἰδιότητας τῶν προσώπων ἐμφαίνουσα, καὶ ἡ μετάβασις τῆς ἡμετέρας νοήσεως, τὴν πρόοδον τῆς προόδου, καὶ τὸ πρόσωπον τοῦ προσώπου προτετάχθαι ποιοῦσι. καὶ τὴν τάξιν ταύτην εἶναι πραγματικήν, ἅτε θεμέλιον ἔχουσαν τὴν πραγματικὴν τῶν διαφόρως αἰτιατῶν προσώπων διάκρισιν. Ἐκπέφευγε τὴν Ἀπολιναρίου φρενοβλάβειαν. ὃς ἑαυτὸν διανομέα τῆς θείας χειροτονίας τιμῆς, ἐν τῇ θείᾳ Τριάδι βαθμοὺς ἀξιωμάτων ὠείσατο. μείζω μὲν τὸν πατέρα τοῦ υἱοῦ κατὰ τὸ ἀξίωμα λέγων. μείζω δὲ τὸν υἱὸν τοῦ πνεύματος. καὶ μέγιστον τὸν πατέρα. καὶ συνιστῶν ἐκ τοιούτων τινῶν διαφορῶν τὴν μακαρίαν Τριάδα. καὶ κλίμακα πηγνύων θεότητος, οὐκ εἰς οὐρανὸν ἀνάγουσαν, ἀλλ' ἐξ οὐρανοῦ κατάγουσαν τοὺς πιστεύοντας. Ταύτας τοίνυν τὰς φλυαρίας, ὁ τῶν παρ' ἡμῖν διδασκάλων τύπος ἐκπέφευγεν, ὅτι καθάπερ ἑνότητα φύσεως, οὕτω καὶ δυνάμεως καὶ ἀξιώματος ἰσότητα. μᾶλλον δὲ ἑνότητα, ἐν τοῖς τρισὶ προσώποις ἐκείνοις ὁμολογεῖ. τῷ πατρὶ μόνον τὸ τῆς ἀρχῆς ἀξίωμα διδοὺς, τῆς ἐν πατρὶ, τουτέστι γεννήτορι καὶ προβολεῖ. καὶ τούτῳ μόνῳ τοῦτο διδούς. οὐδὲ αἴτιον καὶ αἰτιατοαίτιον καὶ αἰτιατὸν εἶναι συγχωρεῖ. ἀλλ' αἴτιον μόνον. καὶ αἰτιατὰ, διαφόρως ἐκ τοῦ ἑνὸς αἰτίου τὴν ὕπαρξιν ἔχοντα. Καὶ ἐπὶ πᾶσιν ἀποστρέφεται μὲν τὴν διττὴν ἀρχὴν τῶν Μανιχαίων, ὃ καὶ πρότερον εἴρηται. ἐκ μιᾶς ἀρχῆς τοῦ πατρὸς, τὸν υἱὸν καὶ τὸ πνεῦμα προάγων. καὶ μίαν ἀρχὴν καὶ

μόνην

μόνην θεότητος τὸν πατέρα τιθείς. Ἀποστρέφεται δὲ τὴν Σεβηριανῶν, καὶ Θεοδοσιανῶν αἵρεσιν. τῶν φλυαρούντων, εἶναί τινα κοινὸν Θεὸν ἐνύπαρκτον. οὗ μετέχοντας τὸν πατέρα καὶ τὸν υἱὸν καὶ τὸ πνεῦμα, Θεὸν ἕκαστον εἶναι. ὅθεν καὶ τὰς μὲν τρεῖς ὑποστάσεις, μίαν ἐλήρουν ὑπόστασιν εἶναι. τὸν δὲ κοινὸν αὐτῶν Θεὸν, οὐσίαν εἶναι καὶ φύσιν. Τούτων οὖν τὴν αἵρεσιν ἀποστρέφεται, μηδὲν εἶναι συγχωρῶν ἐν πατρὶ καὶ υἱῷ κοινὸν ὑφεστὼς, ὅθεν ἂν προβάλλοιτο τὸ πνεῦμα τὸ ἅγιον. ἀλλὰ τὸν πατέρα τοῦ υἱοῦ διακρίνων ὑποστατικῶς, καὶ οὐδὲν τῶν ὑποστατικῶς τῷ Θεῷ καὶ πατρὶ προσόντων, ἀποδιδοὺς τῷ υἱῷ. ταῦτα δὲ εἰσὶν αἱ πρὸς τὰ ἔνδον τοῦ πατρικοῦ προσώπου, ὡς δὴ προσώπου πρώτου, καὶ τὰ ἄλλα ὑφιστῶντος ἐνέργειαι. Οὕτω μὲν ὁ τύπος ἔχει τῶν παρ' ἡμῖν διδασκάλων. καὶ συνᾴδει μὲν ταῖς κανονικαῖς γραφαῖς. ταῖς δὲ τῆς πίστεως ὑποθέσεσιν, ἀμέσως ἕπεται καὶ προδήλως. αἵρεσιν δὲ πᾶσαν καὶ ὑποψίαν αἱρέσεως διαπέφευγεν. Ὁ δὲ τύπος τῶν ἀπὸ τῆς Εὐρώπης πατέρων, ἐκ μὲν τοῦ προφαινομένου, πολλὴν ἔχει τὴν ὑποψίαν. διὸ καὶ τοῖς ἡμετέροις εὐθὺς ἀπὸ τῆς τρίτης συνόδου (καθάπερ ἐν ἀρχῇ τῶν λόγων ἐδείχθη) λίαν ἠνώχλει. πρὸς δὲ τὸν τύπον τοῦτον ἀναγόμενος ὑπὸ σαφεῖ τεκμηρίῳ καὶ μάρτυρι τῇ τοῦ συμβόλου ταυτότητι, εὐπρόσδεκτός τε ἦν. καὶ ὡς ἐν ταῖς λέξεσι μόναις παραλλάττων, οὐκ ἐν τοῖς νοήμασιν, οὐδαμῶς διεβάλετο. ὥσπερ καὶ ἡ Μαξίμου ἐπιστολὴ, καὶ Ἰωάννου τοῦ πάπα, καὶ τὰ κατὰ τὴν ὑπὲρ Φωτίου σύνοδον, καὶ πάντα τὰ πράγματα μαρτυρεῖ. καὶ νῦν, τῷ μὲν τύπῳ τῶν Ἀσιανῶν προσαγόμενος, ἀληθής τε ἐστὶ καὶ σαφὴς δι' ἐκεῖνον. καὶ ταῖς ἀρχαῖς τῆς πίστεως γνώριμος. τοῦ δὲ τύπου τῶν Ἀσιανῶν ἀποδιϊστάμενος (ὡς οἱ Λατῖνοι αὐτὸν ἀποδιϊστῶσι μετὰ τὴν ἐν τῷ συμβόλῳ προσθήκην, ἣν πᾶσιν ἐκδικεῖν ἐθέλουσι τρόποις) οὔτε ταῖς ἀρχαῖς τῆς πίστεως συμφωνεῖ, καὶ πολλῆς ὑποψίας γέμει. καὶ πειρῶνται μὲν αὐτὸν οἱ Λατῖνοι καὶ οὕτω, ταῖς ἀρχαῖς τῆς πίστεως δεικνῦναι συμβαίνοντα. καὶ τῶν αἱρέσεων ἐκείνων καθάπαξ ἀπηλλαγμένον, ὧν ἔναγχος ἐμεμνήμεθα. ἐπεὶ τὰς αἱρέσεις ἐκείνας, ἡμῖν ὁμοίως μυσοῦσιν. ἀλλὰ σοφιστικῶς καὶ βιαίως τοῦτο ποιοῦσι. καὶ διὰ πολλῶν μέσων. ὧν τὰ

πλείω

πλείω αὐτοῖς εἰσὶ μόνοις ἔνδοξα. καὶ οὐ δὲ πᾶσιν αὐτοῖς. ἡμῖν δὲ ἄδοξα παντελῶς, οἷς οὐδὲν ἐστὶν ἔνδοξον ἐν τοῖς θείοις, πλὴν τῶν τοῖς διδασκάλοις κοινῇ πᾶσι καὶ ταῖς ἱεραῖς συνόδοις δοξάντων. τὰ αὐτὰ δὲ καὶ ἀναγκαῖα νενόμισται, ὡς τὴν αὐτὴν τοῖς ἀναγκαίοις δύναμιν ἔχοντα. τουτέστι τοῖς πρωτοτύποις τῆς ἡμετέρας πίστεως δόγμασιν. ὅθεν κἂν εἰ μὴ ταῖς αἱρέσεσιν αὐτοὶ περιπίπτουσι, μή τε βούλονται περιπίπτειν, ἀλλ' ὁ τύπος οὗτος ἐν τῇ Ἐκκλησίᾳ κρατῶν, ἀνατροπὴ τῶν ὀρθῶν δογμάτων ἔσται καὶ σύγχυσις. καὶ ποιήσει πολλοὺς πρὸς τὰς αἱρέσεις αὐτομολεῖν. ἃς ἐκριζῶσαι πολλῶν ἀγώνων καὶ χρόνων ἐδέησε. καὶ οὐ δεῖ πάλιν αὐταῖς, ἢ τινι τύπων διδόναι πάροδον ἡντινοῦν. καὶ ἐν Λατίνοις μὲν κεκράτηκεν ἤδη. ὁ δὲ καὶ ἐν ἡμῖν τοῦτον κρατῆσαι γενησόμενος αἴτιος καὶ γινόμενος, κρίμα ἑαυτῷ ἑτοιμάσει, τοῦ οὕτως ἀληθεστάτου καὶ σαφεστάτου τύπου, ὑποβόλιόν τινα καὶ πολλῆς ὑποψίας ἀνάπλεω τύπον ὡς νῦν τοῖς Λατίνοις ἐμπολιτεύεται, οὐχ ὡς ὑπὸ τῶν διδασκάλων ἐκείνων εἰσήχθη, πείθων πάντας τὸ καθ' ἑαυτὸν ἀνθρώπους ἀλλάττεσθαι. Καὶ αὐτόθεν δὲ φαίνονται σαφέστερον οἱ παρ' ἡμῖν τεθεολογηκότες διδάσκαλοι. αὐτῶν γὰρ εἰσὶν οἱ διορισμοὶ καὶ αἱ διαιρέσεις, καὶ αἱ διασαφήσεις, καὶ τὰ ἐξηγητικὰ ἐπιρρήματα. τῶν δὲ δυτικῶν οὐδαμῶς. οἷον ὁ μὲν Αὐγουστῖνος εἰπὼν, ἐκ πατρὸς καὶ υἱοῦ τὸ πνεῦμα προκέδερε, δηλαδὴ προϊέναι, καὶ τοῦ μὲν ἐκ πατρὸς ἀπόδειξιν ἐπαγαγὼν τὸ εὐαγγελικὸν ἐκεῖνο, ὃ παρὰ τοῦ πατρὸς ἐκπορεύεται, τοῦ δὲ ἐκ τοῦ υἱοῦ τὸ ἐμφύσημα, καὶ τὴν ἐξελθοῦσαν αὐτοῦ δύναμιν, καὶ τὰ τοιαῦτα, ἀπηλλάγη μηδὲν πλέον προσδιορισόμενος, ἢ διελών. οἱ δὲ παρ' ἡμῖν διδάσκαλοι προϊέναι μὲν λέγουσιν ἐξ ἀμφοῖν. ἤγουν ἐκ πατρὸς δι' υἱοῦ. τὸ δὲ προϊέναι διαιροῦσι. τὸ μὲν ὑφίστασθαι λέγοντες, τὸ δὲ ἁπλῶς οὑτωσὶ προϊέναι. ᾧ καὶ συστοίχους ἄλλας ἀφορίζουσι λέξεις, τὸ προχεῖσθαι. τὸ χορηγεῖσθαι. τὸ δίδοσθαι. Καὶ ὑφίστασθαι μὲν λέγουσιν ἐκ τοῦ πατρὸς. διὰ δὲ τοῦ υἱοῦ χορηγεῖσθαι. καὶ οὐχ ὡς ἐξ αὐτοῦ. ἀλλ' ὡς δι' αὐτοῦ. καὶ οὐχ ὡς ἀπ' αἰτίας, ἀλλὰ διὰ τὸ συναφὲς τῆς οὐσίας. καὶ πάντα ἐκεῖνα λέγουσιν, ἅπερ ἐν διαφόροις τοῦ παρόντος βιβλίου μέρεσιν ἐπιδέδεικται. Ἀλλὰ μὴν, καὶ κυριώτερον οἱ παρ'

ἡμῶν διδάσκαλοι περὶ τοῦ πνεύματος φαίνονται διειλεγμένοι, τῶν ἀπὸ τῆς Εὐρώπης πατέρων. Πρῶτον μὲν αὐτῷ τούτῳ τῷ σαφῶς τε καὶ διωρισμένως εἰπεῖν πάντα περὶ αὐτοῦ. δῆλον γάρ ἐστιν ὅτι τὸ διωρισμένως καὶ συνεσταλμένως περὶ ὁτουοῦν διαλέγεσθαι, εἷς ἐστὶ τῶν τοῦ κυριολεκτεῖν τρόπων, πλειόνων ὑπαρχόντων ὁ κάλλιστος. καὶ εἰς τὸ προχεῖσθαι καὶ πηγάζειν, καὶ ἐκλάμπειν μεταφορικῶς περὶ τοῦ πνεύματος λέγονται, ἀλλ' ἐφ' ὅσον ταύταις τε καὶ ταῖς ἄλλαις λέξεσιν, αἳ τῇ ἀϊδίῳ τοῦ πνεύματος ἀφωσιώθησαν ὑπάρξει, αἱ διάφοροι τῆς προόδου τοῦ πνεύματος ἔννοιαι διακεκριμένως κατασημαίνονται, κυριολεκτικῶς τε καὶ ἠκριβωμένως διειλέχθαι φαμὲν, τοὺς τῷ πλάτει κεχρημένους τύπων τῶν λέξεων. Ἔπειτα τοῦτο καὶ Λατῖνοι μαρτυροῦσιν αὐτοί. ἐπειδὰν γὰρ ἀκούωσι τοῦ Δαμασκηνοῦ λέγοντος, μόνον αἴτιον εἶναι τὸν πατέρα, συνεσταλμένως φασὶ χρήσασθαι τοῦτον τῷ τῆς αἰτίας ὀνόματι, καὶ κυριολεκτικῶς. δυοῖν γὰρ ὄντων αἰτίων τοῦ αὐτοῦ πράγματος τεταγμένων, τὸ πρῶτον μάλιστα καὶ κυρίως ἐστὶν αἴτιον. ὅθεν οὐκ ἀρνεῖται φησὶν ὁ Δαμασκηνὸς, τὸν υἱὸν αἴτιον εἶναι τοῦ πνεύματος. ἀλλὰ λέγει μόνον αἴτιον εἶναι τὸν πατέρα, ὡς αἴτιον πρῶτον καὶ ἀναίτιον, καὶ ὅλης τῆς θεότητος αἴτιον. ὥσπερ καὶ μόνην πηγὴν τῆς θεότητος ὁ Διονύσιος τὸν πατέρα καλεῖ. καὶ Αὐγουστῖνος, ὅλης τῆς θεότητος ὁ πατήρ ἐστιν ἀρχή. οὐκ ἀρνούμενος καὶ τὸν υἱὸν εἶναι πηγὴν τοῦ πνεύματος. πηγὴ γάρ ἐστιν ἐκ πηγῆς. ἀλλ' ἀποκλείων αὐτὸν τοῦ πηγὴν εἶναι τῆς ὅλης θεότητος. ἡ γὰρ πρώτη πάντων ἀρχὴ, κυρίως τὸν τῆς πηγῆς ἔχει λόγον. Ταῦτα δὲ εἰ καὶ ψευδῆ εἰσι περιφανῶς καὶ ἀδύνατα ὡς πρότερον ἀπελήλεγκται, ὅμως ἡμῖν πρὸς τὸ προκείμενον συντελεῖ. δείκνυται γὰρ καὶ ἐξ ὧν αὐτοὶ σοφίζονται, τῶν ἡμετέρων θεολόγων ὁ τοῦ λέγειν τρόπος κυριώτερος ὤν. πρὸς δὲ τούτοις καὶ αὐτὸς

Ἱερώνυμος » Ἱερώνυμος, Τὸ πνεῦμα φησὶ κυρίως ἐκ τοῦ πατρός ἐστι. καὶ Αὐγουστῖνος ἐν
βίβλῳ περὶ προορισμοῦ ἁγίων, κεφαλαίῳ η. καὶ ἐν τῷ ἐγχειριδίῳ
Αὐγουσ. » πρὸς Λαυρέντιον. Καὶ τὸ πνεῦμα ἐκ τοῦ πατρός ἐστιν ἐκπορευόμενον, ὅθεν
» γεννᾶται καὶ ὁ υἱός. καὶ τὸ πνεῦμα κυρίως ἐκ τοῦ πατρός ἐστι. καὶ ἐν τῇ
ἐξηγήσει τοῦ ιϛ. κεφαλαίου, τοῦ κατὰ Ἰωάννην εὐαγγελίου, ἐν ὁμιλίᾳ, ϟθ.

Καὶ

Καὶ ὁ υἱὸς ἐκ τοῦ πατρὸς ἐγεννήθη, καὶ τὸ πνεῦμα ἐκ τοῦ πατρὸς ἐκπορεύεται. ,, Ὁ αὐτός. Καὶ οἱ μὲν μετὰ τὴν προσθήκην Λατῖνοι, τὸ κυρίως εἰρηκέναι τοῦτον φασί, διότι ὁ μὲν πατὴρ ἐν τῷ προβάλλειν τὸ πνεῦμα, οὐκ ἤρτηται ἑτέρου τινός, ἐξ οὗ τὸ προβάλλειν ἔχει. ὁ δὲ υἱὸς τὸ προβάλλειν ἔχων παρὰ τοῦ πατρός, ἐν τῷ προβάλλειν ἑτέρου τοῦ πνεύματος ἤρτηται. ψευδῆ λέγοντες καὶ ἀσύστατα. οὕτω γὰρ καὶ κυρίως ἂν ἦν Θεὸς ὁ πατήρ. καὶ κυρίως ὑπόστασις. διότι οὐδενὸς ἤρτηται. καὶ ὁ υἱὸς ταῦτα οὐ κυρίως. διότι τὸ εἶναι ἐκ τοῦ πατρὸς ἔχει. καὶ τὸ Θεὸς εἶναι καὶ ὑπόστασις. ἃ τῆς ἀρειανῆς μανίας ἐστί. καὶ διὰ τοῦτο οὐδὲ εἶπέ τις ταῦτα τῶν ὀρθῶς φρονούντων ποτὲ περὶ τοῦ υἱοῦ. Καὶ πρὸς τούτοις, ἡ κατὰ τὸ ἠρτῆσθαι καὶ μὴ ἠρτῆσθαι διαφορὰ αὕτη, οὐ μόνον ἐστὶν ἐν τῷ τὸ πνεῦμα λέγεσθαι ἐκ τοῦ πατρὸς εἶναι καὶ τοῦ υἱοῦ. ἀλλ' οὐκ ἄν τις ἀληθεύσειε λέγων κυρίως εἶναι τοῦ πατρὸς τὸ πνεῦμα, καὶ οὐ κυρίως τοῦ υἱοῦ. ἐπίσης γὰρ ἐστὶ καὶ ἀμφοτέρων πνεῦμα. καὶ κυρίως ἀμφοτέρων ἐστί. διὰ ταῦθ' ἡμεῖς, οὐ κατὰ τοὺς νῦν Λατίνους νοοῦμεν τὸν Ἱερώνυμον. ἀλλὰ πεπείσμεθα κυρίως ἐκ τοῦ πατρὸς εἶναι τὸ πνεῦμα φάναι ἐκεῖνον, διότι ὁ πατὴρ ἐστὶν ἀρχὴ καὶ αἴτιος αὐτῷ τῆς ὑπάρξεως. εἰ γὰρ καὶ ἐκ τοῦ υἱοῦ λέγεται προϊέναι, ὡς διὰ τοῦ υἱοῦ, ἀλλ' εἴτε διὰ τὰς τοῦ πνεύματος ἐνεργείας οὕτω λέγεται καὶ δωρεάς, ἐκ πατρὸς καὶ υἱοῦ χεομένας καὶ διδομένας, εἴτε διὰ τὴν τῆς οὐσίας συνάφειαν. τοῦ λόγου δηλοῦντος, ὡς οὐκ ἐκτὸς ἐστὶ τοῦ λόγου τὸ πνεῦμα κατὰ τὸν ἱερὸν Ἀθανάσιον. οὐκοῦν οὐδ' ἐκτὸς αὐτοῦ πρόεισιν ἐπειδὰν ἐκ τοῦ πατρὸς προϊὸν λαμβάνῃ τὴν ἰδίαν ὑπόστασιν. ἔχει γὰρ οὕτως. ἐν τῷ ἔκ τινος, καθόλου μὲν αἰτίαν, ὁποιανοῦν ἡ πρόθεσις αὕτη σημαίνει κυρίως. πολλῶν τε εἰδῶν ὄντων τῆς αἰτίας, καὶ διαφόρως εἰς ταῦτα τῶν πραγμάτων πάντων ἀναγομένων. ἀλλ' ἐπειδὰν τὸ ἐξ οὗτι εἶναι λέγηται, ὑφεστὼς ᾖ, ἀνάγκη πᾶσα προακλικὴν ἐκεῖνο αἰτίαν εἶναι τοῦ ἐξ αὐτοῦ. ἣν κατὰ Ἀριστοτέλη, καθόλου δεῖ λέγειν ποικιλικήν. τοῦτο δὲ φυσικῶς μὲν προάγον, φυσικὴ ἐστὶν αἰτία τοῦ ἐξ αὐτοῦ. ἂν δὲ κατὰ τὸν τῆς βουλήσεως τρόπον ποιῇ, τεχνική, ἢ δημιουργική, ὡς οἱ διδάσκαλοι λέγουσιν. οὕτως ὅσων ἐκ τοῦ Θεοῦ τὰ πάντα εἶναι λέγεται, ἢ γεγονέναι, ὅτι αἰτία ἐστὶν αὐτῶν, δημιουργική. καὶ ἐκ τοῦ

πατρὸς εἶναι ὁ υἱὸς καὶ τὸ πνεῦμα, ὅτι αἰτία αὐτῶν ἐστὶ φυσική τε καὶ οὐσιώδης. Κυρίως μὲν οὖν ἡ ἐκ πρόθεσις λαμβανομένη, τοιαύτην ἐν τῷ λόγῳ τὴν δύναμιν ἔχει. καθὼς ἂν ἡ ὕλη τῶν λόγων ἑκάστοτε, τὸν τῆς αἰτίας τρόπον ἀναγκάζοι νοεῖν. Λαμβάνεται δὲ ποτε οὐ κυρίως, πρὸς τὸ παριστάνειν μόνον τὴν οὐσιώδη κοινωνίαν πραγμάτων τινῶν, ὁπότε καὶ μέρους ἔμφασιν τῷ ἑαυτῆς πτωτικῷ δηλώσιν ἐπὶ τῶν κλιτῶν πραγμάτων, ὁποίας ἂν εἴεν συνθέσεως ἢ ὁλύτητος. ὥσπερ λέγομεν, ὅτι ἡ ψυχὴ τοῦ ἀνθρώπου, ἐξ αὐτοῦ ἐστιν, ὅτι εἶδος ἐστὶν αὐτοῦ οὐσιῶδες. καὶ τὸ ζῶον ἐκ τοῦ ἀνθρώπου ἐστίν. ὅτι ἐκ τοῦ λόγου τοῦ ἀνθρώπου ἐστί. καὶ ὥσπερ φαμὲν τὸν Γαβριήλ, ἐκ τῆς νοερᾶς εἶναι οὐσίας. ὅτι ἐκ τοῦ ἀριθμοῦ καὶ τοῦ πλήθους τῆς φύσεως ἐκείνης ἐστί. κατὰ ταύτην τοίνυν τὴν δευτέραν διάνοιαν, καὶ τὸν υἱὸν λέγομεν εἶναι ἐκ τῆς οὐσίας τοῦ πατρός. εἰ καὶ νοεῖν μηδενὶ τρόπον ἔξεστι τὸν υἱὸν τοῦ Θεοῦ, ἢ τοῦ πατρὸς εἶναι μέρος, ἢ τῆς οὐσίας αὐτῆς. ἐκεῖθεν γὰρ ἤτε τοῦ μέρους, καὶ ἡ ὡς μέρους ἔμφασις ἄπεστιν. ἀφῃρημένης τοίνυν τῆς τοιαύτης ἐμφάσεως, ἡ οὐσιώδης κοινωνία μόνον ἐν τῷ λόγῳ τούτῳ νοεῖται. καὶ οὐ νοοῦμεν ποτε τὴν οὐσίαν τοῦ πατρὸς, προάγουσαν τὸν υἱόν. οὐ γὰρ αὐτὴ προάγει. ἀλλὰ μᾶλλον ὁ πατὴρ κατ᾽ αὐτὴν τε καὶ δι᾽ αὐτῆς. ὅθεν οὐδὲ ἐκ τῆς οὐσίας τοῦ πατρὸς ἐστὶν ὁ υἱὸς, κυρίως λαμβανομένης τῆς ἐκ, ἀλλ᾽ ἢ μόνον, καθόσον ἑνότητα τῆς οὐσίας σημαίνει ὡς εἴρηται. οὕτω δὲ κυρίως ἐκ τῆς οὐσίας ἐστὶ τοῦ Θεοῦ, ὡς τὴν αὐτὴν ἔχων οὐσίαν. ἀλλ᾽ ἐκ τοῦ πατρὸς ἐστὶν ὁ υἱὸς κυρίως, καὶ κατὰ τὴν δύναμιν τῆς προθέσεως. ὅτι ἀρχὴ ἐστὶν ὁ πατὴρ τοῦ υἱοῦ, ὡς ὑποκείμενον καὶ ὑπόστασις.

Σύνοδ. α. » διὸ καὶ ἡ πρώτη σύνοδος εἰποῦσα, Τὸν ἐκ πατρὸς γεννηθέντα, προσ-
» τέθηκε, τουτέστιν ἐκ τῆς οὐσίας τοῦ πατρός. τὴν ἑνότητα τῆς οὐσίας, καὶ τὴν οὐσιώδη καὶ φυσικὴν ἐκ πατρὸς σημαίνουσαν πρόοδον. οὔτε ἀδολεσχόν τι λέγουσα, οὔτε τὴν οὐσίαν νοοῦσα, ὡς ὑποκείμενόν τι προάγον, τουτέστι γεννῶν τὸν υἱόν. ἀλλὰ τῇ αὐτῇ φωνῇ τῆς προθέσεως, πρῶτον μὲν εἰς σημασίαν τῆς αἰτίας. ὕστερον δὲ ἐπὶ τῇ κοινωνίᾳ χρησαμένη τῆς φύσεως. ἀλλ᾽ ἡ β σύνοδος, ἀρκεῖν ἡγήσατο τὴν τοῦ ὁμοουσίου λέξιν ἐπαγομένην, πρὸς τὸ τὴν τοιαύτην ἔννοιαν τῆς α συνόδου δηλοῦν. ἣν ἐκείνη

πρὸς

πρὸς ἐκδηλοτέραν τῆς ἀληθείας φανέρωσιν καὶ ἀνατροπὴν τῶν τῇ ὁμουσιότητι μαχομένων, καὶ τῷ ἐκ τῆς οὐσίας τοῦ πατρὸς εἰπεῖν τὸν υἱὸν, καὶ τῷ ὁρίσασθαι αὐτὸν ὁμούσιον τῷ πατρὶ, ἐκ πολλῆς περιουσίας ἐκύρωσε. τὸ μὲν ὡς ἐν ἐπεξηγήσεως μέρει προσετέθη. τὸ δὲ ὅτι περὶ τούτου προὔργου σκοπεῖν προὔκειτο. Οὕτως οὖν τὸ πνεῦμα, καὶ ἐκ τοῦ υἱοῦ εἶναι, καὶ ἐκ τῆς οὐσίας τοῦ υἱοῦ λέγεται οὐ κυρίως. οὐχ ὅτι ἧττον ἐστὶν αὐτῷ ὁμούσιον, ἢ τῷ πατρί. ἀλλ᾽ ὅτι ἐν τῷ λόγῳ τούτῳ, ἡ πρόθεσις, οὐ κατὰ τὴν κυρίαν αὐτῆς σημασίαν τίθεται, ἥτις ἐστὶν ἡ αἰτία. ἀλλ᾽ εἴτε κυρίως ἐκ τοῦ πατρὸς ἐκπορεύεται, ὡς ἐξ αὐτοῦ προσωπικῶς τὸ εἶναι ἔχον, ὡς ἡ ἡμετέρα δόξα ἐστὶν, εἴτε διὰ τὸ τὸν πατέρα μὴ ἔχειν ἀπ᾽ ἄλλου τὸ προβάλλειν τὸ πνεῦμα, ὡς ὁ υἱὸς τοῦτ᾽ ἔχει παρὰ πατρὸς, ὡς οἱ Λατῖνοι φασὶ, καὶ αὐτοὶ μετὰ τοῦ Ἱερωνύμου Λατῖνοι μαρτυροῦσι, τοῖς δ᾽ ἡμετέροις διδασκάλοις καὶ ἡμῖν μετ᾽ αὐτῶν, κυριώτερον περὶ τοῦ πνεύματος διαλέγεσθαι, εἴπερ κυρίως ἐκ τοῦ πατρὸς ἐκπορεύεται. Ἡμεῖς δὲ φαμὲν αὐτὸ ἐκ τοῦ πατρὸς ἐκπορεύεσθαι. τουτέστιν ὑφίστασθαι, μηδὲν προστιθέντες. καὶ τὸ δι᾽ υἱοῦ καὶ ἐξ υἱοῦ προϊέναι καὶ εἶναι. καὶ ἐκ τῆς οὐσίας τοῦ υἱοῦ προϊέναι, καὶ ἄλλας ἐννοίας θεοπρεπεῖς, καὶ τοῖς ἡμετέροις ἡγεμόσι δοκούσας, πιστεύομεν βεβαίως. καὶ ἀνενδοιάστως κηρύττομεν. ἀλλὰ καὶ ἐκ τοῦ υἱοῦ ἐκπορεύεσθαι οὑτωσὶ, οὐκ ἄν ποτε φαίημεν. πότερον οὖν διὰ πενίαν λέξεων καὶ γλώττης στενότητα, εἴτε δι᾽ ἄλλην τινὰ αἰτίαν, Ἱερώνυμος καὶ οἱ μετ᾽ αὐτοῦ, οὐκ εἶπον μόνον τὰ κυρίως ὄντα, ἀλλὰ δὴ καὶ τὰ μὴ κυρίως λέγειν ἠνέσχοντο, οὐ δεῖ σκοπεῖν ἡμᾶς, ὥσπερ ἐξετασὰς τινὰς τῶν τοῖς διδασκάλοις δοξάντων ἐκείνοις καὶ δικαστὰς καθημένους, ἀλλ᾽ ἀρκεῖ τοῦτο φρονεῖν καὶ λέγειν περὶ ἐκείνων, ὅτι μὴ μόνον λέγουσι περὶ τῶν θείων τὰ κυρίως λεγόμενα, ἀλλὰ καὶ τὰ μὴ κυρίως· αὐτοὶ γὰρ τοῦτο ὁμολογοῦσι. καὶ λέγοντες ὅτι τὸ πνεῦμα κυρίως ἐκ τοῦ πατρὸς ἐστὶν, ὅμως οὐ τοῦτο μόνον κηρύττουσι καὶ παρρησιάζονται. ἀλλὰ καὶ ὅτι ἐκ τοῦ υἱοῦ ἐστὶν, ὅπερ οὐ κυρίως κατ᾽ αὐτοὺς ἐκείνους λέγεται. εἰ γὰρ κυρίως ἐκ τοῦ πατρὸς, οὐ κυρίως ἐκ τοῦ υἱοῦ δήπου λέγεται. τίνα δὲ γνώμην οἱ ἡμέτεροι διδάσκαλοι περὶ τῶν μὴ κυρίως λεγομένων ἔχουσιν, οὐ μόνον ἐξ ὧν ταῦτα σιγῶσι δῆλον ἐστὶν,

ἀλλὰ καὶ ῥητοῖς αὐτῶν παραστήσωμεν. ὁ μὲν γὰρ μέγας Γρηγόριος ἐν τῷ περὶ τοῦ υἱοῦ πρώτῳ λόγῳ φησίν. Ὁ πατὴρ κυρίως πατήρ. ὅτι μὴ καὶ υἱός. ὥσπερ καὶ ὁ υἱὸς κυρίως υἱός, ὅτι μὴ καὶ πατήρ. τὰ γὰρ ἡμέτερα οὐ κυρίως. ὅτι καὶ ἄμφω. Οὐκοῦν κατὰ τουτονὶ τὸν διδάσκαλον, εἰ τὸ πνεῦμα κυρίως ἐκ τοῦ πατρὸς ἐκπορεύεται, οὐκ ἐκ τοῦ υἱοῦ δήπουθεν ἐκπορεύεται. καὶ εἰ ὁ πατὴρ ἐστὶ κυρίως αἴτιος, ὁ υἱὸς οὐκ ἔστιν αἴτιος. ἀλλὰ μόνον αἰτιατός. εἰ δὲ καὶ αἰτιατὸς ἔσται καὶ αἴτιος, οὐδὲν τῶν ἡμετέρων τὰ θεῖα διοίσει. ἅτε οὐ κυρίως εἰπὼν, ὅτι καὶ ἄμφω. ταῦτα δὲ λέγων ὁ διδάσκαλος ἑαυτῷ συμφωνεῖ, λέγοντι, Τὸν υἱὸν, υἱὸν εἶναι μόνον. καὶ ὅλον υἱὸν εἶναι. καλῶς δὲ αὐτῷ καὶ Ἱερώνυμος συμφωνεῖ. καὶ δικαίως. τῆς γὰρ θεολογικῆς ἐκείνης ἀκριβείας τοῦ Γρηγορίου, πλεῖστα ἀπολέλαυκε. τοσοῦτον ἐν τῷ μέρει τούτῳ διενηνόχατον, ὅτι ὁ μὲν Γρηγόριος, οὐδαμῶς ἠβούλετο τὸ πνεῦμα καὶ ἐκ τοῦ υἱοῦ ἐκπορεύεσθαι. καὶ διὰ τοῦτο οὐδαμοῦ τοῦτ' εἶπεν. Ἱερώνυμος δὲ, κυρίως ἐκ τοῦ πατρὸς φησὶν αὐτὸ εἶναι ἢ προϊέναι, καὶ οὐ κυρίως δηλονότι ἐκ τοῦ υἱοῦ. ὥσπερ ἡμῖν τῆς ἀληθείας, καὶ τοῦ τῆς ὁμιλίας ἔθους, διαιτητὴν αὐτὸν καθιστάς. εἰ γὰρ καὶ λέγεται φησὶν, ἢ δύναται λέγεσθαι τὸ πνεῦμα καὶ ἐκ τοῦ υἱοῦ εἶναι, ἢ προϊέναι, ἀλλ' οὐκ ἂν τοῦτο κυρίως λέγοιτο. ὁ δὲ Νύσσης Γρηγόριος ἐν τοῖς κατ' Εὐνομίου λόγοις πολλαχοῦ, τὸ μὴ κυρίως εἶναι, ὡς ἴσον δυνάμενον τῷ μηδὲ εἶναι ὅλως λαμβάνει. καὶ ταύτην τὴν διαφορὰν τοῦ κυρίως καὶ μὴ κυρίως, ἐκ τῆς ἱερᾶς θεολογίας ἀποῤῥαπίζει καλῶς. μὴ βουλόμενος εἶναι τινὰ πάροδον, ταῖς τοιαύταις ὑπεροχαῖς καὶ ὑφέσεσιν. ἐξ ὧν οἱ αἱρετικοὶ συνεπέραινον, διαφορὰν τινα φύσεων ἐπὶ τῶν θείων. ἐκ τοῦ τῷ μὲν τῶν θείων προσώπων ἔνια κυρίως προσήκειν. τοῖς δὲ μὴ κυρίως. καὶ διὰ τοῦτο, ἢ μηδόλως εἶναι τι φησιν ἐν τοῖς θείοις, ἢ κυρίως εἶναι καὶ λέγεσθαι. ἄντε τῆς θείας οὐσίας κατηγορηθῇ, ἄντε προσώπου τινός. ποῦ μὲν γὰρ φησὶν, ὅτι, Πῶς γὰρ ἐστὶν ἀληθὲς εἶναι τι λέγειν, ᾧ προσμαρτυρεῖται τὸ μὴ κυρίως εἶναι; ἀνάγκη γὰρ ἐφ' ὧν οὐχ ὁμολογεῖται τὸ κύριον τοῖς ἀντιδιαστελλομένοις τῶν ὀνομάτων συντίθεσθαι. τὸ γὰρ μὴ κύριον, ἄκυρον πάντως. ὥστε ἡ τοῦ μὴ κυρίως εἶναι κατασκευὴ

Γρηγ. ὁ θεολ.

Ὁ αὐτός.

Γρηγ. Νύσσ.

τῆς

τῆς παντελοῦς ἀνυπαρξίας ἀπόδειξις γίνεται. ποῦ δὲ αὖθις φησίν. Ὁ δὲ, (τουτέστιν ὁ Εὐνόμιος) κατασκευάζει τὸν ἀληθῶς ὄντα, ἢ καθόλου εἶναι, ἢ μὴ κυρίως εἶναι. ὅπερ ἴσον ἐστὶ τῷ μηδὲ ὅλως εἶναι. ὁ γὰρ μὴ κυρίως ὤν, οὐδὲ ἐστὶν ὅλως. Ἐπεὶ τοίνυν καὶ κυριώτερον οἱ τῆς Ἀσίας διδάσκαλοι τῶν ἀπὸ τῆς Εὐρώπης φαίνονται διειλεγμένοι περὶ τοῦ πνεύματος καὶ σαφέστερον, ὅσῳ καὶ ταῖς ἀρχαῖς τῆς πίστεως συμφωνότερον, καὶ πάσης ὑποψίας ἡ τούτων ἀπήλλακται θεολογία, δῆλον ἐστίν, ὅτι τὸ μὲν ἐκείνους ἕλκειν πρὸς τούτους, καὶ ἀληθὲς ἐστὶ, καὶ ἐπιστημονικόν. καὶ ἅμα ἀρχαῖον. οὕτω γὰρ καὶ οἱ ἐπὶ Μαξίμου καὶ περὶ ἐκεῖνον, καὶ μετ᾽ ἐκεῖνον ἐποίουν Ῥωμαῖοι μέχρι τοῦ σχίσματος. Εἰ δέ τις τοὐναντίον ποιοίη, κατά τε τῆς ἀληθείας καὶ τῆς ἐπιστήμης ποιῶν, καὶ οὐ δὲ τοῖς περὶ αὐτοῦ συμβαίνων ἐστίν. ἀλλά τις καινοτόμος καὶ νεωτεριστής, καὶ ἰδίῳ βουλήματι χαριζόμενος, καὶ τῆς τῶν Ἐκκλησιῶν ταραχῆς περιφανῶς αὐτὸς ἐστὶν αἴτιος. Οὐκοῦν οὐ δὲ ἀπαντήσουσιν οἱ Λατῖνοι τῶν νοῦν ἐχόντων τινὰ, τοῖς πολλοῖς ὑπὲρ τῆς τῶν διδασκάλων συμφωνίας λόγοις. ἐφ᾽ ὧν ὥσπερ θεμελίου τινὸς, τὴν καλὴν συμφωνίαν αὐτῶν ἱδρύουσιν. ὁ μὲν γὰρ θεμέλιος ἄσειστος ἐστὶν ὁμολογουμένως. ἀλλ᾽ οὐ τοιαῦτα αὐτῷ ἐπιτίθεται. ἄμορφον δέ τι καὶ ἠκρωτηριασμένον συμφωνίας εἴδωλον ἱστῶσιν ἐπ᾽ αὐτοῦ, τὴν χρυσῆν ἐκείνην εἰκόνα τῆς συμφωνίας κάτω που ῥίψαντες, ἣν ἡμεῖς ἐπὶ τοῦ αὐτοῦ θεμελίου ἔχοντες ἱσταμένην ἀεὶ, νῦν εἴπερ ποτε καλῶς ἱδρυσάμενοι, δι᾽ αὐτῆς τιμῶμεν τοὺς καλοὺς αὐτῆς ἀρχιτέκτονας. ὅτι δὲ καὶ ἀδύνατον ἐστὶ, κειμένου τοῦ τὸν υἱὸν ἀρχὴν εἶναι τοῦ πνεύματος ἢ αἴτιον, ἑαυτοῖς τοὺς ἡμετέρους διδασκάλους συμβαίνειν, μὴ ὅτιγε τοὺς ἀπὸ τῆς Εὐρώπης συνᾴδειν αὐτοῖς, πρόδηλον ἐστὶν ἐκ τῶν εἰρημένων. Κείσθω γὰρ δόξαν εἶναι τῶν παρ᾽ ἡμῖν διδασκάλων τὸν υἱὸν ἀρχὴν εἶναι τοῦ πνεύματος ἢ αἴτιον. πῶς φησὶν ὁ Δαμασκηνὸς, μόνον αἴτιον εἶναι τὸν πατέρα, ἔνδον ἐν τῇ θεότητι, περὶ τῶν ἔνδον διαλεγόμενος; ἀντίφασις γὰρ τοῦτ᾽ ἐστὶν, ὁ υἱὸς αἴτιος ἐστὶ τοῦ πνεύματος. ὁ πατὴρ μόνος ἐστὶν αἴτιος τοῦ πνεύματος. οὐ γὰρ δύναται ὁ υἱὸς αἴτιος εἶναι τοῦ πνεύματος, εἴπερ ὁ πατὴρ μόνος ἐστὶν αἴτιος αὐτοῦ, ὥστ᾽ ἐκεῖνα ἀντιφάσκει, εἰ καὶ μὴ ἀντιφαντικῶς

περι-

παρενήνεκται. Ἀλλὰ τί Λατῖνοι πρὸς τοῦτο λέγουσι; καὶ μόνος ἀληθινὸς Θεὸς ὁ πατὴρ ὑπὸ τοῦ Κυρίου καλεῖται. ἀλλ᾽ οὐκ ἀποκλείεται ὁ υἱὸς ἀληθινὸς εἶναι Θεός. τοῦτο οὐκ ἔστιν ὅμοιον. ἐκεῖ μὲν γὰρ ὁ Θεὸς οἰκονομικῶς ταῦτα ἐφθέγγετο. ὁ δὲ γε Δαμασκηνὸς οὐδεμίαν ἐξουσίαν εἶχε, τὰ περὶ τῆς ἀληθείας οἰκονομεῖν, ὅς γε οὐ δὲ ἰδίας δόξας, ἀλλὰ τὰς δόξαντα τοῖς πατράσιν ὑπισχνεῖται συλλέγειν εὐσυνόπτως καὶ συντιθέναι. καὶ τὰς ὑποσχέσεις διατηρῶν πάνυ καλῶς φαίνεται. ἔπειτα ἐκεῖ μὲν ὁ δεσπότης ἡμῶν ἐν τῇ τοῦ ἀληθινοῦ Θεοῦ γνώσει, τὴν ἀνθρωπίνην εὐδαιμονίαν ὡρισάμενος. προσθεὶς δὲ καὶ ἑαυτοῦ τὴν γνῶσιν αἰώνιον εἶναι ζωὴν, ἑαυτὸν ἀλήθειαν εἶναι, καὶ ἀληθινὸν ἔδειξε Θεόν. οὐ γὰρ ἂν ἦν ἡ γνῶσις αὐτοῦ ζωὴ αἰώνιος, εἴγε μὴ ἦν αὐτὸς Θεὸς ἀληθινὸς, εἴπερ τὸ τὸν ἀληθινὸν γινώσκειν Θεὸν, ζωὴ αἰώνιος ἐστίν. ὁ δὲ Δαμασκηνὸς οὐδὲν πλέον προστίθησιν. εἶτα ἐκεῖ μὲν ἄνευ τῆς προσθήκης ἐκείνης, ἢ λύει τὴν ἀμφισβήτησιν, ἡ κατηγορία ἐκείνη οὐσιώδης οὖσα κατὰ τοῦ Θεοῦ καὶ πατρὸς, ὡς αἱ τῶν ὀρθοδοξούντων ἔχουσιν ὑποθέσεις, καὶ τὰ λοιπὰ συνεισφέρει πρόσωπα. ἐν ταῦτα δὲ ὁ τὸν πατέρα εἰπὼν μόνον αἴτιον, ἐκβάλλει τὰ λοιπὰ πρόσωπα, ἐπεὶ τὸ αἴτιον εἶναι πρὸς τὰ ἔνδον τὴν ἀναφορὰν ἔχον, προσωπικόν ἐστι καὶ οὐσιῶδες. καὶ ἀδύνατον ἐστὶ προσωπικοῦ τινὸς ἀλλήλοις τὰ θεῖα πρόσωπα κοινωνεῖν. Πάλιν λέγουσιν ὅτι μόνος αἴτιός ἐστιν ὁ πατὴρ, διότι μόνος ἀναίτιος ἐστὶν αἴτιος. ἀλλὰ τοῦτο ἀδύνατον. καὶ τῆς κτίσεως γὰρ ἀναίτιος ἐστὶν ὁ πατήρ. ὅ φησιν ὁ Βασίλειος, αἰτίαν προκαταρκτικήν. καὶ ὅ φησιν ἄναρχον ὁ Γρηγόριος. καὶ αὖθις ὁ Βασίλειος ὑπόστασιν ἀρχὴν τὸν πατέρα καλεῖ.

Βασίλ. „λέγων ἐν ιϛ. τῶν πρὸς Ἀμφιλόχιον, Καὶ μηδεὶς οἰέσθω με, ἢ τρεῖς λέ„γειν ἀρχικὰς ὑποστάσεις. καὶ τὰ ἑξῆς. ὡς μιᾶς οὔσης μόνης δηλονότι τῆς ἀρχικῆς ὑποστάσεως. ἀλλ᾽ οὐκ ἔστιν ἀληθὲς εἰπεῖν τινα, ὅτι τῆς κτίσεως ἐστὶ μόνος αἴτιος ὁ πατὴρ, μηδὲν προστιθέντα. οὕτω γὰρ οἱ αἱρετικοὶ τὸ δι᾽ υἱοῦ τὰ πάντα γεγενῆσθαι ἐνόουν. δι᾽ υἱοῦ μὲν αὐτὰ γενέσθαι ὁμολογοῦντες. αἴτιον δὲ αὐτῶν καὶ δημιουργὸν τὸν πατέρα μόνον εἶναι, καὶ τούτου χάριν ὑπὸ τῶν διδασκάλων ἠλέγχοντο ἐκ τῆς τῶν προθέ-

ταν ἀντιμεταστάσεως. καὶ ἄλλοις τρόποις ἀληθέσι πολλοῖς. οἱ μίαν ἀρχὴν καὶ μίαν αἰτίαν τῆς κλίσεως, τὸν πατέρα καὶ τὸν υἱὸν καὶ τὸ πνεῦμα τὸ ἅγιον συμπεραίνουσιν, εἰ καὶ καθαυτὰς αἱ ὑποστάσεις ἐκεῖναι, τῷ αἰτίῳ καὶ τῷ αἰτιατῷ διακέκρινται. ἐντεῦθεν οὖν μάλιστα δεῖ συνεῖναι Λατίνους, ὅτι ἡ διὰ. πρόθεσις ἐν τῷ δι' υἱοῦ τὸ πνεῦμα ἐκπορεύεσθαι, οὐ σημαίνει αἰτίαν, καθάπερ ἐπὶ τῆς τῶν ὄντων δημιουργίας. ὁ γὰρ διδάσκαλος οὗτος φησίν, οὐχ' ὡς ἐξ αὐτοῦ, ἀλλὰ δι' αὐτοῦ μόνον τὰ ὄντα παρήχθησαν. ὥσπερ τοίνυν ἡ διὰ, οὐ ταυτὸν σημαίνει τῇ ἐκ. ἐν τῷ τοῦ Δαμασκηνοῦ λόγῳ, εἴγε καθάπαξ ἐκεῖνος ταῦτα κεχώρικεν, οὕτως οὐδὲ τὸ αἴτιος ἐκεῖ τὴν ἀναίτιον αἰτίαν σημαίνει μόνον. οὐ γὰρ ἂν ἀπεκλήρωσεν ἁπλῶς, οὕτω καὶ χωρὶς προσθήκης τινός. εἰ δὲ καὶ τὸν υἱὸν αἴτιον εἰδὼς τρόπῳ τινί. καὶ τὴν διὰ. ἰσοδυναμοῦσαν τῇ ἐκ. ἐπιστάμενος, ὅμως ἐχώριζέ τε τὰς προθέσεις, καὶ ἀπεκλήρου τὸν λόγον οὕτως ἁπλῶς, οὐ καλῶς ἄρα ἠπίστατο χρῆσθαι τῷ λόγῳ. οὔτε θεολόγος ἀκριβὴς ἂν ἦν. ἀλλὰ τοὐναντίον ἅπαν ἐστίν. ὅτι καὶ τοὺς Βασιλείου πρὸς Ἀμφιλόχιον ἤδει λόγους, καὶ τοὺς τῆς θεολογίας ὅρους οὕτως ἠπίστατο, ὥστε καὶ διδάσκαλος αὐτῶν τοῖς ὑστέροις πᾶσιν ὑπάρξαι. καὶ μὴν οὐ τοῦτο μόνον φησὶν ὁ Δαμασκηνός. ἀλλὰ καὶ ὅτι Πάντα ὅσα ἁρμόζει πηγῇ, αἰτίῳ, » Δαμασκ.
γεννήτορι, τῷ πατρὶ μόνῳ προσαρμοστέα. εἴγουν τὸν υἱὸν αἴτιον ἤδει τοῦ »
πνεύματος, ἀντέφασκεν ἂν περιφανῶς ἑαυτῷ λέγων οὕτως. Ἀλλὰ τί καὶ πρὸς τοῦτο φασὶν οἱ Λατῖνοι. ὅτι ἐπειδὴ οὐ προσέθηκεν ὁ διδάσκαλος τῷ γεννήτορι τὸ καὶ προβολεῖ, μᾶλλον ὑπὲρ αὐτῶν ἐστὶν ἡ ῥῆσις. ἔοικε γὰρ ἐντεῦθεν ἐκεῖνος, μὴ τὸν πατέρα μόνον προβολέα πιστεύειν, ὥσπερ καὶ μόνον γεννήτορα. Ἀκουέτωσαν τοίνυν, ὅτι μόνῳ αἰτίῳ φησίν. εἴπερ ἡ αἰτιατικότης ἐν τῷ πατρὶ γέννησιν περιέχει καὶ προβολὴν, μόνος δὲ ἐστὶν αἴτιος, καὶ μόνος ἐστὶ προβολεύς. πατὴρ γὰρ φησὶ καθόλου τοῦ ὀνόματος τούτου λαμβανομένου, γεννήτωρ ἐστὶ καὶ προβολεύς. ἔτι ὁ πατὴρ λόγου γεννήτωρ ἐστὶν ὁ αὐτὸς, καὶ διὰ λόγου προβολεὺς πνεύματος, κατὰ τουτονὶ τὸν διδάσκαλον. ὁ δὲ υἱὸς ὥσπερ οὐκ ἔστι γεννήτωρ, οὔτε διὰ λόγου προβολεύς, οὐκοῦν οὐδὲ προβολεύς. Ὅτι δὲ τὸ διὰ τοῦ λόγου

προβάλλεσθαι τὸ πνεῦμα τὸ ἅγιον, οὐκ ἐξ ἀνάγκης δείκνυσι καὶ τὸν υἱὸν αἴτιον τοῦ πνεύματος τοῦ ἁγίου, ὡς Λατῖνοι νομίζουσι, καὶ ὡς ἡ πρόθεσις ἐν ταῦτα, συνάφειαν φύσεως δείκνυσι μᾶλλον, καὶ διάκεισιν καὶ τάξιν, οὐ τὴν αἰτίαν ὡς αὐτοὶ βούλονται, ταῦτα δέδεικται πρότερον. Ὁ δὲ ἀντὶ πάντων ἀρκεῖ πρὸς ἀπολογίαν, ὅτι ὁ τοῦ διδασκάλου κανὼν οὗτος, πρὸς τοὺς διδασκάλους ἅπαντας ἀναφέρεται. κἀκεῖθεν ἔχει τὸ κράτος, ἐπεὶ καὶ πάντα ἃ φησὶν αὐτὸς, τῶν διδασκάλων ἐστὶν ὁμολογουμένως. καὶ οὐδὲν ἴδιον. ὅπου ἂν οὖν εὕρῃς φησὶν ἐν τοῖς διδασκάλοις, αἴτιον, καὶ πηγὴν, καὶ γεννήτορα, τὸν πατέρα νόει μόνον. καὶ πᾶν ὅτι ἂν ταῖς προσηγορίαις ταύταις ἁρμόττῃ, μόνῳ τῷ πατρὶ φέρων πρόσαπτε. ἐπεὶ καὶ αὐτοὶ, οὕτω καλοῦσι μετὰ τῆς τοῦ μόνου προσθήκης. μόνην πηγὴν λέγοντες. καὶ μόνον αἴτιον. καὶ μόνον γεννήτορα. ἀλλ' οὐδένα ἂν εὕροι τις τῶν διδασκάλων, μόνον προβολέα λέγοντα τὸν πατέρα. οἵγε οὐδὲ προβολέα τοῦτον εἶπον ἁπλῶς. ἀλλὰ μόνος ὁ θεολόγος Γρηγόριος, ἐκ πολλῆς περὶ τὰ τοιαῦτα φιλοτιμίας ταύτην ἐξεῦρε τὴν λέξιν. ὥσπερ τὴν ἐκπόρευσιν πρόεσιν καὶ ἔκπεμψιν τοῦ κατὰ τὴν λέξιν ἑλληνισμοῦ φροντίσας ἐκάλεσεν. οἱ δὲ πρὸ αὐτοῦ καὶ μετ' αὐτὸν πάντες σχεδὸν, ὑπὸ τῷ τοῦ πατρὸς ὀνόματι, καὶ τὴν πρὸς τὸν υἱὸν ἀναφορὰν τοῦ πατρὸς, καὶ τὴν πρὸς τὸ πνεῦμα ἕνωσιν, κατά τινα γενικὴν σημασίαν τῷ ὀνόματι χρώμενοι. ὡς ἴσα δυνάμενον πατέρα εἰπεῖν καὶ αἴτιον. Καὶ μὴν ἐροῦσι Λατῖνοι, ὡς οὐδὲ Γρηγόριος ὁ χρώμενος τῷ τοῦ προβολέως ὀνόματι, μόνον τὸν πατέρα προβολέα καλεῖ. πάνυ μὲν οὖν. εἰ καὶ μὴ κατὰ λέξιν οὑτωσὶ, μηδ' ὡς ἄν τις ἴδοι λημμάτων, ἀλλ' ὡς ἄν τις ἴδοι τὰς ὄψεις ὑγιεῖς ἔχων. εἰ γὰρ ὁ δειξόμενος ἡμῖν (ὡς οὕτως εἰπεῖν) τὸ τοῦ πατρὸς πρόσωπον, τοῦτό φησιν ἐστὶν ἡμῖν ὁ πατὴρ, γεννήτωρ καὶ προβολεὺς, μόνος δὲ πατὴρ, ὁ πατὴρ ἐπὶ καὶ αὐτὸν ἐν τῷ πρὸς Ἥρωνα λόγῳ, εὔδηλον ὅτι καὶ μόνον γεννήτορα καὶ μόνον προβολέα τοῦτον βούλεται εἶναι. Ἔπειτα καὶ μηδένα εὕροι τις τοῦτο λέγοντα ῥητῶς οὑτωσίν. ἁρμόττει δὲ ἐν τοῖς θείοις τὸ προβάλλειν τῷ αἰτίῳ καὶ τῇ πηγῇ, ὥσπερ τὸ αἴτιον καὶ τὴν πηγὴν, τῷ πατρὶ μόνῳ προσαρμόττειν ἡμᾶς κελεύει, οὕτω δήπου καὶ τὸ

προβάλλειν. τί δὲ πρὸς ἐκεῖνα ἐροῦσι τοῦ Δαμασκηνοῦ, τὸ τὴν ὕπαρξιν ἔχειν οὐκ ἐκ τοῦ υἱοῦ τὸ πνεῦμα τὸ ἅγιον; ὁ λέγων ἀντιφάσκει ἂν ἑαυτῷ πάνυ, εἴγε τὸν υἱὸν ἀρχὴν ἤδει τοῦ πνεύματος. οὐδὲν μὲν ἀληθὲς εἰπεῖν ἔχουσι. σοφιστικὰ δὲ πάνυ πολλά. οἷον ὅτι ἀρνεῖται ἐκ τοῦ υἱοῦ τὴν ὕπαρξιν ἔχειν. ἐπεὶ λέγει διὰ τοῦ υἱοῦ τοῦτ' ἐκπορεύεσθαι. πρῶτον μὲν οὖν τί ποτε τῷ διδασκάλῳ βούλεται τὸ δι' υἱοῦ ἐκπορεύεσθαι, ἱκανῶς ἡμῖν δέδεικται ἐν ἐκείνῳ τῷ μέρει, ἐν ᾧ πάντα τὰ τοιαῦτα ῥητά, ὑπὸ κανόσι καὶ τύποις αὐτοῖς τοῖς εἰποῦσι διδασκάλοις ἀνεπτύξαμεν. ὅπου δέδεικται μὴ νοεῖν ἐν τῷ δι' υἱοῦ τὴν αἰτίαν τῆς ὑπάρξεως, ὡς ἐκ προσεχοῦς ἀρχῆς καὶ αἰτιατῆς. τοῦτο δὲ ποιεῖ καὶ αὐτὸς σαφὲς ἐκεῖ προστιθείς. μόνος γὰρ αἴτιος ὁ πατήρ. καὶ αἱ πρὸς τοῦτο πάλιν ἀποκρίσεις Λατίνων, ἔναγχος ἀσθενεῖς ἀπηλέγχθησαν. Ἔπειτα, εἰ ταύτην τὴν ἐξήγησιν αὐτῶν ἐπαινοῦσιν, ἐπαινοῦσι δὲ καὶ Δαμασκηνόν, οὕτω τὰς προθέσεις ἀποδιαστήσαντα ταύτας, διὰ τί μὴ καὶ αὐτοὶ ἀρέντες, τὸ ἐκ τοῦ υἱοῦ τὸ πνεῦμα ἐκπορεύεσθαι λέγειν ἐν τῷ συμβόλῳ, τὸ δι' υἱοῦ ἐκπορεύεσθαι προστιθέασι; διὰ τί μὴ φεύγουσι μέν, ἅπερ ἐκεῖνος φεύγει, τιμῶσι δὲ ἅπερ αἱρεῖται; εἰ δὲ μηδὲ μέχρι τούτου βούλωνται γενέσθαι καλοί τε καὶ δίκαιοι καὶ φίλοι τῆς πρὸς τοὺς διδασκάλους εἰρήνης καὶ ἡμῶν αὐτῶν, ἀντιποιουμένων τῶν διδασκάλων, πῶς ἡμεῖς αὐτοῖς προσεξόμεθα ὡς ἂν βούλοιντο πάντα ἐξηγουμένοις, καὶ ἔτι τὰς ἑαυτῶν ἐξηγήσεις μὴ στέργουσιν; οἷον ἐπειδὰν αὐτοῖς προτείνωμεν ταύτην τοῦ Δαμασκηνοῦ τὴν ῥῆσιν, τὴν λέγουσαν ἐκ τοῦ υἱοῦ μὴ ἔχειν τὸ πνεῦμα τὴν ὕπαρξιν, ἀντεπάγουσιν αὐτοὶ τὴν ῥῆσιν ἐκείνην τὴν λέγουσαν, δι' υἱοῦ ἔχειν τὴν ὕπαρξιν. οὕτω γὰρ νοοῦσιν αὐτοὶ τὸ δι' υἱοῦ ἐκπορεύεσθαι. εἶτα ταῦτα μηδὲν διαφέρειν φασὶν ὅσον πρὸς τὴν αἰτίαν. ἀλλὰ τὴν διαφορὰν τὴν ἐν ταῖς προθέσεσι ταύταις σημαινομένην, ἐκ τοῦ τῆς αἰτίας ἀνίσχειν τρόπου, ἣν οὕτω ψιλὴν οἴονται εἶναι, ὥστε μηδὲ ποιεῖν δύνασθαι δύο ἀρχὰς τὸν πατέρα καὶ τὸν υἱόν. εἰ τοίνυν ταῦθ' οὕτως εἶχεν ὡς αὐτοὶ λέγουσιν, ἔδει τὸν Δαμασκηνόν, καὶ ἄμφω ταῦτα λέγειν καὶ ὁμολογεῖν. προστιθέναι δὲ μόνον, ὅτι διαφοράν τινα ἔχουσι. καὶ τὴν διαφορὰν ταύτην προσδιορίζεσθαι.

ξεσθαι. τὴν δὲ πνεῦμα μὲν υἱοῦ φησὶ λέγομεν. ἐκ τοῦ υἱοῦ δὲ, οὐ λέγομεν. καὶ διὰ υἱοῦ μὲν ἐκπορεύεσθαι τὸ πνεῦμα λέγει. ἐξ υἱοῦ δὲ τὴν ὕπαρξιν ἔχειν ἀρνεῖται. οὐκ ἄρα ταὐτὸν ἐκεῖνος ἄμφω ταῦτα ἐνόμιζεν. εἰ δὲ μὴ, καλῶς ἐποίει χωρίζων οὑτωσὶ τὰ ἀχώριστα. οὐδεὶς γὰρ ἀληθινὸς θεολόγος δυοῖν προτάσεων οὐσῶν ἀληθῶν, διαφόρων δὲ κατά τι, τὴν μίαν μὲν ἀρνεῖται, τὴν δὲ ἑτέραν ὁμολογεῖ, καὶ τοῖς ἄλλοις οὕτω ποιεῖν συμβουλεύει, τὸ πῶς δεῖ θεολογεῖν ἐκτιθέμενος, ὥσπερ οὐδὲ ἐρωτώμενον ἁπλῶς ἂν ἔδει ποιεῖν. Ἔστω δὲ τὸν Δαμασκηνὸν ἑαυτοῖ ἀγνοῆσαι. ἢ ἡμᾶς αὐτοὶ ἀγνοεῖν. ἢ κωφεύειν πρὸς τοὺς ἐκείνου λόγους. οὐκοῦν εἰ τὸν Δαμασκηνὸν ἐπαινοῦσι Λατῖνοι, ἀφελόντες ἐκ τοῦ συμβόλου τὸ ἐξ υἱοῦ, τὸ διὰ υἱοῦ προστιθέτωσαν. ἀλλ' οὐδέ ποτε τοῦτο ποιήσουσιν. οὐ γὰρ ἐπαινοῦσι τὸ διὰ υἱοῦ. καὶ ὑποψίας μὲν οὖν κατὰ τούτου κινοῦσι πολλάς. οὐκοῦν οὐδὲ τὴν Δαμασκηνοῦ προσίενται γνώμην. οὐδὲ τὴν ἑαυτῶν ἐξήγησιν στέργουσι. καὶ πῶς ἡμᾶς βούλονται πείθειν ἐξηγήσεσιν, ὧν αὐτοὶ καταφρονοῦσιν ἔργῳ καὶ ἀτιμάζουσιν; Ἀλλ' ὡς ἔοικεν, οὐ τοῦτο σκοποῦσιν, ὅπως ἀμφότεροι τῷ Δαμασκηνῷ συμφωνήσωμεν ἀληθῶς, ἀλλ' ὅπως μᾶλλον ἡμᾶς ἀποδιασπάσωσι τοῦ Δαμασκηνοῦ. ᾧ μόνῳ τοσοῦτον ὁπόσον πᾶσιν ὁμοῦ τοῖς διδασκάλοις σέβας ὀφείλομεν. καὶ πολὺ πλέον ἢ αὐτοὶ τῷ διδασκάλῳ, τῶν ἀποφάσεων ἀπονέμουσιν, ὃν προΐστανται πανταχοῦ. Ἀλλ' ἐπειδὰν πανταχόθεν συγκλεισθῶσιν εἰς ἀπορίαν, λέγουσι διὰ τοῦ παρὰ σφίσι διδασκάλου Θωμᾶ, ὅτι Δαμασκηνὸς, Νεστοριανὸς ἦν ἐν τῇ περὶ τοῦ πνεύματος δόξῃ. ὅθεν ἐν τούτῳ τῷ μέρει, οὐ δεῖ τῇ ἀποφάσει τούτου συνίστασθαι. καλῶς ἄρα οὐδὲν διαφέρειν οἴονται, τὰ ἐκείνου σοφιστικῶς ἐξηγεῖσθαι. οὐδὲ νομίζουσιν ἐξαμαρτάνειν, ἂν οὕτω ποιῶσιν. ἐπείπερ αἱρετικὸν ἐκεῖνον νομίζουσι. καὶ τῶν πώποτε γεγενημένων χείριστον αἱρετικῶν, εἴπερ ἠβούλετο σβεσθεῖσαν χρόνοις τοσούτοις αἵρεσιν, ἀναζωπυρεῖν καὶ εἰς φῶς ἄγειν. καλῶς καὶ Θωμᾶς ὑπὸ Λατίνων νῦν πάσχει μετὰ τὰς δημοσίας ἀνακηρύξεις ταῖς τῆς αἱρέσεως δυσφημίαις βαλλόμενος ὑπὸ τῶν τῆς ἀντιθέτου μοίρας προϊσταμένων. καλῶς ἡμῖν ἐλέγετο πρότερον, ὅτι τὴν προσθήκην ἐκείνην, οὐ κατὰ Νεστοριανῶν, ἀλλὰ κατὰ

τῶν Ἀνατολικῶν Ἐκκλησιῶν παραστίθουσιν. αἱ τῆς καθολικῆς Ἐκκλησίας, καὶ τῶν πατρίων δογμάτων, ἐν οὐδενὶ παρεξηλώσασιν οὔπω μέχρι καὶ νῦν. πῶς δὲ ἠγνόησε τοῦτο Θωμᾶς, ὡς εἰ μὲν καὶ ἐν ἄλλῳ τινὶ πράγματι τὸν Δαμασκηνὸν εἶχε δεικνύειν ψευδόμενον, καὶ πρὸς τὰς κοινὰς ἀπομαχόμενον δόξας, ἴσως ἂν ἠδυνήσατο πείθειν ἡμᾶς, διʼ ὑποψίας τὸν διδάσκαλον κἂν τούτῳ ποιεῖσθαι τῷ μέρει. ἐπεὶ δὲ ἐν τῷ ζητουμένῳ μόνον αὐτὸν διαβάλλει, μὴ ὅτιγε περὶ τοῦ Δαμασκηνοῦ (οὗ τὴν δόξαν ἐκ τοιούτων τινῶν πλασμάτων διασαλεύειν μωρία πολλή) ἀλλʼ οὐδὲ περὶ ἄλλου τινὸς προσώπου ἢ δόγματος τῶν τυχόντων, ἀξιόπιστος εἶναι δόξει. Λέγει δὲ ὁ Θωμᾶς καὶ τὸ τοῦ Νεστορίου καταδικασθῆναι σύμβολον, ἐν τῇ τρίτῃ συνόδῳ. κατεδικάσθη μὲν οὖν τὸ σύμβολον ἅπαν. ἵνα μὴ σωζόμενόν τε καὶ κηρυττόμενον, βλάπτῃ τοὺς ἁπλουστέρους, ὑπὸ τοῖς ὑγιαίνουσι δόγμασι, καὶ τοῦ διεφθαρμένου μεταλαμβάνοντας. τοῦτο δὲ ἦν ἡ κατὰ τοῦ Χριστοῦ βλασφημία. οὐ πάντα δὲ τὰ ἐμπεριεχόμενα τῷ συμβόλῳ καταδεδίκασται. οὐ δὲ τοῦτο γοῦν εἰδικῶς ὃ περὶ τοῦ πνεύματος Νεστόριος εἶπεν. ἢ δειξάτω Θωμᾶς ποῦ τὴν περὶ τοῦ πνεύματος Νεστορίου δόξαν οἱ τῆς τρίτης συνόδου πατέρες, ἢ κοινῶς, ἢ ἰδίως, ἐκβάλλουσιν ὡς αἱρετικήν; εἰ δὲ διὰ τὸ καταδικασθῆναι τὸ σύμβολον ἐκεῖνο, πάντα φευξόμεθα καὶ μισήσομεν ὡς αἱρετικὰ τὰ ἐν ἐκείνῳ περιεχόμενα, ἀρνησόμεθα ἕνα Θεὸν εἶναι πατέρα ἀΐδιον. καὶ ἀεὶ ὄντα Θεὸν πατέρα, καὶ τὰ λοιπὰ τοῦ συμβόλου. ἐν οἷς ἐστὶν εὐσεβέστατος ὁ Νεστόριος, πλὴν ἑνὸς μόνου τῆς εἰς τὴν οἰκονομίαν τοῦ υἱοῦ τοῦ Θεοῦ βλασφημίας. Ποιήσαιτο δʼ ἄν τις μέγα τεκμήριον, τοῦ μηδὲν ἔχειν ἀληθὲς πρὸς τὰς τοῦ Δαμασκηνοῦ ῥήσεις Λατίνους εἰπεῖν, τὸ συκοφαντεῖν ἐκεῖνον καὶ διαβάλλειν. ὡς ἔοικε γὰρ διὰ τὸ μὴ δύνασθαι τι μηχανήσεσθαι πρὸς αὐτὰς ἐπιχείρημα γοῦν πιθανότητος ἔχον, σαφῶς οὕτως ὑπʼ αὐτῶν βαλλομένους, πρὸς τὴν τοῦ διδασκάλου συκοφαντίαν εὐκόλως ἐτράποντο. ὅθεν καὶ εἴπ πρὸς αὐτὰς ἀποκέκρυνται, αὐτοὶ μὲν προκατεγνώκασι τούτου. ἡμᾶς δὲ δέονται παραχρύσεσθαι. οὕτω δὲ εἰσὶ πρόχειροι περὶ τὰς τῶν διδασκάλων διαβολάς, καὶ τὸ τοὺς αὐτοὺς αἱρετικοὺς ἡγεῖσθαι καὶ διδασκά-

λους, ὥστε καὶ τὸν Αὐγουστῖνον αὐτὸν (καὶ ἵλεώς μοι γένοιτο ὁ μακάριος ἐκεῖνος διδάσκαλος) οὐκ ἂν ὤκνησαν διαβάλλειν ὡς αἱρετικὸν, εἰ τῆς παραθήκης ἡμῖν συνέβαινε πρώτοις τολμηταῖς γεγονέναι, αὐτοὶ δὲ τοῖς κοινοῖς (καθάπερ νῦν ἡμεῖς) ἐνέμενον δόγμασι. καὶ τοίγε νῦν ἐπ᾽ αὐτῷ μέγα φρονοῦσι. καὶ πάνυ δίκαιον. τότε δὲ οὐκ ἂν ἐδυσχέραναν, καὶ Μανιχαῖον ἔτι καὶ πνευματομάχον, καὶ ἄλλο τι τοιοῦτον ἐπιφημίσαι τῷ τῆς ἀληθείας διδασκάλῳ κακὸν, ὥσπερ νῦν κατὰ τοῦ Δαμασκηνοῦ πράττουσι. περὶ μὲν οὖν Δαμασκηνοῦ τοσαῦτα ἀρκείτω· Τί δὲ περὶ Γρη-
Γρηγ. ὁ θεολ. » γορίου ῥητέον, ὅς φησι, Πάντα τὰ τοῦ πατρὸς εἶναι καὶ τοῦ υἱοῦ πλὴν τῆς
» αἰτίας; τί περὶ τοῦ Μαξίμου, ὃς Γρηγορίῳ πειθόμενος, Τὸν υἱόν φησι μὴ
Μάξιμ. » εἶναι αἰτίαν τῆς τοῦ ἁγίου πνεύματος ἐκπορεύσεως; τί περὶ Διονυσίου, καὶ τῶν ἄλλων τὰ πρότερον ἐκτεθειμένα λεγόντων; ἆρ᾽ οὐ πάντες οὗτοι συμπλέξουσι τὴν ἀντίφασιν; ἢ ταῦτα λέγοντες, ὅμως φρονεῖν τὸν υἱὸν ἀρχὴν καὶ αἴτιον τοῦ πνεύματος πιστευθήσονται; ἤτι καὶ περὶ τούτων ἐροῦσιν (ἐπειδὴ παρεξηγεῖσθαι τούτους ἐθέλοντες οὐ λανθάνουσι) πότερον ὡς αἱρετικοί τινες ἦσαν, καὶ τὰ Νεστορίου ἐφρόνουν; καὶ μὴν ἔνιοι τούτων πρὸ Νεστορίου γεγένηνται. πάντες δὲ ὁμοῦ τῆς Ἐκκλησίας διδάσκαλοι, καὶ τῆς ὀρθοδοξίας ἀκαθαίρετοι πύργοι, καὶ κρείττους ἁπάσης ὑποψίας γεγόνασιν. εἰ δὲ καὶ μὴ λέγουσι τούτους αἱρετικοὺς εἶναι ἢ ψεύδεσθαι, ἆρ᾽ οὐχ᾽ ἕτερόν τινα τρόπον τὰ αὐτὰ ταῦτα λέγουσιν, ἐπειδὰν τὸν μακάριον Ἰωάννην τὴν τοῦ Νεστορίου πεπονθέναι νόσον ἐπιδεικνύωσιν; ὃς οὐδὲν ἕτερον, ἢ τὰ τῶν διδασκάλων ἐκείνων ἐπιτεμὼν, αὐταῖς ἡμῖν παρατίθησι λέξεσι, λέγων ὅτι τὸ πνεῦμα ἐκ τοῦ υἱοῦ οὐ λέγομεν, διότι μηδένα τῶν διδασκάλων εὗρε λέγοντα τοῦτο, μηδὲ τὴν καθολικὴν Ἐκκλησίαν οὕτω κηρύττουσαν. ἀλλ᾽ ἢ μόνον ἐκ πατρὸς μὲν ἐκπορεύεσθαι, δι᾽ υἱοῦ δὲ χορηγεῖσθαι τῇ κτίσει, καὶ ἐκ πατρὸς δι᾽ υἱοῦ προϊέναι διὰ τὴν τῶν θείων ὑποστάσεων κατ᾽ οὐσίαν συνάφειάν τε καὶ εὔτακτον συμπλοκὴν, διοριζόμενος δὲ μόνον αἴτιον εἶναι τὸν πατέρα, διότι πάντας εὕρισκε μόνην πηγὴν τῆς θεότητος τὸν πατέρα λέγοντας, καὶ μόνην αἰτίαν. καὶ τὰ τοιαῦτα. Ἀλλ᾽ οἱ μὲν Λατῖνοι τοσοῦτον διδασκάλων ἐσμὸν φανερῶς οὐδέ ποτε τολμή-

σουσι

σοῦσι διαβαλεῖν, εἰ καὶ τρόπον ἕτερον τοῦτ' αὐτὸ πράττουσιν. ἡμεῖς δὲ ὡς σοφιστῶν τινῶν ἐκείνων καταγνωσόμεθα δήπου, εἰ πιστεύοντες τὸν υἱὸν ἀρχὴν εἶναι καὶ αἰτίαν τοῦ πνεύματος, ὅμως μόνον αἴτιον τὸν πατέρα, καὶ μὴ ἔχειν τὸν υἱὸν τὴν αἰτίαν ἐν τῇ θεότητι, καὶ ἀξίωμα τοῦ πατρὸς τὴν ἀρχὴν καὶ τὸ αἴτιον, καὶ ἐκ τοῦ υἱοῦ μὴ εἶναι, καὶ τοιαῦτά τινα ἔλεγον. καὶ τῶν ἀρχαιοτέρων μάλιστα καταψηφιζόμεθα, ὅσῳ καὶ τοῖς ὑστέροις αὐτοὶ τῆς συναρπαγῆς γεγόνασιν αἴτιοι. καὶ τοῦ τῆς ἀντιφάσεως μεταδεδώκασιν αἴσχους. μήτε ἐν τῷ συμβόλῳ κατὰ Μακεδονίου τὴν ἐγκεκρυμμένην αὐτοῖς δόξαν δηλώσαντες, ὅτ' εἴπερ ποτὲ εἶδει φανεροῦν αὐτὴν, μήτε κατὰ Νεστορίου ζῆλον ἐπιδειξάμενοι πρέποντα. ἀλλὰ καὶ δόξαντες πάνυ συνηγορεῖν, μήτε οἱ τελευταῖοι Δαμασκηνὸν ἀποδοκιμάσαντες, οὕτω φανερῶς τὴν Νεστορίου δόξαν μετὰ τοσούτους χρόνους διδάσκοντα, ὥστε καὶ ὑπὸ τοῦ Θωμᾶ κρατηθῆναι, ἀλλὰ καὶ παραδόντες ἡμῖν, ὡς τῆς ἀληθείας διδασκάλῳ χρῆσθαι καὶ μάρτυρι. Ἀλλ' οὐκ ἔστι ταῦτα ἀντίφασις φήσουσι Λατῖνοι. πάντα γὰρ ὅσα ἔχει ὁ πατὴρ, καὶ ὁ υἱὸς ἔχει πλὴν τῆς αἰτίας, τῆς κατὰ τὸ γεννᾶν δηλονότι. δύναται δὲ τὴν αἰτίαν ἔχειν τὴν κατὰ τὸ προβάλλειν. καὶ μόνη πηγὴ τῆς θεότητος ὁ πατήρ. ἀλλ' οὐκ ἔστι μόνος πηγὴ τοῦ πνεύματος. ἔστι γὰρ καὶ ὁ υἱὸς πηγὴ τοῦ πνεύματος ἐκ πηγῆς τοῦ πατρός. καὶ ἰδιότης ἐστὶ τοῦ πατρὸς ἡ ἀρχὴ καὶ τὸ αἴτιον. ἀλλὰ τὸ ἀναίτιον αἴτιον. καὶ ἡ πρώτη ἀρχή. Ἀλλ' αὗται αἱ ἀποκρίσεις, ἐν τοῖς ἰδίοις ἑκάστη τόποις πρότερον ἐξηλέγχθησαν. νῦν δὲ ἀρκεῖ τοσοῦτον εἰπεῖν, ὡς εἰ μὲν ὁ θεολόγος Γρηγόριος ἔλεγεν ἀλλοθί που τὸν υἱὸν ἔχειν τὴν αἰτίαν τοῦ πνεύματος, εἰ ὁ Διονύσιος ἔλεγέ που τὸν υἱὸν πηγὴν εἶναι τοῦ πνεύματος, περὶ τῆς ὑπάρξεως τῶν ὑπερουσίων ἐκείνων προσώπων θεολογῶν, οὐκ ἂν ἐδέησε πόνων Λατίνοις, ὥστε δεικνύναι ταῦτα μὴ εἶναι ἀντίφασιν, καὶ τὴν δίαιταν ἀνευρίσκειν, καὶ ἡμῖν ὑφηγεῖσθαι. καὶ ἡμεῖς γὰρ αὐτοὶ προϋποθέμενοι πάντως, ὡς ἀδύνατόν ἐστι διδασκάλους τοσούτους ἑαυτοῖς ἀντιφάσκειν ὡς ἐκ συνθήματος, εὕρομεν ἂν πάνυ ῥᾳδίως τὸν τρόπον, ᾧ τὴν ἀντίφασιν ταύτην τοῦ λόγου, καὶ οὐ τῆς ἐννοίας ἐπιδεικτέον ἂν εἴη. οὐ δὲ γὰρ οὕτως ἡμεῖς χυδαῖοι, ὥστε πρὸς

τοῦτο

τοῦτο δεῖσθαί τινος τῶν παρὰ Λατίνοις σοφῶν ὁδηγοῦ. Ἐπεὶ δὲ ὁ θεολόγος, θάτερον μόριον ἀεὶ λέγει τῆς ἀντιφάσεως, καὶ οὐδέποτε θάτερον, καὶ Μάξιμος ὁμοίως καὶ Διονύσιος, ἡμεῖς τε οὐ βουλόμεθα λύειν ἀντιφάσεις, ἃς εἰσάγουσιν οἱ Λατῖνοι, οὐχ' ἃς οἱ διδάσκαλοι δοκοῦσι ποιεῖν, καὶ Λατῖνοι μάτην πονοῦσι λύειν πειρώμενοι. εἰ γὰρ καὶ τὰς ἀντιφάσεις ταύτας καλῶς λύουσιν, ἀλλ' οὐκ ἔχουσι δεῖξαι τοὺς διδασκάλους τῆς θεραπευτικῆς αὐτῶν δεομένους. ἐπεὶ μηδὲν ἐκεῖνοι λέγουσι, τοιαύτης θεραπείας δεόμενον. οὐ γὰρ ἀντιφάσκουσιν ὅλως. οὔτε δοκοῦσι τοῖς νοῦν ἔχουσιν. ἔχει γὰρ οὕτω τὸ πρᾶγμα Λατίνων: Λέγουσιν αὐτοὶ τὸν υἱὸν ἀρχὴν εἶναι τοῦ πνεύματος καὶ αἴτιον. ἀντιλέγομεν ἡμεῖς. καὶ Γρηγόριον φέρομεν καὶ Διονύσιον, καὶ τοὺς λοιποὺς διδασκάλους βεβαιοῦντας ἡμῖν τὴν ἀντιλογίαν. ἀποκρίνονται πάλιν αὐτοί, ὡς ταῦτα λέγοντες οἱ διδάσκαλοι, ὅμως ἀρχὴν ἐφρόνουν τὸν υἱὸν εἶναι τοῦ πνεύματος, εἴτουν αἴτιον. τοῦτο δὲ οὐ ῥητοῖς τῶν διδασκάλων δεικνύουσιν, ἵνα τῆς ἐν τῷ λόγῳ ταύτης ἐναντιότητος ἀπ' αὐτῶν ἀνεγερθείσης τῶν διδασκάλων, καὶ τῆς ἀπορίας πειραθῶμεν ἄμφω κοινῶς τὴν λύσιν εὑρίσκειν. ἀλλ' οἴκοθεν λέγουσιν. εἶτα πρὸς τὸ λύειν τὴν ἐντεῦθεν ἀνίσχουσαν ἀπορίαν, διαιρέσεσι καὶ ἐξηγήσεσι χρῶνται, ἃς ἡμῖν οὐ συμφέρει προσδέχεσθαι. οὐ γὰρ ἔχουσι τὸ πιστόν, ὅθεν αὐτὰς τοῦτ' ἔχειν ἐχρῆν. τίς οὖν αὐτοῖς προσέξει λοιπόν, οἴκοθέν τε λέγουσι τὸν υἱὸν ἀρχὴν εἶναι τοῦ πνεύματος ἢ αἰτίαν; καὶ ἐπειδὰν ὡς τοῖς διδασκάλοις ἀντιφάσκοντες ἐγκαλῶνται διαιρέσεις ἐπάγουσιν, οὐδενὶ τῶν διδασκάλων βεβαιουμένας. τίς γὰρ εἶπε τῶν διδασκάλων, τὸν υἱὸν πηγὴν εἶναι τοῦ πνεύματος ἐκ πηγῆς, πρὸς ἀντιδιαστολὴν τινὸς πηγῆς πρώτης; ἢ τοῦ υἱοῦ τὴν αἰτίαν ἀφελών, τὴν κατὰ τὸ γεννᾶν προσέθηκε; μηδενὸς οὖν τῶν διδασκάλων, ἢ τὸ τῆς ἀντιφάσεως ἐκεῖνο μόριον βεβαιοῦντος, ἢ τὴν δίαιταν, ἢ διαιτῶσι τὴν ἀπορίαν ταύτην Λατῖνοι, πολλὴ γ' ἂν εἴη μωρία, μόνοις αὐτοῖς πείθεσθαι, ὡς ἄρα μέχρι τῆς λέξεως, ἡ ἀντίφασις ἵσταται αὕτη, ἐκ τοῦ διαιτᾶν αὐτοὺς οἴκοθεν. ἢ οὐδὲ διαιρεῖν αὐτοὺς ἂν ἔδει, οὐ δὲ πειρᾶσθαι, κατὰ τῆς ἀντιφάσεως, ἣν αὐτοὶ τοῖς διδασκάλοις ἐπάγουσιν. ἀλλ'

ἤρξαντο μᾶλλον ἑαυτοὺς ὀνειδίζειν, ὡς ἀσυμφώνως φρονοῦντας, ὅτι ὁ υἱὸς τοῦ Θεοῦ, ἀρχὴ καὶ αἴτιος ἐστὶ τοῦ πνεύματος. καὶ τὸ πνεῦμα ἔχει τὸ ὑφεστὼς εἶναι, ἐκ τοῦ πατρὸς ἅμα καὶ υἱοῦ, εἴγε ἐμέλλομεν αὐτοῖς οὕτως ῥαδίως πείθεσθαι. Δῆλον οὖν ἐστὶ παντὶ τῷ βουλομένῳ κρίνειν ὀρθῶς, ὅτι καὶ ἀντίφασις ἐστὶ, τό, τε ἡμέτερον δόγμα καὶ τὸ Λατίνων. καὶ ὅτι ταύτην αὐτοὶ πράττουσι τὴν ἀντίφασιν, οὐκ ἐκ τῶν διδασκάλων ἐγειρομένην λύουσι, τοῦ λόγου μόνον ταύτην εἶναι δεικνῦντες, ὥσπερ δήπου πειρῶνται. Τεκμήριον δὲ ἐναργέστατον τοῦ τοῦθ' οὕτως ἔχειν, ἐπειδὰν αὐτοῖς λέγωμεν, καὶ πῶς οὐ βούλεσθε μεθ' ἡμῶν ὁμολογεῖν τὸ πνεῦμα τὸ ἅγιον, ὁμοούσιον μὲν εἶναι τῷ υἱῷ τοῦ Θεοῦ, ἐκ μόνου δὲ τοῦ πατρὸς ὑφιστάμενον ἐν τῷ ἰδιοσυστάτως εἶναι καὶ προσωπικῶς; ἀποκρίνονται τοῦτο Νεστοριανοῦ αἵρεσιν εἶναι, καὶ διὰ τοῦτο μὴ ἀνέχεσθαι σφᾶς τῇ δόξῃ ταύτῃ συνίστασθαι. ἐκ κοινοῦ ἀντίφασιν ἡγοῦνται καὶ αὐτοί, τὸ εἶναι τὸν υἱὸν ἀρχὴν τοῦ πνεύματος, καὶ τὸ μὴ εἶναι ἀρχήν. καὶ τὸ ἔχειν τὸ πνεῦμα τὴν ὕπαρξιν ἐκ τοῦ υἱοῦ, καὶ τὸ μὴ ἔχειν. καὶ τὸ τὸν πατέρα μόνον αἴτιον εἶναι τοῦ πνεύματος καθάπερ καὶ τοῦ υἱοῦ, καὶ τὸ μὴ εἶναι οὕτως. ὥστε καὶ αἱρετικὰ νομίζουσι τά γε ἡμέτερα εἶναι. καὶ διὰ τοῦτο μηδὲ ἀνέχεσθαι σφᾶς τούτοις συντίθεσθαι. εἰ τί γ' ἂν ἐκώλυσεν αὐτοὺς, πρὸς ταῦτα μεθίστασθαι, εἴπερ οὔτε ἀσύμβατα τοῖς ἰδίοις δόγμασιν, οὔτε αἱρετικὰ εἶναι ἐνόμιζον, εἰ μὴ διὰ κενοδοξίαν μόνον ἠβούλοντο τὴν κοινὴν βλάπτειν εἰρήνην; τοῦτο δὲ οὐκ ἄν τις περὶ αὐτῶν ῥαδίως πιστεύσειεν. Οὕτω γοῦν ἡμῖν ἀντιφάσκοντες οἱ Λατῖνοι, ἐπειδὰν ἡμεῖς τὰς τῶν διδασκάλων προβαλλόμεθα ῥήσεις, καὶ ταύτας νοοῦμεν κατὰ τὴν ἀληθῆ καὶ πρόχειρον ἔννοιαν, καὶ ἣν αὐτοὶ δοκοῦσιν ἐν ἄλλοις μέρεσιν ἐπαινεῖν οἱ διδάσκαλοι, οὐ κατά τινα βεβιασμένην καὶ τῆς ἀνθρωπίνης οὔσαν πανουργίας, εὔδηλον ὡς οὐχ ἡμῖν μόνοις, ἀλλὰ καὶ τοῖς ἡμῶν ἀντιφάσκουσι διδασκάλοις δήπου Λατῖνοι. καὶ ταύτης τῆς ἀντιφάσεως αὐτοὶ γεγόνασιν αἴτιοι, τὴν τῶν θεολογιῶν ἀναστήσαντες, αὐτῇ τε καὶ ἀντικουσιν ... τοῦ πνεύματος τὸν υἱὸν καὶ ἀρχήν. καὶ ...

ποι-

ποιοῦντες τῆς ὑποστάσεως, αἰτίας τοῦ πνεύματος. εἶτα εἰς προβλητικόν τινὰ καταφεύγοντες δύναμιν. καὶ τῇ ἑνότητι τῆς θείας οὐσίας χρώμενοι συνεργῷ. ἃ πάντα εἰδότες καλῶς οἱ διδάσκαλοι, ὅμως μόνον αἴτιον τοῦ πνεύματος λέγουσι τὸν πατέρα. καὶ τὸν υἱὸν οὐκ αἴτιον. τεχνολογοῦσι δὲ καὶ περὶ τῶν θείων Λατῖνοι, ὅτι καὶ περὶ τῶν ἀνθρωπίνων οὐδαμόθεν ἔχει τὸ βέβαιον ἐν ἀνθρώποις. ἀλλὰ κατὰ δόξαν μὲν εἰσὶν ἀληθῆ. κατὰ δόξαν δὲ ψευδῆ καὶ ἀδύνατα. καὶ ὁ εἰς τὰ πίστεως ῥιψοκινδύνως καθίσταται. ὅπερ ὁ μακάριος Κύριλλος, πάσαις ἀποτρέπει σπουδαῖς. καὶ σὺν αὐτῷ πάντες, οἱ τῷ τοῦ Χριστοῦ ἀγόμενοι καθαρῶς πνεύματι, καὶ τοῦ πνεύματος ἀληθινοὶ μαθηταί. ἀλλὰ τί πρὸς ταῦτα φασί; τὴν αὐτὴν καὶ ἡμεῖς ὦ Γραικοὶ ποιεῖτε ἀντίφασιν. πιστεύετε γὰρ ἐκ μόνου τοῦ πατρὸς ἐκπορεύεσθαι τὸ πνεῦμα τὸ ἅγιον. πιστεύετε δὲ καὶ διὰ τοῦ υἱοῦ τοῦτ' ἐκπορεύεσθαι. καὶ τὰ τῶν εὐρωπαίων διδασκάλων οὐκ ἀποστρέφεσθε ῥητά. ταῦτα δὲ ἀντίφασιν περιέχει. εἰ γὰρ δι' υἱοῦ τὸ πνεῦμα ἐκπορεύεται, ἀδύνατον ἐστὶν ἐκ μόνου τοῦ πατρὸς τοῦτ' ἐκπορεύεσθαι. Τοῦτο καλῶς λέγουσιν οἱ Λατῖνοι, ὡς ἕως ἂν δι' υἱοῦ τὸ πνεῦμα λέγηται ἐκπορεύεσθαι, οὐκ ἀσφαλὲς ἐστὶ τὸ ἐκ τοῦ πατρὸς μόνου τοῦτ' ἐκπορεύεσθαι λέγειν ἁπλῶς οὑτωσίν. ὑπηχεῖ γὰρ ταύτῃ τῇ προτάσει, ὕπουλόν τι καὶ ἀνέψηλον. καὶ ἐμφωλεύει τὶς ἀντίθεσις πρὸς τὸ δι' υἱοῦ ἐκπορεύεσθαι. δόξειε γὰρ ἂν ἐντεῦθεν, ἐν τῇ προόδῳ τοῦ πνεύματος ἐκ πατρός, μηδαμῶς κοινωνεῖν τὸν υἱόν, μήτε φυσικῶς, μήτε προσωπικῶς. ἀλλὰ καθάπαξ ἀποδιεστάναι τὰς προόδους. καὶ ἀπηρτῆσθαι τὰ προϊόντα ἀλλήλων, τῇ κοινωνίᾳ μόνου τοῦ εἴδους ἑνούμενα. ἅπερ ἐκβάλλοντες οἱ διδάσκαλοι, δι' υἱοῦ τὸ πνεῦμα ἐκπορεύεσθαι εἶπον. ἵνα τὸ συνημμένον τῆς οὐσίας παραστήσωσι. καὶ τ' ἄλλα ὅσα προλαβόντες ἐδείξαμεν. ἃ πάντα ἀναιροῖτ' ἄν, εἰ ἐκ μόνου τοῦ πατρὸς ἐκπορεύεσθαι λέγοιτο φανερῶς οὑτωσί. διὰ τοῦτο οὐδ' ἡμεῖς, οὔτ' ἐπαινοῦμεν, οὔτε κηρύττομεν ταύτην τὴν πρότασιν. ἀλλ' εἴ τις τὰς ὑπονοίας ἐκείνας περιελὼν, κεκαθαρμένην λέγει ταύτην τὴν πρότασιν,

καὶ

καὶ παντάπασιν ἐστὶν ἀληθής· τουτέστιν ὅτι τὸ πνεῦμα τὴν αἰτίαν τῆς ἰδίας ὑπάρξεως, ἐκ τοῦ πατρὸς ἔχει μόνον. ὅπερ ταυτὸν ἐστὶ τῷ τὸν πατέρα εἶναι μόνον αὐτοῦ αἴτιον. καὶ τῷ τὸν υἱὸν μὴ εἶναι τοῦ πνεύματος αἴτιον. ταῦτα δὲ φωναὶ τῶν διδασκάλων εἰσίν. ἀλλ᾽ ὅμως ἡμεῖς ὀνομοθετοῦμεν ταύτην τὴν πρότασιν, οὐ δὲ δημοσίᾳ κηρύττομεν, πλὴν ἐν ταῖς διαλέξεσι μόναις. οὔτε γὰρ ἀνεχόμεθα κηρύττειν, ἃ τῷ κοινῷ τῆς Ἐκκλησίας οὐκ ἤρεσεν, οὔτε βουλόμεθα πάλιν ἀρνεῖσθαι τὰ ἀληθῆ. οὐ δὲ χαρισαίμεθα ἄν ποτε τοῦτο Λατίνοις, ὅτι διὰ τοῦτο φαῦλόν ἐστιν ἐκ μόνου τοῦ πατρὸς τὸ πνεῦμα κηρύττειν. διότι καὶ ὁ υἱὸς ἐστὶ τοῦ πνεύματος αἴτιος προσεχῶς. ὥσπερ οὐδὲ χαρισαίμεθα ἄν ποτ᾽ αὐτοῖς, ὅτι δι᾽ υἱοῦ τὸ πνεῦμα λέγοντες ἐκ τοῦ πατρὸς ἐκπορεύεσθαι οἱ διδάσκαλοι, τὸν υἱὸν ἐνόουν ἀρχὴν καὶ αἰτίαν τοῦ πνεύματος. οὔτε γὰρ ἀληθῆ εἰσὶ ταῦτα, οὔθ᾽ ὑπό τινος μεμαρτύρηται τῶν διδασκάλων. ἐχρῆν δὲ καὶ Λατίνους οὕτω ποιεῖν. καὶ μὴ πίστιν εἰς τὸ κοινὸν τῆς Ἐκκλησίας εἰσάγειν, ὑπ᾽ οὐδενὸς μὲν τῶν ἁγίων μαρτυρουμένην. πολλῆς δὲ γέμουσαν ἀπορίας. σκανδάλων δὲ ἀφορμὴν δικαίαν παρέχουσαν.

Εἰ τοίνυν ἃ μὲν ἡμεῖς λέγομεν οὐχ ἡμῶν εἰσίν, ἀλλὰ τῶν διδασκάλων καὶ τῶν συνόδων πασῶν, ἃ δὲ Λατῖνοι λέγουσιν ἑαυτῶν εἰσί, καὶ τῆς πρὸς τοὺς διδασκάλους καὶ ἡμᾶς ἀντιφάσεως σφίσιν αὐτοῖς αἴτιοι καθεστήκασι, ἡμεῖς μὲν τὰς τῆς πλάνης ἀπορίας διαδιδράσκομεν, ὑπὸ καλαῖς ἀσπίσι ταῖς τῶν πατέρων διδασκαλίαις καὶ τοῖς λογίοις τοῦ πνεύματος. αὐτοὶ δὲ τῶν τε ἄλλων καὶ τοῦ τῆς Ἐκκλησίας σκανδάλου, ὃ διὰ τὴν ἀντίφασιν ταύτην ἐστί, τῷ Θεῷ τὸν λόγον ἑτοιμαζέσθωσαν δοῦναι. Ἀλλὰ μὴ γένοιτο μήτ᾽ ἐκείνοις, μήθ᾽ ἡμῖν, τοιαύτην ὀφείλειν ἀπολογίαν. καὶ δοίη σφίσι Θεός, τῆς εἰρήνης ἐπιθυμῆσαι δικαίως καὶ ἴσως. ὡς νῦν γε τὰς ἡμετέρας παραβλέπουσι συνειδήσεις, βίᾳ πρὸς τὴν συνθήκην τῶν αὐτοῖς ἀρεσκόντων ἕλκοντες. ὥσπερ αὐτοὶ μὲν τῆς Ἐκκλησίας Χριστοῦ, καὶ τῶν θείων δογμάτων ἐξουσιάζοντες. Ἐπίλογος.

ἡμῖν δὲ ὡς ἀντιπεπονθόσι τῆς ἀληθείας καὶ φαύλοις ὑποχειρίοις χρώμενοι. καίτοι τῶν ἱερῶν λογίων, καὶ τῶν διδασκάλων, οὓς ἡμῖν ἡ τοῦ Θεοῦ χάρις ἐπέστησεν ἀντεχόμεθα. ἀλλ' αὐτοὶ τὸ βούλεσθαι νόμον ποιοῦνται. καὶ ὅτι ἂν αὐτοῖς προτείνωμεν ὑπὲρ τῶν ἡμετέρων δικαίων, καὶ τῆς ἀληθινῆς καὶ δικαίας εἰρήνης, τὰ μὲν σοφίσμασι, τὰ δὲ ἀπειλαῖς λύειν ἐθέλουσιν. ἐπαχθέστεροι δὲ νῦν εἰσὶν ἢ πρόσθεν ἡμῖν διὰ τὰς ἐν Φλωρεντίᾳ συνθήκας τῶν ἡμετέρων. οἴονται γὰρ ἡμᾶς δι' ἐκείνων ἔχειν ἑαλωκότας. δι' ἐκείνας μὲν οὖν αὐτῶν διϊστάμεθα πλέον ἢ πρότερον. ἀλλὰ τὰ μὲν κατ' ἐκείνην τὴν σύνοδον, ἄλλοι τινὲς ἴσως ἐροῦσι καὶ ἱστορήσουσιν. Ἐγὼ δὲ πέρας ἐπιτίθημι τῷ παρόντι συγγράμματι. καὶ οἶμαι, μᾶλλον δὲ πέπεισμαι, μηδενὶ τῶν ἀνθρώπων ἐνὸν δυνηθῆναι ἂν ἐγγενέσθαι δόξαν περὶ τῶν προκειμένων, ταύτης βελτίω. ἀλλ' ὃς ἂν οἴοιτο τοῦτο δυνήσεσθαι, ἀπατηθήσεται. καὶ πολλὰ μὲν ἴσως ἐρεῖ. ἀλλὰ προσκρούσει θατέρῳ μέρει τῶν διδασκάλων, καὶ πᾶσιν αὐτοῖς. καὶ ὑπερθήσει πολλὰ τῶν ζητουμένων. ἢ συκοφαντίαις μόνον καὶ ὕβρεσι πρὸς τὰς ἀποδείξεις ἀγωνιεῖται. ὅπερ οἱ πλείους πεπόνθασι δι' ἀπαιδευσίαν, τῶν ἑκατέρωθεν περὶ τῆς ὕλης ταύτης πειραθέντων συγγράψασθαι. ἐνὶ μὲν οὖν οὐκ ἄν ποτε συγχωρήσαιμι ῥᾳδίως (ὅπερ εἶπον) ἀληθέστερόν τι τῶν ἐμοὶ συγγεγραμμένων εὑρήσειν. ἂν δὲ τῆς εἰρήνης πάντες δικαίως τε καὶ ἴσως ἐπιμεληθέντες, Λατῖνοί τε δηλονότι, καὶ οἱ ἐν ἡμῖν διαφερόμενοι ἑκατέρωθεν, τὰς τὸ σκάνδαλον τικτούσας ἀπορίας λῦσαι πειραθῶσι κοινῇ, καὶ λύσωσι, καὶ μίαν τινα γνώμην ἀποφήνωνται, καὶ κρατήσῃ αὕτη ἐν πᾶσιν ἡμῖν, καὶ αὐτὸς ὑποτετάξομαι ταύτῃ, κἄντε σύμφωνος ᾖ ταύτῃ τῇ ἡμετέρᾳ, κἄντε καὶ μή. καὶ οὐδαμῶς ἀντερῶ, τοῦ πνεύματος εἶναι ταύτην πειθόμενος. Ἡ δὲ ἐν Φλωρεντίᾳ γεγενημένη συνάθροισις, ὀλίγον τι θειότητος ἢ οὐδὲν ἔχει, πολλῶν ἕνεκα. ἀρκεῖ γὰρ εἰδόσι τοσοῦτον εἰπεῖν. ἕως ἂν οὖν κοινῇ συνελθόντες ἄμεινον περὶ τῶν τοιούτων διασκέψωνται. Ταύτης ἐγώ τε τῆς γνώμης εἰμί, καὶ τοῖς ἄλλοις

νοῦσιν. ἐκεῖνοι καὶ συμβουλεύουσιν. οὐ γάρ ἐστι γνώμη νεοφανὴς ἀλλ' ἀπὸ τῶν τοῦ Χριστοῦ χρόνων καθήκουσα, συνόδοις καὶ διδασκάλοις μαρτυρουμένη πολλοῖς, καὶ πᾶσιν ὅλως σαφὴς ἴσως. Δέδια δὲ οὐδὲν, μή τις ἀπορρίψῃ τὸ φαῦλον πρὸς ἐμὲ καὶ πικρὸν, τοῦ σκανδάλου τούτου κατὰ τοῦτο προς γὰρ τὴν ἀνατολικὴν ἐκκλησίαν, ταύτην ἀπορρίψει σύμπασαν, οὐ πρὸς ἐμὲ, ἢ πάντα εὐπείθειν διϊσχυρίζομαι. τουτέστι τοῖς διδασκάλοις αὐτῆς, τοῖς τε ἀρχαιοτέροις καὶ νεωτέροις. ἀλλ' οὐδὲ τὰς τοῖς φιλονείκοις καὶ ὑβρισταῖς ἁρμοζούσας ποινὰς, οὐδεὶς ἐμοί ποτε τάξει. δίκαιος ὤν. οὐ γὰρ φιλονεικῶν. οὐ δὲ σύγχυσιν ἐμβάλλειν τοῖς ἐκκλησιαστικοῖς βουλόμενος πράγμασι, τὸ παρὸν βιβλίον ἐκδέδωκα. ἀλλὰ τῶν ἐν προοιμίοις εἰρημένων αἰτιῶν ἕνεκα. Καὶ πρὸς τούτοις, πειρῶμαι μὲν τῆς ἀληθείας στοχάζειν ὡς ἂν δύνωμαι. καὶ ὅσον μὲν ἐπ' ἐμὲ ἥκει, ἄνθρωπος εἶναι ὁμολογῶν, καὶ ὀλίγα εἰδέναι, δύνασθαί τε τοῦ πρέποντος ἁμαρτάνειν ἡγοῦμαι, καὶ τὴν μετὰ λόγου διόρθωσιν εὔχομαι. εὔχομαί τε πολλὰ, καὶ ὑπὲρ τοῦ λυθῆναι τὴν τῆς Ἐκκλησίας σύγχυσιν ταύτην, ὡς ἂν τῷ Θεῷ φίλον εἴη. ὅσον δὲ εἰς τοὺς ἡμετέρους προγόνους ἥκει καὶ διδασκάλους, ἀσφαλεστάτην δόξαν περὶ τῆς προκειμένης ὕλης ἔχειν τε καὶ διατηρεῖν πέπεισμαι. ἔχομαι μὲν γὰρ τῆς κοινῆς ὁμολογίας. συνάγω δὲ ἀλλήλοις τοὺς ἀρχαίους τῶν διδασκάλων, ὡς οὐκ ἄν τις ῥᾷστα καταγνοίη. καὶ ὡς τοῖς ὑστέροις τῶν ἡμετέρων διδασκάλων ἀρέσκει. καὶ πάντας ὁμοίως τοὺς διδασκάλους τιμῶ. τό τε συνάγειν πάντας εἰς ἓν, καὶ τῷ συμβούλοις αὐτοῖς χρῆσθαι καὶ ὁδηγοῖς τῆς τοιαύτης μεθόδου, καὶ ᾗ ἂν ὑφηγῶνται ταύτῃ καὶ ἕπεσθαι. καὶ νέμω τι πλέον τῷ τῶν διδασκάλων ἀξιώματι καὶ τῇ πίστει, ἢ ταῖς ἀπὸ τῶν λόγων ἀνάγκαις. καθὰ δήπου καὶ πᾶσι πρέπει Χριστιανοῖς: Εἰ ταῦθ' οὕτω ποιῶ, καὶ οὕτως ἔχω περὶ πάντα τῆς πίστεως τὰ ζητήματα, οὐδεὶς ἐμοὶ νοῦν ἔχων μέμψαιτ' ἂν, οὐδ' ἄν τινας πείσειε νοῦν ἔχοντας. συγγνοίη δὲ Θεὸς καὶ τοῖς εἰποῦσι καὶ τοῖς ἐροῦσιν ἴσως καθ' ἡμῶν τι μὴ δίκαιον. φωτήσαι δὲ καὶ τὴν ἡμετέραν διά-

Διαφοίτησις οὐκ ἐχρῆν ἐκ τοσούτου βλέπειν ἀφ' ἧς τῶν ἀμνηστίαν ἐστί. ποθοῦμεν πάσαις ταῖς Ἐκκλησίαις τὴν εἰρήνην βεβαιωθῆναι, ἧς ἂν αὐτὸς ἐπιτάξαι τοῖς πρόποις. αὕτη γὰρ τῶν ἄνωθεν εἰς ἀνθρώπους δωρεῶν ἐστι τὸ κεφάλαιον. Δὸς ἡμῖν Κύριε εἰρήνην. πάντα γὰρ ἀπέδωκας ἡμῖν, ἀμέμπτως σὺν προσφυλάξαι καὶ βασιλεύσειν ἐπαγγελίας τῷ τῆς εἰρήνης πρυτάνει Θεῷ· ᾧ δόξα

καὶ κράτος εἰς τοὺς αἰῶνας,

Ἀμήν.

Τέλος καὶ Θεῷ δόξα.

ΓΕΩΡΓΙΟΥ ΤΟΥ ΣΧΟΛΑΡΙΟΥ ΤΟ ΣΥΝΤΑΓΜΑ:

ἐπιγραφόμενον,

ΟΡΘΟΔΟΞΟΥ ΚΑΤΑΦΥΓΙΟΝ.

Τοῦ ὕστερον γενομένου Γεναδίου Μοναχοῦ. τμῆμα πρῶτον. περὶ τῶν αἰτίων τοῦ σχίσματος καὶ ἐπιδρομῶν. καὶ ὅτι τὰ κατὰ τὴν τρίτην σύνοδον, σαφὴς ἀπόδειξις, τοὺς γραικοὺς ὀρθῶς φρονεῖν.

FLOREAT AETERNVM

Χάριν παράσχου Χριστὲ τοῖς ἐμοῖς πόνοις.

Θεοῦ διδόντος, οὐδὲν ἰσχύει φθόνος,
Καὶ μὴ διδόντος, οὐδὲν ἰσχύει πόνος.

Παῦλος πρὸς Ἐφεσίους, δ. 25.

Ἀποθέμενοι τὸ ψεῦδος, λαλεῖτε ἀλήθειαν ἕκαστος πρὸς τὸν πλησίον
αὐτοῦ, ὅτι ἐσμὲν ἀλλήλων μέλη. 5

Ἰωάννης, ιε. 26.

Ὅταν ἔλθῃ ὁ παράκλητος, ὃν ἐγὼ πέμψω ὑμῖν, τὸ πνεῦμα τῆς ἀληθείας ὃ παρὰ τοῦ πατρὸς ἐκπορεύεται.

Παῦλος πρὸς Γαλάτας, α. 8.

Ἐὰν τὶς εὐαγγελίσηται ὑμῖν ἄλλο παρ' ὃ εὐαγγελισάμην ὑμῖν, ἀνά- 5
θεμα ἔστω.

Ἐκ τῆς ἀποστολῆς, τοῦ ἁγίου Ἰγνατίου πρὸς Πολύκαρπον Σμύρνης.

• Πᾶς ὁ λέγων παρὰ τὰ διατεταγμένα, κἂν ἀξιόπιστος ᾖ, κἂν νηστεύῃ,
κἂν παρθενεύῃ, κἂν σημεῖα ποιῇ, κἂν προφητεύῃ, λύκος σοι φαινέσθω
ἐν προβάτου δορᾷ, προβάτων φθορὰν κατεργαζόμενος. 5

Παῦλος πρὸς Τιμόθεον. β. Κεφαλ. δ. 3.

Ἔσται γὰρ καιρὸς ὅτε τῆς ὑγιαινούσης διδασκαλίας οὐκ ἀνέξονται,
ἀλλὰ κατὰ τὰς ἰδίας ἐπιθυμίας ἑαυτοῖς ἐπισωρεύσουσι διδασκάλους, κνη-
θόμενοι τὴν ἀκοήν· Καὶ ἀπὸ μὲν τῆς ἀληθείας τὴν ἀκοὴν ἀποστρέψουσι,
καὶ ἐπὶ τοὺς μύθους ἐκτραπήσονται. 5

Παῦλος πρὸς Φιλιππησίους. γ. 2.

Βλέπετε τοὺς κύνας, βλέπετε τοὺς κακοὺς ἐργάτας, βλέπετε τὴν κατατομήν.

Παῦλος πρὸς Κορινθίους. β. Κεφ. ια. 13.

Οἱ γὰρ τοιοῦτοι ψευδαπόστολοι ἐργάται δόλιοι μετασχηματιζόμενοι εἰς 5
ἀποστόλους Χριστοῦ· καὶ οὐ θαυμαστόν. αὐτὸς γὰρ ὁ Σατανᾶς μετασχηματίζεται εἰς ἄγγελον φωτός. οὐ μέγα δὲ εἰ καὶ οἱ διάκονοι αὐτοῦ, μετασχηματίζονται, ὡς διάκονοι δικαιοσύνης. ὧν τὸ τέλος ἔσται, κατὰ τὰ ἔργα αὐτῶν.

ΓΕΩΡΓΙΟΥ ΤΟΥ ΣΧΟΛΑΡΙΟΥ ΤΟ ΣΥΝΤΑΓΜΑ:

Τοῦ ὕστερον γενομένου Γενναδίου Μοναχοῦ. τμῆμα πρῶτον. περὶ τῶν αἰτιῶν τοῦ σχίσματος καὶ ἐπιδρομῶν. καὶ ὅτι τὰ κατὰ τὴν τρίτην σύνοδον σαφὴς ἀπόδειξις, τοῦ γραικοὺς ὀρθῶς φρονεῖν.

ΠΡΟΟΙΜΙΟΝ.

Τὸν θεῖον λόγον καὶ τῆς ἀληθείας ἔφορον τοῦ παρόντος προστησάμενος λόγου, περὶ τοῦ τῆς ἀληθείας διαλέξομαι πνεύματος· δυοῖν ἕνεκα τοῦτο τολμήσας καὶ προελόμενος. ἑνὸς μὲν καὶ πρώτου, ὅτι τῶν συγγραψαμένων κατὰ Λατίνων, ἐξ ὅτου τῆς καθολικῆς Ἐκκλησίας ἐκεῖνοι διέστησαν, οἱ μὲν ἀρχαιότεροι, βραχείας ἐνεστήσαντο πραγματείας· καὶ οὔτε μετὰ πολλῆς τῆς περιουσίας τῷ ψεύδει πεπολεμήκασιν, οὔτε τὴν ξύμπασαν τῆς καθολικῆς Ἐκκλησίας γνώμην ἐξέθεντο, περὶ ἑκάστης τῶν τῷ ζητήματι συνεζευγμένων ἀποριῶν. Ἔνιοι δὲ αὐτῶν, κἂν τοῖς καιρίοις ἀσθενέστερον ἠγωνισμένοι, τὰς ἐν τοῖς ἔθεσι καὶ θρησκεύμασιν ἁμαρτίας Λατίνων, ἐλέγχουσι φορτικώτερον. τῶν δὲ ὑστέρων ἁπάντων, βέλτιον μὲν καὶ ἱκανώτερον, καὶ τῷ μεγέθει τῆς ὕλης ταύτης συμμέτρως, μάλιστα μὲν ὅ, τε θεσπέσιος Νεῖλος, καὶ ὁ Ἱερὸς Θεοφάνης: μετ' αὐτοὺς δὲ, καὶ τῶν Ἱερῶν Γρηγορίων οἱ ὁμώνυμοί τε καὶ ἀκριβεῖς ὀπαδοὶ, συνεγράψαντο. ἀλλὰ καὶ τούτων τῇ διδασκαλίᾳ, σοφισταί

τινὲς μετὰ ταῦτα ἐπιφυέντες, νοῦν μὲν ἔχουσιν ἀκροαταῖς, οὐδὲν πλέον ὑπέρ τε Λατίνων καὶ ἑαυτῶν ἀνύουσι, δι' ὧν συγγεγράφασιν, ἢ ὅτι σοφισταὶ τινὲς δοκοῦσιν εἶναι ὡς ἀληθῶς, καὶ τῆς ἀρχαίας τε καὶ ἀληθινῆς θεολογίας παραχαράκται. τοῖς δὲ δι' ἀπαιδευσίαν εὐκολωτέροις, ἢ διὰ πονηρίαν ἀμβλυωτέροις τοὺς τῆς ψυχῆς ὀφθαλμούς, δοκοῦσι τὶ λέγειν. καὶ ἡ νῦν δὲ τῶν ἡμετέρων συναρπαγὴ πρὸς Λατίνους, πολλὰ τῶν πρόσθεν λανθανόντων ἐξέφηνεν, καὶ ἐπὶ τούτοις, ὥσπερ ἅπασιν, τοῖς χρόνῳ μὲν ὑστέροις, ἐπιμελέστερον δὲ ὁτιοῦν ἐρευνῶσι, συμβαίνειν εἴωθεν· οὕτω καὶ ἐμοὶ πάντων τῶν ἑκατέρωθεν συγγραψαμένων ἐπεληλυθότι καλῶς, καὶ ταῖς ἱεραῖς Βίβλοις ἐγκύψαντι, πόρρωθεν ἀρξαμένῳ τῆς περὶ ταῦτα σπουδῆς, ἐξευρεῖν τὶ πλέον, ἐπὶ συνηγορίᾳ μὲν τῆς ἀληθείας, καθαιρέσει δὲ τοῦ ψεύδους, ἐγγέγονε. καὶ εἰ τοῦθ' οὕτως ἔχει, κρινοῦσιν, οἷς ποτε τοῦ παρόντος λόγου διακοῦσαι μελήσει· οὓς οἶμαι, κἂν μηδὲν πλέον εὕρωσιν ἐν αὐτῷ, μηδ' οὕτω φαυλοτέραν περὶ ἡμῶν ψῆφον ἐξειπεῖν, δικαίους ὄντας. καὶ διὰ τοῦτο ἐχρῆν ἀντιστῆναι μὲν, τοῖς σοφισταῖς ἐκείνοις. τοῖς δὲ ὑπὲρ τῆς ἀληθείας συστῆναι συγγράμμασι, καὶ τὸ ἐνδέον ἐκείνοις, ἀναπληρῶσαι· οὐ γέγραπται μὲν γὰρ ἐκεῖνα, λίαν ἂν ἐνδεῶς, κατὰ τοὺς οἰκείους ἕκαστα χρόνους. Ἀλλ' ἡ νῦν ἐνεστῶσα χρεία, καὶ προσθήκην τινὰ οὐ μικρὰν ἀπῄτει, καὶ ἐμοὶ ταύτην φέρειν ἔδοξε δεῖν, καὶ τῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ συνεισφέρειν, μεθ' ὅσης ἔχω τυγχάνων παρασκευῆς. τὴν μὲν προθυμίαν, οἴκοθεν παρεχομένῳ. τὴν δὲ τοῦ κατορθώσειν ἐλπίδα, ἐπὶ τῷ τῆς ἀληθείας πρυτάνει, καὶ τῷ καλῷ παραδείγματι τῶν ἡμετέρων καθηγουμένων ἐρείδοντι· οἷς κατ' ἴχνος ἑπομένων, ἀδύνατον ἐστὶν ἀνοδίας πειραθῆναι τινός. Τούτου τε τοίνυν ἕνεκα, ἐπῆλθέ μοι τὸν παρόντα συγγράψαι λόγον, ἑπομένῳ τῇ δόξῃ, καὶ προαιρέσει, τῶν Ἱερῶν ἐκείνων πατέρων, καὶ ἅμα πρὸς τὴν τῶν νῦν ἐναντιουμένων τῷ παναγίῳ πνεύματι προπέτειαν, χαλεπήναντι. λέγω δὲ τοὺς ἔτι βουλομένους τὸ τῆς εἰρήνης εἴδωλον τοῦτο, καὶ συγγράμμασιν ὑπερείδειν οὐδὲν ὑγιὲς ἔχουσι, καὶ ἔργοις, ἃ τυράννοις μᾶλλον ἁρμόττει, τῆς δὲ ἡμετέρας αὐλῆς καθάπαξ ἐστὶν ἀλλότρια. οἱ σοφοὶ τοῖς πρόσθεν χρόνοις γεγονότες καὶ ἀγαθοί, καὶ τῶν πατρίων

ζηλω-

ζηλωταὶ διδαγμάτων, ὑπὸ τῆς ἔναγχος γενομένης τῶν ἡμετέρων συναρπαγῆς (καὶ ἄλλοτέ ποτε, παραχωρήσαντος τοῦ Θεοῦ, τῇ Πόλει ταύτῃ συμβάσης) οὕτω σφόδρα ἐξεβακχεύθησαν, ὥστε τὴν ἀληθῆ δικαίαν κρίσιν περί τε τῶν θείων, καὶ τῶν σφίσιν αὐτοῖς συμφερόντων, παντάπασιν ἀγνοῆσαι. ὃ δὴ καὶ περὶ ἐμοῦ σφᾶς πεποίηκεν, ἢ ἀμφιγνοεῖν, ἢ τἀναντία δοξάζειν. ποτὲ μὲν ὑπὸ τῆς καιρὸν ἐχούσης σιωπῆς ἡμῶν, πλανωμένους, ποτὲ δὲ τὴν ἐν λόγοις, ἢ πράγμασιν, οἰκονομίαν ἡμῶν, κατὰ τὸ δοκοῦν σφίσι παρερμηνεύοντας. ἔστι δ᾽ ἃ καὶ συκοφαντοῦντας. ἔδει με τοίνυν καὶ διὰ ταῦτα λόγον συγγράψαντα, διορθώσασθαι μὲν αὐτῶν, τοὺς μὴ καθάπαξ ἀνιάτως ἔχοντας, καὶ πρὸς τὴν ἀρχαίαν ἐκείνην καὶ σύμφορον αὐτοῖς τε, καὶ τῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ δόξαν, ἐπαναγαγεῖν. στηρίξαι δὲ ἐν τῇ ἀληθείᾳ, τὰς ὑπὸ τοῦ ψεύδους κλονουμένας ψυχάς. βοηθῆσαι δὲ τῇ καλῇ μετανοίᾳ τῶν τῆς συναρπαγῆς ταύτης αἰτίων. ὧν οἱ μὲν φθάσαντες, τοῦ παρόντος ἀπεχώρησαν βίου· οἱ δὲ περιόντες ἔτι, σφοδρότερον τὸν μεταμέλον ἐπιδείκνυνται, μετὰ τοῦ πάσχειν ὑπὲρ τῆς ἀληθείας κακῶς· ὅσον γὰρ ἂν εἰς ἐλάττους ἐκχεθείη τὸ βλάβος, τοσοῦτον αὐτοῖς οὐ πολλῶν ὑπὲρ τῆς συναρπαγῆς δεήσει καθάρσεων. ἀμφιβολίας δὲ περὶ ἐμοῦ, καὶ συκοφαντίας, παῦσαι πολλούς· οὔτε γὰρ ἀμφιγνοήσει τις λοιπὸν, οὔτε συκοφαντεῖν προαχθήσεται, τῆς ἐμῆς γνώμης ἐκ δήλου γεγενημένης, ὅτε ἔμελλεν ὡριμωτέραν μὲν εἶναι καθ᾽ ἑαυτὴν, ὠφελιμωτέραν δὲ ἢ πρόσθεν, τοῖς τῆς ἀληθείας φίλοις ἐκτίθεσθαι. τούτων μὲν ἕνεκα τὸν παρόντα λόγον ἐνεστησάμην. Εἰ δὲ ταῦτα πάντα ζῆλον μὲν ὑπὲρ τῆς ἀληθείας ἔχει τῆς πίστεως, καὶ οὐδὲν ἀνθρώπινον πάθος, πρόνοιαν δὲ ὑπὲρ τῆς σωτηρίας τῶν ἀδελφῶν, ὑπὲρ δὲ τῆς ὀφειλομένης ἐργασίας τοῦ δεδομένου ταλάντου, φέρει τινὰ παραίτησιν. (καὶ εἰ τὴν κατειληφυῖαν ἡμᾶς ἐκ συναρπαγῆς καὶ τῆς πρὸς τὰ καλὰ ῥαθυμίας αἰσχύνην καὶ σύγχυσιν χαλεπῶς φέρω καὶ ὀδυνῶμαι, καὶ βουλοίμην ἂν μηδὲ ζῆν, ταύτης ἐπικρατούσης, καὶ εὔχομαι τὴν προτέραν πάλιν γαλήνην ἰδεῖν. καὶ τῆς μὲν εἰρήνης ἐφίεμαι τῶν Ἐκκλησιῶν ἁπασῶν· ἀλλ᾽ ὥσαν ἡμῖν καὶ τῇ ἀληθείᾳ συμφέροι. καὶ δεῖν ἡγοῦμαι μετὰ τῆς ἀληθείας ἑστῶτας ἡμᾶς, τοῖς Λατίνοις ἅτε τῶν

σκανδάλων αἰτίοις γεγενημένοις, ἀποῤῥίπτειν πάντα τὸν ἐκ τῆς ταύτης καὶ τοῦ σχίσματος κίνδυνον. καὶ βούλομαι τὴν ἀλήθειαν ἐν τῷ ἡμετέρῳ σώζεσθαι γένει, μέχρι τῆς συντελείας. καὶ εἰ μηδένας ἄλλους, ἡμᾶς γοῦν, ἄσυλον ἀποδοῦναι τῷ ἡμετέρῳ δεσπότῃ τὴν παρακαταθήκην τῆς πίστεως. ἣν ἡμῖν αὐτός τε, καὶ οἱ αὐτοῦ μαθηταὶ, μετ᾽ αὐτὸν, καὶ τῶν πιστῶν αἱ (σύνοδοι πᾶσαι, καὶ τῶν ἱερῶν Διδασκάλων ὁ κύκλος, ἄνευ ἡστινοσοῦν ἀμφιβολίας, κατέθεντο) οἶδε μὲν ὁ πάντα ὁρῶν Κύριος, ἐξέστω δὲ καὶ ἑκάστῳ κρίνειν ὡς ἂν βούλοιτο· ἐγὼ δὲ τῇ τοῦ Χριστοῦ χάριτι πεποιθὼς, ἥ με καὶ ἁμαρτωλὸν ὄντα, τῇ γνώσει τῆς ἀληθείας πεφώτικεν. οὐδὲ ἀφῆκεν ὑπὸ τοῦ ψεύδους κατασχεθῆναι, οὐκ ἐπὶ καυχήσει μᾶλλον, ἢ συστάσει τοῦ δὲ τοῦ ἔργου, ὃ ἐπ᾽ ὠφελείᾳ πάντων εἱλόμην, πάντας ἀνθρώπους πληροφορῶ, τοιαύτην τὴν ἐμὴν εἶναι προαίρεσιν. καὶ ὑπὸ τοιούτων μὲν λογισμῶν, βεβαίως καὶ ἀληθῶς κεκινῆσθαι. θεὸς δὲ οὐδὲν ὑπέστην, μάλιστα μὲν προαιροῦμαι τὴν ἀλήθειαν, μὴ ἐν τῇ περὶ ταύτης ἁμαρτῆσαι ζητήσει. ὅ, τε γὰρ ταῦτα προαιρεῖσθαι δεδωκὼς, καὶ πρὸς τὴν τῆς ἀληθείας ἐπίτευξιν ὁδηγὸς ἔσται· καὶ ἅμα οὐ δόξαν ἐγὼ καινοτομῶ καθάπερ Λατῖνοι, ἀλλ᾽ ἀρχαίας καὶ κοινῆς ὑπεραγωνίζομαι δόξης, ὑπὸ πάντων Ἀγγέλων τε καὶ ἁγίων μαρτυρουμένης. καὶ ὑπὸ μὲν Λατίνων, τῇ καινοτομίᾳ, σβεσθείσης, ἐν ἡμῖν δὲ διαπρεπούσης, τῇ τοῦ Χριστοῦ χάριτι. ὅθεν ἀδύνατον ἐστὶ, τὸν ὑπὲρ τῆς ἀληθείας ἠγωνισμένον, τοῦ τῆς ἀληθείας τέλους διαμαρτεῖν. Εἰ δὲ ὁ παρὼν λόγος, ἁπλῶς οὕτω καὶ ἰδιώτῃ πρέπων σχεδὸν ἐσχεδίασται, δεῖ συγγινώσκειν τοὺς ἐντυγχάνειν μέλλοντας, νῦν τε, καὶ ὕστερον. οὐ γὰρ πρὸς ὀλίγους τε καὶ σοφοὺς μόνον, ἀλλὰ καὶ πρὸς πάντας ποιεῖσθαι τοῦτον διεγνωκώς: καὶ τοὺς μὲν σοφωτέρους, ὑπομιμνήσκειν· τοὺς δ᾽ ἄλλως ἔχοντας, διδάσκειν, καὶ πείθειν (ἂν οἷόν τε ᾖ) τοιοῦτον αὐτῷ περιθεῖναι δεῖν ἔγνων σχῆμα. Ὀλίγα δέ μοι καὶ τῆς τῶν κεφαλαίων τάξεως, αὐτοσχεδιάζοντι πεφρόντισται. ἀλλ᾽ ὡς ἂν ἕκαστα συμπίπτῃ τῷ λογισμῷ, οὕτω καὶ τίθεται. τῆς γὰρ ἐν τοῖς νοήμασιν ἀληθείας ἔδει πάνυ φροντίζειν, περὶ θεοῦ πραγματευομένους. τῆς δὲ ἐν τοῖς ἄλλοις ἐπιτηδεύσεως, μηδένα ποιῆσθαι λόγον.

ΚΕΦΑΛΑΙΟΝ α.

Ὅτι ἀρχαία ἐστὶν ἡ διαφορὰ αὕτη, καὶ ἀπὸ τῆς τρίτης Συνόδου. καὶ τί πεφρονήκασι περὶ ταύτης, οἱ τῆς Συνόδου πατέρες ἐκεῖνοι.

Ἐγὼ τοίνυν ἐξετάζων, εὑρίσκω τὴν περὶ τοῦ πνεύματος ταύτην διαφορὰν, τῇ Ῥωμαίων Ἐκκλησίᾳ, πρὸς τὰς Ἀσιάτιδας, εὐθὺς ἀπ᾽ αὐτῆς τῆς πρώτης Συνόδου συνεστηκυῖαν. οὐκ εἰς τὸ δὲ μὲν προελθοῦσαν σχίσματος, οὐδὲ ἐκραγῆσαν εὐθύς. ἐκεῖθεν δὲ ὑποφυομένην, καὶ τρεφομένην ἠρέμα, καὶ τέλος ἐπὶ κακῷ τῆς Ἐκκλησίας προκύψασαν. πολὺ γὰρ ταύτῃ τῇ διαφορᾷ συνέβαλε τότε, καὶ συνεργάζεται νῦν, ἡ περὶ τῆς Οὐσίας τε, καὶ τῆς Ὑποστάσεως, τότε γεγενημένη, καὶ νῦν οὖσα διαφορὰ, Γραικοῖς καὶ Λατίνοις. ἣν λῦσαι τὸν ἱερόν φασιν Ἀθανάσιον, τῇ στενότητι τῆς Ῥωμαίων Γλώττης ἐπιγραφόμενον· τὸ μὴ δύνασθαι συμφωνεῖν ἐκείνους ἡμῖν, ὡς ἡμεῖς δηλονότι βέλτιόν τε καὶ οἰκειότερον, Ὑπόστασιν μὲν τὸ ἄτομον, καθ᾽ ὁμοιότητα τῶν κτιστῶν πραγμάτων, ἐν οἷς τὰ τοιαῦτα ὑφέστηκεν. Οὐσίαν δὲ τὸ εἶδος καὶ τὴν φύσιν ἀποκαλούντων, ἣ τὸ ἄτομον ἐστί. σαφεστέραν δὲ τὴν διαφορὰν ταύτην ἐπὶ τῆς τρίτης γεγονέναι Συνόδου. οὔπω δὲ οὐδὲ τότε φανερῶς εἰς μέσον ἐλθεῖν, ἀλλὰ προκύψασαν μόνον, αὖθις ἐνδομυχεῖν· τότε γὰρ ὁ μὲν Νεστόριος ἐν τῷ οἰκείῳ Συμβόλῳ περὶ τοῦ πνεύματος προσετίθει. καὶ οὔτε υἱὸν νομίζοντες (τὸ πνεῦμα δηλονότι τὸ ἅγιον) οὔτε διὰ τοῦ υἱοῦ τὴν ὕπαρξιν εἰληφέναι. „ Νεστορ. καὶ οὔτε ἡ Σύνοδος ἤλεγχεν, οὔθ᾽ ὁ Κύριλλος. οὗτος „ μὲν καὶ Θεοδώρητον ἀπεκάλει συκοφάντην, βλασφημίαν αὐτοῦ καὶ δυσσέβειαν καταιτιώμενον, τά τε ἄλλα, καὶ εἰ τὸ πνεῦμα ἴδιον καλεῖ τοῦ υἱοῦ, ἢ δι᾽ υἱοῦ, τὴν ὕπαρξιν ἔχον. καὶ μετὰ τὴν μέμψιν ἐκείνην, πανταχοῦ διασώζει καλῶς, τοῦ υἱοῦ μὲν λέγων τὸ πνεῦμα, ὡς οἰκεῖον καὶ οὐκ ἀλλότριον, „ Κυριλ. καὶ κατὰ τὸν τῆς οὐσίας λόγον. τοῦ δὲ πατρὸς, ὡς ἐκπορευόμενον ἐξ αὐτοῦ: „

ταύ-

βέλτιος τὴν ὑποστατικὴν ἀνήρει διάκρισιν, καὶ τὴν τάξιν, ἐν ἐπινοίαις μόνον τ' αὐτὰ τιθείς. Οὐκοῦν οὐδὲ δύναται τὶς ἀναγκαίως συμπεραίνειν ἐκ τῶν τοιούτων ὑποδειγμάτων, ὡς ἄρα τὸ πνεῦμα τὸ ἅγιον ἐξ υἱοῦ τὴν ὕπαρξιν ἔχει, διά τε τὴν αὐτῶν φύσιν ἀσθενῶς ἔχουσαν πρὸς τὸ τὰ τοιαῦτα δεικνύναι. καὶ διὰ τὸ πρὸς ἄλλην χρείαν ὑπὸ τῶν διδασκάλων ταῦτα εἰλῆφθαι. καὶ διότι τὰ πλείω τούτων, τοὐναντίον δεικνύναι βούλεται, ὅτι τὸ πνεῦμα τὴν ὕπαρξιν ἐκ τοῦ πατρὸς ἔχει μόνον, καὶ προσεχῶς, καθάπερ καὶ ὁ υἱός. εἰ καὶ κατ' ἕτερον προάγηται τρόπον. καὶ τό γε μεῖζον, ὅτι τὰ δοκοῦντα τῇ δόξῃ ταύτῃ βοηθεῖν ὑποδείγματα, βιαίως ἑλκόμενα καθάπερ ὑπὸ πικρῶν δεσποτῶν, οὕτω δοκοῦσι τῇ δόξῃ συνίστασθαι, δικαίως δ' ἐξεταζόμενα τὸν πατέρα μόνον καὶ ταῦτα δεικνύουσι τοῦ πνεύματος αἴτιον. διόπερ οὐδὲ ὑπὸ ταύτην τὴν χρείαν ὑπὸ τῶν διδασκάλων παρείληπται τὴν ἀρχὴν (ὅπερ ἔφθην εἰπών)· οὔτε ἠδύναντο γνησίως παραλαμβάνεσθαι. οἷον ἐστὶ τὸ τοῦ ἡλίου, καὶ τῆς ἀκτῖνος, καὶ τοῦ φωτός· ἢ τὸ τῆς ῥίζης, καὶ τοῦ κλάδου, καὶ τοῦ καρποῦ. δῆλον γάρ ἐστιν, ὅτι καὶ ὁ κλάδος, καὶ ὁ καρπὸς, ἐκ τῆς ῥίζης εἰσὶ, πλὴν μετά τινος τάξεως. ὅτι μετὰ τὸν κλάδον, ὁ καρπὸς ἐστί· προσεχῶς μὲν, τῆς ζωτικῆς δυνάμεως ἐκ τῆς ῥίζης τῷ κλάδῳ χορηγουμένης. μετ' αὐτὸν δὲ, καὶ δι' αὐτοῦ, καὶ εἰς καρπὸν ἐκτεινομένης. τίς ἂν οὖν εἴποι (νοῦν ἔχων) τὴν ζωτικὴν ἐκείνην τοῦ καρποῦ δύναμιν, ὡς ἀπ' αἰτίας εἶναι τοῦ κλάδου; καὶ οὐ λέγω πρώτης, ἀλλ' αἰτίας ὅλως προακτικῆς; οὐ γὰρ ἀποτετμημένως τὴν τοῦ προάγειν δύναμιν ἐκ ῥίζης ὁ κλάδος παρειληφὼς, ταύτῃ προάγει τὸν καρπὸν, ὡς ἀρχὴ προσεχὴς αὐτοῦ, καθάπερ ἐπὶ πάντων ἔχει τῶν ὁμοειδῶς ποιούντων· ἅπαν δὲ προάγον φυσικῶς οὕτω προάγει, τουτέστι τῆς παρ' αὐτῷ δυνάμεως τοῦ προάγειν, ἣν ἑτέρωθεν ἐνδεδυμένην ἔχει, ἐὰν μὴ πρῶτον ᾖ, ἐκβαινούσης τε εἰς ἔργον. καὶ τοῦτο οὐ τοῦ τὴν δύναμιν ἐκδεδωκότος ἐκείνην, ἀλλ' αὐτοῦ μᾶλλον εἶναι ποιούσης, ἐξ οὗ προῆκται, ἢ γέγονε προσεχῶς. ὥσπερ ὁ ἐμὸς πατὴρ, ἐμοῦ κυρίως ἀρχὴ γέγονε, τῇ παρ' αὐτῷ ὑπαρκτικῇ δυνάμει, ἣν ἀποτετμημένην ἐκ τοῦ πατρὸς παρειληφὼς, ὡς ἰδίαν χρῆται, καὶ ὡς

αὐτῷ

αὐτῷ μόνῳ προσούσῃ. καὶ ὥσπερ ὁ τὴν γεωμετρίαν ἐμὲ διδάξας, τὴν ἕξιν ἐκείνην ἣν εἰληφὼς ἔχει παρ' ἄλλου προχειρισάμενος, προσεχὴς καὶ κυρία καὶ μόνη τῆς ἐπιστήμης ἀρχή μοι γέγονε. καὶ οὐκ ἄν ποτε εἴποιμι τὴν γεωμετρίαν παρ' ἐκείνου μεμαθηκέναι, ὅς τῷ ἐμῷ διδασκάλῳ τὴν ταύτην ἐνέθηκε. καὶ ὅλως ἄν τε φύσει ἄν τε τέχνῃ προάγῃ τὰ προάγοντα ὁμοειδῶς, οὕτω προάγει ἄλλο ἄλλῳ τὸ τῆς φύσεως ἢ τῆς τέχνης εἶδος ἐνδίδωσι. καὶ ἕκαστον ἀρχὴ κυρία καὶ μόνη τοῦ μετ' αὐτὸ γίνεται, καὶ ἕκαστον ἐκ τῆς προσεχοῦς αἰτίας κυρίως ἐστὶν, εἰ καὶ τοῦ ἄλλους ἁπλῶς ἀρχὴ ἐστὶν, ὃ πλειόνων ἀρχὴ γέγονεν ἐκ διαδοχῆς. καὶ ἔτι μᾶλλον τὸ πρῶτον. ὥσπερ ὁ Ἀδάμ, ἀρχὴ τῆς ἀνθρωπότητος ἐστὶν· οὕτω δὲ καὶ ἐμοῦ. ἐμοῦ δὲ οὐκ ἔτι. οὐδὲ γὰρ ἣ ἔστιν ἐν ἐμοὶ τὸ τῆς ἀνθρωπότητος εἶδος, ἀρχὴ ἐστὶν ὁ Ἀδὰμ ἐμοῦ. ἀλλ' ἢ ὁ τὸ εἶδος τοῦτο μοι ἐνδεδωκὼς, ἐξ ἄλλου τοῦτο παρείληφεν, ὁμοίως κἀκεῖνος ἑτέρωθεν. ἀρχὴ δὲ τούτων πάντων γέγονεν ὁ Ἀδάμ. ἐξ οὗ πρῶτον τὸ εἶδος ἐνδίδοσθαι ἤρξατο. τούτῳ δὲ καὶ Μακεδόνιος τῷ λογισμῷ κεχρημένος, ἐκ τοῦ υἱοῦ μόνου τὸ πνεῦμα ἔλεγε προϊέναι. τὴν γὰρ προαρκτικὴν δύναμιν ἅπασαν ἔλεγε παρὰ τοῦ Θεοῦ καὶ πατρὸς εἰς τὸν υἱὸν κενωθῆναι, κἀντεῦθεν ἐνεργεῖν ἀρξαμένην, τὸ πνεῦμα προαγαγεῖν. προστιθεὶς μὲν τῇ βλασφημίᾳ, ὅτι καὶ δημιουργικῶς, οὐ φυσικῶς. ὅμως δὲ προσεχῆ τὸν υἱὸν ἀρχὴν ἔλεγε τοῦ πνεύματος εἶναι. ὥσπερ ἐγὼ τοῦ ἐξ ἐμοῦ γεννωμένου παιδὸς, ἢ τοῦ σκίμποδος ὃν τεκταίνομαι· καίτοι ἑτέρωθεν ἐνδεδομένου κἀμοὶ τοῦ εἴδους, ἢ τῆς ἕξεως. εἰ δὲ ἐνταῦθα μὲν πρότερον τὸ εἶδος ἐνδίδοται, ὕστερον δὲ κατ' αὐτὸ ἐν ἄλλῳ ἐνεργεῖ ὁ λαβὼν. οἷον πρότερον μὲν ἐγὼ γεγέννημαι, ὕστερον δὲ γεγέννηκα ἕτερον, καὶ οὐχ ἅμα. ἐκεῖ δὲ ἅμα τε ἡ προακτικὴ τοῦ πνεύματος ἐνδέδοται δύναμις τῷ υἱῷ, καὶ ἅμα τὸ πνεῦμα προῆκται ἐκ τοῦ υἱοῦ, οὐδὲν ἔλεγε διαφέρειν. ταύτῃ λέγων καλῶς· ὅτι καὶ ἡμεῖς, τὰ ἐν ἡμῖν μετὰ χρόνον συμβαίνοντα, ἐκεῖ ἄνευ χρόνου νοοῦμεν. τοῦτο μόνον ζητοῦντες, εἰ ἀληθῆ τε εἰσὶ καὶ ἀληθῶς λέγεται περὶ τῶν θείων. Οὐ τοίνυν καθ' ὁμοιότητα τύπων, ὁ κλάδος τὸν καρπὸν προάγει· οὐδὲ αἴτιος ἐστὶν αὐτοῦ. ἀλλὰ μόνον πρό-

τερος

τερος ἐστὶν αὐτοῦ. καὶ ἐπειδὰν ἅμα ὦσιν ἄμφω, πρότερος αὐτὸς τῆς ζωτικῆς δυνάμεως μετασχὼν, δι' ἑαυτοῦ ταύτην τῷ καρπῷ παραπέμπει. καὶ ὥσπερ οὐκ ἔστι κλάδον ἕνα, ἑτέρῳ κλάδῳ αἴτιον ἀποφήνασθαι, οὕτως οὐδὲ τῷ καρπῷ τὸν κλάδον, εἰ μὴ ὡς ἔστι μέρος τι τοῦ δένδρου ὁ κλάδος. ὃ δὴ δένδρον αἴτιον ἐστὶ τοῦ καρποῦ. ἄλλως δὲ, οὐδαμῶς. ἀλλὰ συμφυῆ ταῦτα μόνον, καὶ τάξιν ἔχοντα, λέγειν χρή. ὅμως δὲ εἴγε δεῖ ἀκριβείας πλείονος περὶ τούτων σκοπεῖν, ῥίζα μὲν, ἀρχὴ τοῦ δένδρου, ἀλλ' ὡς μέρος. καὶ στέλεχος ὡσαύτως, καὶ κλάδος, μέρη αὐτοῦ εἰσι. καὶ τὸ ἐκ τούτων ἐστὶ τὸ δένδρον ὥσπερ κεφαλή· ἢ μᾶλλον εἰπεῖν καρδία, καὶ τὰ λοιπὰ μέρη τοῦ σώματος, καὶ τὸ ἐκ τούτων ἐστὶ τὸ ζῶον. ταῦτα δὲ αὔξει μὲν κατὰ τὴν ποσότητα πάντα ὁμοῦ, ἕως ἂν τοῦ εἴδους ἐνδεᾶ ᾖ. ὥσπερ ἡ φύσις πρότερον σκοπεῖ, ἐκ τῆς ἀρχῆς προσλαμβάνοντα τὴν τροφήν. δένδρον μὲν, ἐκ τῆς ῥίζης· ζῶον δ', ἐκ τῆς καρδίας, ὑπουργοῦντος αὐτῇ τοῦ φάρυγγος· ἐπειδὰν δὲ τελειωθῇ, τὸ μὲν, ζῶον ποιεῖ· τὸ δὲ, καρπόν. καὶ γίνεται ζῶον τε ἐξ ὅλου ζώου. καὶ ἐξ ὅλου δένδρου καρπός. διὸ καὶ τοῦ δένδρου λέγεται, οὐ τῆς ῥίζης οὐδὲ τοῦ κλάδου. καὶ ζῶον ὡσαύτως, οὐκ ἀπὸ τῆς καρδίας, ἢ τῶν νεφρῶν, ἀλλ' ἐκ τοῦ ζώου λέγεται γίνεσθαι. οὕτως οὖν τὸν πατέρα δεῖ μᾶλλον ἐν τοῖς θείοις εἶναι τὸ δένδρον. τὸν δὲ υἱὸν, καὶ τὸ πνεῦμα, καρπούς. ἐκβαλλομένης τῆς ἐννοίας τοῦ μέρους, ἢ τῶν μερῶν, καὶ τῆς αὐξήσεως, ἢ τῆς ποσότητος, καὶ τῆς κατὰ τὸν χρόνον διαφορᾶς. ἀλλὰ μόνον τῆς φυσικῆς λαμβανομένης προαγωγῆς. διὰ τοῦτο βλαστοὺς, καὶ ἄνθη, καὶ καρποὺς, οἱ διδάσκαλοι τὸν υἱὸν καὶ τὸ πνεῦμα λέγουσι τοῦ πατρὸς, ὡς δὴ δένδρου· ῥίζαν δὲ, κατ' ἄλλην ἔννοιαν λέγουσι τὸν πατέρα. ἐπειδὰν ὅλην τὴν θεότητα, δένδρῳ τινὶ παρεικάζουσιν. ἐν ᾧ, ῥίζα, καὶ στέλεχος ἐστὶ, καὶ κλάδος. ὅτε δὲ πᾶσαν μὲν ἀνομοιότητα τοῦ παραδείγματος ἀπορρίπτουσι· τὴν εὔτακτον μὲν τοιγε συμφυΐαν τῶν τριῶν ὑποστάσεων, ὅσον ἔξεστιν ἐκ τοῦδε τοῦ ὑποδείγματος παριστῶσιν. ὅτι κἀκεῖναι εὐτάκτως ἀλλήλαις συμπεφυκυῖαι εἰσὶν ἀπ' ἀρχῆς τοῦ πατρὸς, ὥσπερ κλάδος, καὶ στέλεχος, καὶ ῥίζα, συμπεφύκασι ἀλλήλοις, ὡς ἀπ' ἀρχῆς τῆς ῥίζης τοῦ δένδρου. ὡς δὲ περὶ τῆς

ἀκτῖνος

ἀκτῖνος λέγειν δεῖ καὶ τοῦ φωτός· οὐ γὰρ ἡ ἀκτὶς προάγει τὸ φῶς ἐν ἡμῖν. ἀλλὰ προΐασι μᾶλλον ἄμφω ἐκ τοῦ ἡλίου, διήκει δὲ (οἷον εἰπεῖν) διὰ τῆς ἀκτῖνος τὸ φῶς συνόν τε διόλου, καὶ ὡς ἂν ἐκείνη παρῇ, τοῦτο καὶ τούτῳ παραγινόμενον. εἰ καὶ ἡ πρὸς τὸ φῶς τῆς ἀκτῖνος τάξις, οὐχ οὕτως σαφής ἐστιν, ὥσπερ ἡ τοῦ κλάδου πρὸς τὸν καρπόν, διὰ τὸ μηδὲ τοῖς ἐσχάτοις ταῦτα συνάπτεσθαι καθάπερ ἐκεῖνα· ἀλλ᾽ ἐκ τῆς ἐνεργείας μόνον εἶναι δήλην τὴν τάξιν τούτων καὶ τὴν διάκρισιν· ἐκδηλοτέρα δ᾽ ἂν εἴη ἡ διαφορά, εἴπερ ἥλιον καὶ φῶς καὶ θέρμην παρελάμβανον οἱ διδάσκαλοι· ἀλλ᾽ ὅμως ἥλιον καὶ φῶς καὶ ἀκτῖνα παρειλήφασιν, ὡς ἂν διὰ τῶν τριῶν τούτων, ἡ φυσικὴ κοινωνία παραδειχθῇ· ἅτε τῆς φωτιστικῆς ἐνεργείας ἑκάστῳ τούτων φυσικῶς ἐνεργούσης. Εἰ δέ τις ἔν τε τοῖς μέρεσι τῶν φυσικῶν, ἔν τε ταῖς ἐξ αὐτῶν ἐνεργείαις, τάξιν εἶναι λέγοι τινὰ, δι᾽ ἣν ἕτερον ἑτέρου πρότερόν ἐστι, καὶ ἐξ ἀνάγκης αἴτιον· ὥσπερ ἐν ταῖς τοῦ πυρὸς ἐνεργείαις, προτέρα μὲν, ἡ τοῦ θερμαίνειν. δευτέρα δὲ, ἡ τοῦ ξηραίνειν· καὶ ἐν τῷ δένδρῳ, στέλεχος πρότερον κλάδου· ἐν οἷς πᾶσι τὰ πρότερα τῶν ὑστέρων αἴτια δοκοῦσιν εἶναι. οὕτω δὲ ἔχειν καὶ ἐπὶ τῶν θείων προσώπων βιάζοιτο, τάξεως τινὸς ἐνυπάρχειν αὐτοῖς ὁμολογουμένης· ἡμεῖς περὶ μὲν τῆς ἐν ταῖς θείαις ὑποστάσεσι τάξεως, ὕστερον ἐροῦμεν, ὑφ᾽ ἡγεμόνι Θεῷ. ἅπερ οὐχ ὁ ἀνθρώπινος ἡμᾶς ἐκδιδάσκει λόγος, ἀλλ᾽ ἡ θεόπνευστος ὑφηγεῖται διδασκαλία. Περὶ δὲ τῶν μερῶν, ἢ τῶν ἐνεργειῶν τῶν φυσικῶν πραγμάτων, εἰ καὶ δυνάμεθα καθάπαξ τοῦτο ἀρνεῖσθαι. ἀλλ᾽ ἐπειδὴ πρὸς τὸ προκείμενον οὐδὲν ἡμᾶς ζημιοῖ, καὶ συγχωροῦμεν πως ὅπερ ἀξιοῦσιν αὐτοί· οἷον συγχωροῦμεν τὴν ἀκτῖνα αἰτίαν εἶναι τοῦ φωτὸς, ἀλλ᾽ ὡς ἐνέργειαν τοῦ ἡλίου, ὡς αὐτοί φασιν ἄλλης ἐνεργείας προτεταγμένην. καὶ τοῦ κλάδου στέλεχος, ἀλλ᾽ ὡς μέρος. ἀλλ᾽ οὔτε σύνθετόν ἐστι τὸ θεῖον ἐκ μερῶν· οὔτε ἐνέργειαι εἰσὶν ἀνυπόστατοι τοῦ πατρὸς, ὁ υἱὸς, καὶ τὸ πνεῦμα. ἵνα δὴ τὰ ταῖς ἐνεργείαις συμβαίνοντα καὶ τοῖς μέρεσι, καὶ τοῖς θείοις προσώποις αὐτοῖς ὁμοίως συμβαίνῃ· τοὐναντίον γάρ. ἵνα μηδὲν τοιοῦτον καὶ περὶ τῶν θείων ἐκ τῶν ὑποδειγμάτων τούτων ὑποπτευθῇ, παραιτεῖται τὴν ἐκ τῶν ὑποδειγ-

μάτων τούτων βοήθειαν ὁ θεολόγος· ἣν αὐτῷ πρὸς ἑτέραν χρείαν παρέχεται. φησὶ γὰρ ἐν τῷ περὶ τοῦ πνεύματος λόγῳ.

Γρηγ. θεο. Πάλιν ἥλιον, ἐνεθυμήθην, ἀκτῖνα, καὶ φῶς. ἀλλὰ κἀνταῦθα δέος. πρῶτον μέν, μὴ σύνθεσις τις ἐπινοῆται τῆς ἀσυνθέτου φύσεως, ὥσπερ ἡλίου, καὶ τῶν ἐν ἡλίῳ. δεύτερον δέ, μὴ τὸν πατέρα μὲν οὐσιώσωμεν, τἆλλα δὲ μὴ ὑποστήσωμεν· ἀνυπόστατα γάρ εἰσιν ἥ τε ἀκτὶς καὶ τὸ φῶς, ὡς δὴ ἐνέργειαι τινὲς καὶ ποιότητες· ἔπειτα καὶ ἐν αὐτοῖς τοῖς φυσικοῖς, εἰ καὶ αἴτιον ἐστί, τὸ μέρος τοῦ μέρους, καὶ τῆς ἐνεργείας ἡ ἐνέργεια, ἀλλ' οὐχ ἁπλῶς, ἀλλ' ἢ μόνον ὡς πρότερα. ὥσπερ ἔχει κἀπὶ τῶν τεχνιτῶν· ὅτι πρότερον μὲν τοίχου θεμέλιος, καὶ ὡς δὴ πρότερον αἴτιον· * ὅτι οὐκ ἂν γένοιτο ἄνευ κλάδου ἐν τοῖς φυτοῖς, οὐδὲ κλάδος ἄνευ στελέχους· οὐδὲ ξηράνοι ἄν τις θερμὸν ὄν, μὴ πρότερον θερμάνας. ἀλλ' οὐκ ἔστιν ἁπλῶς τοῦ τοίχου αἴτιος ὁ θεμέλιος, ἀλλὰ μᾶλλον ὁ τεχνίτης, ἢ ἡ ἐν αὐτῷ οἰκοδομική. καὶ τοῦ ξηρανθῆναι τί, πυρί, ἢ ἡλίῳ, ὅ, τε ἥλιος, καὶ τὸ πῦρ, τῇ θέρμῃ μέντοι· καὶ τοῦ καρποῦ τὸ δένδρον πεφυκέναι αἴτιον. τοιοῦτον γὰρ αἴτιον ἐπὶ τοῦ προκειμένου ζητοῦμεν. τουτέστι παρακτικόν. ἢ εἴγε δεῖ καθόλου κατ' Ἀριστοτέλη λέγειν, ποιητικόν. περὶ γὰρ τῶν θείων προσώπων ὁ λόγος ἡμῖν ἐστίν. ἅπερ ἰδιοσυστάτως ὑφέστηκε. καὶ ὃ ἂν αὐτῶν ἐνεργείη ἔνδον, ὡς ὑπόστασις ἂν ἐνεργείη. τουτέστιν ὡς φύσις, καὶ πρᾶγμα ὑφεστηκὸς ἰδιοσυστάτως. Ὅτι δὲ οἱ διδάσκαλοι, εἰ καὶ συνεώρων τινὰ λόγον αἰτίας ἐν τῇ ἀκτῖνι πρὸς τὸ φῶς, ἀλλ' οὐ βουλόμενοι τοῦτο δεικνύναι καὶ τῷ υἱῷ πρὸς τὸ πνεῦμα ἐνυπάρχειν, τούτῳ τε καὶ τοῖς ὁμοίοις ἐχρήσαντο παραδείγμασι, δῆλον ἐστί. πρῶτον μὲν ἐξ αὐτῆς τῆς τῶν λόγων προθέσεως. οὐδαμοῦ γὰρ προθέμενοι δεῖξαι ὅτι ὁ υἱὸς αἴτιός ἐστι καὶ ἀρχὴ τοῦ πνεύματος, καθάπερ ὁ πατὴρ τοῦ υἱοῦ, ἢ καὶ ἕτερόν τινα τρόπον, ταῦτ' ἐπάγουσι τὰ παραδείγματα. ἀλλὰ τοῖς βουλομένοις συγχέειν τὰς ὑποστάσεις ἀντεξιόντες, ἢ τὴν θείαν φύσιν τοῖς προσώποις συνδιαιρεῖν, τῇ συμφυΐᾳ τῶν θείων ὑποστάσεων καὶ τῇ τάξει, ἐκ τουτωνὶ βοηθοῦσι τῶν παραδειγμάτων. μᾶλλον δὲ βοηθοῦσι τοῖς παχυτέροις τὸν νοῦν, πρὸς τὴν τῆς ἀληθείας κατάληψιν, καὶ τοὺς ἐναντίους ἐλέγχουσιν. ὁ γὰρ μέγας Γρηγόριος ἐν τῷ περὶ τοῦ πνεύ-

ματος

ματος λόγῳ, πρὸ τοῦ θεῖναι τὸ παράδειγμα τοῦ ἡλίου καὶ τῆς ἀκτῖνος
καὶ τοῦ φωτὸς, τὸ τοῦ ὀφθαλμοῦ, καὶ τῆς πηγῆς, καὶ τοῦ ποταμοῦ, τίθησιν, ὡς δὴ ,, Γρηγ. θεολ.
καὶ ὑπ' ἄλλων πρῶτον ἀνευρημένον. καὶ φησὶν οὕτως. Ὀφθαλμὸν καὶ πη- ,,
γὴν καὶ ποταμὸν ἐνενόησα. καὶ γὰρ καὶ ἄλλοι· μὴ τῷ μὲν ὁ πατὴρ, τῷ δὲ ,,
ὁ υἱὸς, τῷ δὲ τὸ πνεῦμα τὸ ἅγιον ἀναλόγως ἔχῃ. ταῦτα γὰρ ,,
οὔτε χρόνῳ διέστηκεν, οὔτε ἀλλήλων ἀπέρρηκται τῇ συνεχείᾳ· κἂν δο- ,,
κῇ πως τρισὶν ἰδιότησι τέμνεσθαι. Ἐν τούτοις ἡ τοῦ παραδείγματος ὁμοι- ,,
ότης πρὸς τὸ προκείμενον. εἶτα τίθησι τὴν ἀνομοιότητα, καὶ φησίν. Ἀλλ' ,, Ὁ αὐτός.
ἔδεισα πρῶτον μὲν, ῥύσιν τινὰ θεότητος παραδέξασθαι, στάσιν οὐκ ἔχου- ,,
σαν. δεύτερον δὲ, μὴ τὸ ἓν τῷ ἀριθμῷ διὰ τῆς εἰκασίας ταύτης εἰσά- ,,
γηται. Οὐκοῦν σαφές ἐστιν, ὅτι κατὰ τοῦ Ἀρείου καὶ Σαβελλίου χρῆται τού-
τῳ τῷ παραδείγματι. ἡ γὰρ ὁμοιότης τοῦ παραδείγματος, πρὸς τὴν
διάκρισιν αὐτῷ καὶ τὴν ἕνωσιν τῶν θείων προσώπων, καὶ λίαν ἔδοξε συντε-
λεῖν. καθ' ὧν ἡ τῶν αἱρετικῶν ἐκείνων θρασύτης ἐστράτευσεν· ὀφθαλμὸς
γὰρ (φησὶ) πηγὴ καὶ ποταμὸς, οὐ διέστηκε χρόνῳ. οὐκοῦν πολλῷ μᾶλ-
λον οὐδὲ πατὴρ καὶ υἱὸς καὶ πνεῦμα χρόνῳ διεστήκασιν, ὡς Ἄρειος ἐλήρει.
καὶ διὰ τοῦτο καὶ φύσει διενηνόχασι. καὶ αὖθις, ὀφθαλμὸς πηγὴ καὶ
ποταμὸς, οὐκ ἀπέρρηκται ἀλλήλων τῇ συνεχείᾳ, κἂν δοκῇ πως τρι-
σὶν ἰδιότησι τέμνεσθαι. οὐκοῦν πολλῷ μᾶλλον πατὴρ καὶ υἱὸς καὶ
πνεῦμα ἅγιον συμπεφύκασί τε ἀλλήλοις, καὶ ἔχονται ἀλλήλων, καὶ
οὐδὲν ἧττον τρισὶν ἰδιότησι τέμνονται, καὶ οὐχ ἓν εἰσὶ πάντα ἀριθμῷ, ὡς
ὁ Σαβέλλιος ἐφλυάρει. τοῦτο δὲ δῆλον ὁ θεολόγος οὗτος πεποίηκεν
ἐν τῇ τοῦ λόγου προτάσει. προὔτεινε γὰρ ὡς ἴσον ἐστὶν εἰς ἀσέβειαν, καὶ
σαβελλίως συνάψαι, καὶ ἀρειανῶς διαστῆσαι. τὸ μὲν, τῷ προσώπῳ·
τὸ δὲ, ταῖς φύσεσιν. εἶτα ἐπήγαγε τὰ παραδείγματα ταῦτα. Ἀλλ'
οἱ τῆς καινοτομίας προϊστάμενοι ταύτης, οὔτε τὴν χρείαν, οὔτε τὸν σκο-
πὸν τοῦ διδασκάλου συνορᾶν ἐθέλοντες, πρὸς τὰς προόδους τῶν θείων
προσώπων, καὶ τὴν αἰτίαν, βιάζονται ταῦτα τὰ ὑποδείγματα. οὐ-
δὲν δὲ τοιοῦτον, οὔτ' ἐκείνῳ λέγεται, οὔτ' ἐξ ἀνάγκης ἕπεται. ἀλλ' ἢ
μόνον ἡ κατ' οὐσίαν συνέχεια, μᾶλλον δὲ συνάφεια τῶν τριῶν· καὶ ἡ

τοῦ ἑνὸς κατὰ τὰς ἰδιότητας ἐν ἑαυτῷ διάκρισις, καὶ τὸ πλῆθος. πρὸς δὲ τούτοις, εἰ τὸν υἱὸν ἔμελλον λέγειν αἴτιον τοῦ πνεύματος, ἀκολούθως ἐκείνοις τοῖς παραδείγμασιν, ὑλικὴν αἰτίαν τοῦτον ἐπέθεσαν ἢ ὀργανικήν. τὰ γὰρ οὐκ ἄνευ τούτων, ὑπὸ τὸ γένος τῆς ὑλικῆς αἰτίας ἀνάγονται, ὡς τὸ διὰ τὴν ὕλην ἀναγκαῖον μιμούμενα. ἢ ὀργανικά εἰσιν ὡς συνεργὰ καὶ συναίτια. ἀλλ' ὁ υἱὸς τοῦ Θεοῦ, οὔθ' ὑλικὴ αἰτία ἐστὶ τοῦ πνεύματος, οὔθ' ὡς ὑλική. οὔτε συνεργός ἐστι καὶ συναίτιος. οὐθ' ὅλως ἔχει ταῦτα καὶ τὰ τοιαῦτα, χώραν ἐν τοῖς θείοις τινά. εἰ δὲ καὶ ἀληθές ἐστι λέγειν, τὸ πνεῦμα οὐκ ἄνευ τοῦ υἱοῦ προῆχθαι ἐκ τοῦ πατρός, ὡς δὴ τάξει προτέρου τε καὶ συμπεφυκότος. ἀλλὰ πᾶσαν φαντασίαν ὑλικοῦ τινὸς πράγματος, ἢ ὡς ὑλικοῦ πρῶτον ἐκβάλλοντας, τὸν δὲ τῆς τάξεως καὶ τῆς συμφυΐας λόγον καταλειπόντας μόνον, οὕτω δεῖ τοῦτο λέγειν τε καὶ νοεῖν. οὐκοῦν καὶ τὸν τῆς αἰτίας λόγον, οὐδ' ὅλως ἠβούλοντ' ἂν συγχωρεῖν· ᾧ καὶ ὁ τρόπος συνεισήγετ' ἂν ἐξ ἀνάγκης. ἐπεὶ τῷ τῆς αἰτίας ὀνόματι καὶ τὸ γένος δεῖ συνεπινοεῖσθαι, ὥσπερ τὸ γένος τῆς ποιητικῆς αἰτίας, εἴτουν πρακτικῆς, ἐν τῷ τὸν πατέρα λέγειν υἱοῦ καὶ πνεύματος αἴτιον, συνεισάγεται τὰ μὲν ἄλλα οὐχ ὁμοίως, τοῖς τε θείοις καὶ τοῖς ἄλλοις ἀποδιδόμενον πράγμασι· ταύτῃ δ' ὁμοίως, ὅτι ἐπί τε τῶν ἄλλων πραγμάτων τὰ λοιπὰ τῆς αἰτίας γένη χωρίζεται, ᾧ ἂν ὁ λόγος τῆς ποιητικῆς αἰτίας ἀποδοθῇ· οὐ γάρ ἐστι τὸ αὐτό, καὶ τοῦ αὐτοῦ, ποιητικόν τε ἅμα εἶναι καὶ ὑλικὸν αἴτιον καὶ εἰδικόν. κἀνταῦθα εἰ ἀληθέστερον τὸν πατέρα πρακτικὴν ἀρχὴν καὶ αἰτίαν τοῦ υἱοῦ καὶ τοῦ πνεύματος, ἢ ἄλλως πῶς λέγειν, οὐδὲ μία λοιπὸν τοῖς ἄλλοις τῶν αἰτίων τρόποις καταλείπεται χώρα. εἰ δὲ καὶ οἷόν τ' ἦν καθ' ὁμοιότητα τῶν παραδειγμάτων ἐκείνων, τὸν υἱὸν τοῦ πνεύματος λέγειν αἴτιον, ὡς λέγοιτ' ἂν αἴτιον τὸ οὐκ ἄνευ αὐτοῦ, ἀλλ' οὐκ ἂν συνήνεγκε τῇ ἄκρᾳ καὶ ἁπλουστάτῃ ἑνότητι τῆς θείας φύσεώς τε καὶ δόξης. ἄλλως μὲν αἴτιον τὸν πατέρα τοῦ υἱοῦ λέγειν, ἄλλως δὲ τὸν υἱὸν τοῦ πνεύματος. οὔτε γὰρ ἑνοειδῶς ἂν ὁ πατὴρ προῆγε τὸ πνεῦμα καὶ ὁ υἱός. καὶ ἅμα χεῖρον ἂν ὁ υἱὸς ἢ ὁ πατήρ, ὅσῳ καὶ τὸ γένος τῆς πρακτικῆς αἰτίας. ἧς ἄνευ, οὐ δύναται εἶναι τὸ ἐξ αὐτῆς τιμιώτε-

ρον

ρόν τε καὶ βέλτιον, τοῦ οὐκ ἄνευ αὐτοῦ. εἴθ' ὑπὸ τὸ τῆς ὑλικῆς αἰτίας, εἴθ' ὑπὸ τὸ τῆς ὀργανικῆς γένος ἀνάγειτο. εἴτε καὶ αὐτὸ τι γένος τῆς αἰτίας ἐστὶ τῶν ἄλλων διῃρημένων καθάπαξ. εἰ δὲ τὸν υἱὸν ἀρχὴν καὶ αἴτιον τοῦ πνεύματος δεικνύναι βουλόμενοι, καθάπερ καὶ τὸν Θεὸν καὶ πατέρα, οἱ τῆς Ἐκκλησίας διδάσκαλοι, οὔτε τοῦτο προτίθεσαν, ἵνα δὴ καὶ σαφὲς ἦν ὃ λέγειν ἐβούλοντο, καὶ διὰ τῶν παραδειγμάτων ἐμφαίνειν, παραδείγμασί τε ἐχρῶντο. ἐξ ὧν ἢ μηδαμῶς αἴτιος εἶναι τοῦ πνεύματος ὁ υἱὸς καταφαίνεται, ἢ οὔτοιγε τὸν αὐτὸν τρόπον τῷ πατρὶ, ἀλλὰ καὶ χεῖρον τῷ γένει. τοῦτ' ἂν τῆς τῶν διδασκάλων σοφίας καὶ ἀκριβείας ἀνάξιον. Περὶ μὲν οὖν τῶν εἰκόνων, ἐξ ὧν ὁ μακάριος Αὐγουστῖνος τὴν δόξαν ταύτην συλλέξαι δοκεῖ, ἀρκείτω τοσαῦτα. δῆλον γὰρ ἐστὶν ἐκ τῶν εἰρημένων, ὡς οὔτε πάσαις ἀνάγκαις τὰς εἰκόνας ταύτας ἐπὶ τῶν θείων, οὔτε καθάπαξ δεῖ κρατεῖν. ὅθεν εἰ βουλοίμεθα πρὸς τὴν δόξαν τοῦ διδασκάλου ταύτην ἐνίστασθαι, καὶ μηδαμῶς αὐτῇ συγχωρεῖν, καίτοι διδάσκαλον αὐτὸν εἰδότες, καὶ τοῖς ἄλλοις διδασκάλοις συνανακηρυγμένον, καὶ τῶν παρὰ τῆς Ἐκκλησίας ἠξιωμένον γερῶν, τοσαῦτα καὶ πλείω λέγειν ἔξομεν, ὁπόσα περὶ Δαμασκηνοῦ φασὶν οἱ Λατῖνοι. περὶ δὲ τοῦ Γρηγορίου τοῦ Νύσσης ἕτεροι λέγουσι. καὶ οὐδεὶς ἡμᾶς ἀναγκάσει λόγος, πλέον αἰδοῦς Αὐγουστίνῳ νέμειν, ἢ αὐτὸς ἑαυτῷ δεῖν φησὶ νέμειν, καὶ τοῖς ἄλλοις ἐκεῖνος δίδωσι, καὶ οἱ Λατῖνοι τοῖς ἡμετέροις, καὶ ἡμεῖς τῶν ἡμετέρων ἐνίοις, καὶ οἱ παρ' ἡμῖν ἅγιοι ἀλλήλοις, ὡς πρότερον ἀποδέδεικται. ἅμα δὲ καὶ ὅτι τοῖς ὑποδείγμασι τῶν παρ' ἡμῖν διδασκάλων, οἷς ἐκεῖνοι πρὸς ἑτέραν χρείαν ἐχρήσαντο, κακούργως οἱ Λατῖνοι χρῶνται. καὶ οὔτε τοῖς διδασκάλοις αὐτοῖς. οὔτε τοῖς κανόσι τῆς ἱερᾶς θεολογίας, οὔτ' αὐτοῖς τοῖς πράγμασι δι' ὧν ἀξιοῦσι, συνᾴδουσι. καὶ ὡς ἀδύνατον ἐστὶ ἐκ τῶν τοιούτων παραδειγμάτων, τὸν υἱόν τε δειχθῆναι τοῦ πνεύματος αἴτιον ἀληθῶς. καὶ τοὺς διδασκάλους ἡμῶν οὕτω φρονοῦντας, ἐκ τῶν εἰρημένων γέγονε δῆλον.

Τμῆμα τρίτον. ἐν ᾧ περικατάστασις τῶν πρὸς τὴν ἔνστασιν λόγων, καὶ ἔκθεσις τῶν ῥητῶν τῶν διδασκάλων τῶν παρ᾽ ἡμῖν. ἃ τὴν ἡμετέραν βεβαιοῦσι δόξαν, τὴν δὲ τῶν Λατίνων ἐλέγχουσιν. ὅτι ἀνάγκη καὶ Αὐγουστῖνον, καὶ ἕκαστον τῶν διδασκάλων, πρὸς τὴν κοινὴν ἐπισπᾶσθαι πίστιν. καὶ ὅτι ῥᾴδιόν ἐστι τοῦτο ποιεῖν.

ΚΕΦΑΛΑΙΟΝ ιη.

Ἀλλ᾽ ἔνεστιν ἡμῖν, ἔνεστι καὶ σύμφωνον ἀποδεῖξαι τῇ κοινῇ πίστει τὸν μακάριον Αὐγουστῖνον, εἴγε βουλοίμεθα. καὶ τὸ μὴ δύνασθαι τοῦτον συμφωνεῖν, ἐκ τοῦ μηδὲ ἡμᾶς τοῦτο βούλεσθαι, συναντήσεται. οὐδὲ γὰρ τὸν θεῖον Δαμασκηνὸν συνῆψεν ἄν τις τοῖς ἄλλοις διδασκάλοις ῥᾳδίως, εἴπερ ἐβούλετο προὔργου πάντων αὐτὸν ἀποδεῖξαι, ἐν οἷς ἐπινοίᾳ φησὶ τὴν τῶν θείων προσώπων εἶναι διάκρισιν, τῶν ἄλλων πραγματικῶς διακεκρίσθαι ταῦτα βοώντων, καὶ τὴν τῆς ἐπινοίας διάκρισιν, εἰς τὸν Λίβυν ἀπορριπτόντων Σαβέλλιον. ἀλλ᾽ ὅτι καλῶς τε καὶ δικαίως ἀκούειν τοῦ διδασκάλου βουλόμεθα, καὶ τὸν τρόπον ᾧ συναπτέον ἂν εἴη πᾶσι τοῖς διδασκάλοις αὐτόν, ῥᾳδίως εὑρίσκομεν. ἢ τί χρεὼν ἄλλο ποιεῖν περὶ θεοῦ, τοσαύτης οὔσης τῆς φαινομένης διαφωνίας ἐν αὐτῷ καὶ τοῖς ἄλλοις, οὐδ᾽ ἐν τῷ τυχόντι πράγματι, μόνον τὸν Δαμασκηνὸν ἀληθεύειν οἴεσθαι, τὰ θεῖα πρόσωπα κατ᾽ ἐπίνοιαν διακρίνοντα, τοὺς δὲ ἄλλους μηδὲ εἰδέναι ὃ λέγουσιν, αἱρετικοὺς δὲ εἶναι, καὶ τοὺς αὐτοῖς πειθομένους; ἀλλὰ τοῦτο, οὐδ᾽ ἂν αὐτὸς ὁ Δαμασκηνὸς βουληθείη. ταῖς γὰρ κοιναῖς τῶν διδασκάλων γνώμαις ἀκολουθεῖν ἰσχυρίζεται, καὶ μηδὲν λέγειν οἴκοθεν, μηδὲ ἀρέσκον αὐτῷ μόνῳ. ὅθεν εἴ τινι τὴν τοῦ ψεύδους καὶ τῆς ἀπάτης αἰτίαν προσάπτειν ἐχρῆν, τούτῳ μᾶλλον ἐχρῆν μόνῳ προσάπτειν, ἢ πᾶσιν ἐκείνοις ὁμοῦ, καὶ παρ᾽ αὐτῷ δικαστῇ. ἀλλ᾽ εἴποιμεν

ἂν

ἂν τὸν Δαμασκηνὸν τὰ Σαβελλίου νοσεῖν; ἀλλὰ τοῦτο ψεῦδος ἐστὶ καὶ ἄγνωμον· νοσείη δ' ἂν πάντως, εἰ μὴ συμφωνοίη τοῖς ἄλλοις· ἀλλ' ἅπερ ἐκεῖνοι σαφῶς εἰς τὸν Σαβέλλιον ἀπορρίπτουσι, ταῦτα τολμῴη λέγειν αὐτός. νοσοίημεν δ' ἂν καὶ ἡμεῖς τὴν αὐτὴν νόσον, εἰ πιστεύοντες ἐπινοίᾳ, καὶ οὐ πράγματι, τὰ θεῖα πρόσωπα διακεκρίνεσθαι. καὶ μαχόμενοι τοῖς τοὐναντίον λέγουσι, καὶ νομίζοντες αὐτοὺς πεπλανῆσθαι, ἀντ' ἀσπίδος τὸν Δαμασκηνὸν προβαλλοίμεθα. καὶ ἡγοίμεθα μὲν αὐτὸν ἀπεναντίας λέγειν τῶν ἄλλων, ἐλπίζοιμεν δ' ἐπ' ἀσφαλοῦς βεβηκέναι τῷ Δαμασκηνῷ μόνῳ προσέχοντες. καίτοι μεγίστης ἀσφαλείας ἐστὶ δήπου τῷ Δαμασκηνῷ προσέχειν, καὶ οὐδεὶς ἂν κινδυνεύσειε προσέχων αὐτῷ· ἀλλὰ δεῖ πρῶτον αὐτὸν σύμφωνον ὑποτιθέναι τοῖς ἄλλοις· ἂν δὲ διαφωνεῖν αὐτὸν τοῖς ἄλλοις πᾶσιν ὑποτιθέμενοι, οὕτω μόνον προσέχειν αὐτῷ διὰ φιλονικείαν βουλόμεθα. ὁ μὲν, καὶ οὕτως ἅγιος ἔσται καὶ θεῖος καὶ ταῖς ἀληθείαις ἀδελφὰ τοῖς ἄλλοις ἐρεῖ. καὶ οὕτως ὑπὸ τῶν νοῦν ἐχόντων, ὑγιᾶ λογισθήσεται. ἡμεῖς δὲ, οὐκ ἔσθ' ὅπως ταῖς τοῦ Λίβυος εὐθύναις οὐχ ὑποκεισόμεθα. Ὅτι δὲ εἰ καὶ οἷόν τ' ἐστὶν ἕνα τινὰ τῶν διδασκάλων τῆς ὀρθῆς ἀπενεχθῆναι γνώμης, περὶ ὁτουοῦν τῶν ζητημάτων τῆς πίστεως, ὅπερ ἂν μήπω διωρισμένον παρὰ τῆς Ἐκκλησίας εἴη, ἀλλ' ἡμῖν οὐ μετὰ τοιαύτης γνώμης χρὴ τοῖς διδασκάλοις προσφέρεσθαι, πάσῃ δὲ μηχανῇ πρὸς τὴν κοινὴν τῆς Ἐκκλησίας δόξαν τὰ ἑκάστου μετοχετεύειν, πρῶτον μὲν αὐτόθεν ἐστὶ σαφὲς, τοῖς βουλομένοις μετ' εὐγνωμοσύνης σκοπεῖν. οὕτω γὰρ ἥ τε ὀφειλομένη παρὰ πάντων αἰδὼς τοῖς διδασκάλοις περισωθήσεται. καὶ τὰ τῆς ἀληθείας βέβαια ἔσται. ἂν δὲ τοὐναντίον τὴν περὶ τοῦ ψεύδους καὶ τῆς πλάνης ὑπόνοιαν, ῥᾳδίως περὶ ἑκάστου τῶν διδασκάλων ἐν ἡμῖν αὐτοῖς λαμβάνοντές τε, καὶ βεβαιοῦντες, οὕτω δὴ τὰ περὶ τῶν δογμάτων βουλώμεθα διαιτᾷν, ἐπ' οὐδενὸς ἡμῖν τὰ τοιαῦτα βεβαίου στήσεται. καὶ ἡ ἱερὰ ἡμῖν διδασκαλία, συγχύσεως ἔμπλεως ἔσται. τῶν ἐπὶ ταύτην ἡγεμόνων καὶ ὁδηγῶν ἡμῖν, ἀπιθάνων καθισταμένων· ἢ ἔν τισι μὲν πιθανῶν, ἐν ἄλλοις δὲ ἀπιθάνων, καθὼς ἂν ἑκάστῳ δόξειε χρῆσθαι· καὶ ἡ μὲν πίστις ἀληθὴς οὐ-

δὲν

δεῖν ἧττον ἔσται καὶ οὕτω (οὐ γὰρ τῷ ψεύσασθαί τινα τῶν διδασκάλων ἐν ὁτῳοῦν, ἀνθρώπινόν τι παθόντα, αἶσχός τι σαθρότητος τῇ ταύτης περιτριβήσεται βεβαιότητι·) ἡμεῖς δὲ περὶ αὐτὴν κινδυνεύσωμεν, οὕτως εὐκόλως τὰ κατὰ τοὺς διδασκάλους ἀποφαινόμενοι· καὶ τοὺς μὲν, προϊέμενοι. τοὺς δὲ, ἀποδοκιμάζοντες· ἅμα δὲ καὶ τὴν τῆς Ἐκκλησίας εἰρήνην ταράξωμεν διηνεκῶς, ὑπὸ τῷ τῶν διδασκάλων προκαλύμματι· ἄλλως γὰρ ἄλλῳ πειθόμενοι τῶν διδασκάλων, καὶ ταῖς ἡμετέραις γνώμαις ἐκείνους συνδιαιρούμενοι, συναποδιασχιζόμενοι τῇ παρ' ἐκείνων ῥοπῇ τε καὶ συμμαχίᾳ, κατ' ἀλλήλων στρατεύσωμεν. καὶ ἡ γνωσόμεθα μὲν πάντες ὁμοίως νικᾶν. τοῦτο δ' ἀδύνατον ἐστίν· ἀλλὰ τῆς τε ἀληθείας καὶ τῆς εἰρήνης ἐχθροῖς κεῖσθαι συμβήσεται, τοῖς ἐκ τοῦ μὴ δικαίως βούλεσθαι σωφρονισθῆναι, πρὸς τὴν τοῦ ψεύδους καὶ τοῦ πολέμου τούτου συνηγορίαν ἀποχρησαμένους τῶν διδασκάλων τινί. ὧν ἕκαστος καὶ τῆς ἀληθείας καὶ τῆς εἰρήνης πάνυ προὐνόησε. παραδείγματα δὲ τῆς οὕτω καλῆς περὶ τοὺς διδασκάλους οἰκονομίας, ἐξ αὐτῶν δυνάμεθα τῶν διδασκάλων λαβεῖν. Ἢ τίς ἀγνοεῖ τὸν ἱερὸν Μάξιμον, τὰ τοῦ Νύσσης περὶ τῆς ἀποκαταστάσεως δόγματα, μηχαναῖς τισι θεραπεύοντα; οὐ πρὸς ἐξαπάτην μᾶλλον τῶν ἁπλουστέρων, ἢ πρὸς ὠφέλειαν αὐτῶν, καὶ νουθεσίαν· οὕτω γὰρ φησὶν ἐκεῖνος.

Μάξιμ. περὶ Γρηγ. Νύσσ.

» Τρεῖς ἀποκαταστάσεις οἶδεν ἡ Ἐκκλη-
» σία. μίαν μὲν, τὴν ἑκάστου κατὰ τὸν τῆς ἀρετῆς λόγον, ἐν ᾗ ἀποκαθίσταται
» τὸν ἐπ' αὐτῇ λόγον τῆς ἀρετῆς ἐκπληρώσας. δευτέραν δὲ, τὴν τῆς ὅ-
» λης φύσεως ἐν τῇ ἀναστάσει εἰς ἀφθαρσίαν καὶ ἀθανασίαν ἀποκατάστασιν.
» τρίτην δὲ, ᾗ καὶ μάλιστα καταχέχρηται ἐν τοῖς αὐτοῦ λόγοις ὁ Νύσ-
» σης Γρηγόριος, ἐστὶν αὕτη· ἡ τῶν ψυχικῶν δυνάμεων τῇ ἁμαρτίᾳ ἀπο-
» πεσουσῶν εἰς ὅπερ ἐκτίσθησαν πάλιν ἀποκατάστασις. δεῖ γὰρ ὥσπερ τὴν
» ὅλην φύσιν ἐν τῇ ἀναστάσει, τὴν τῆς σαρκὸς ἀφθαρσίαν χρόνῳ ἐλπιζο-
» μένην ἀπολαβεῖν, οὕτω καὶ παραφθαρείσας τὰς τῆς ψυχῆς δυνά-
» μεις τῇ παρατάσει τῶν αἰώνων ἀπολαβεῖν. τὰς ἐντεθείσας αὐτῇ τῆς
» κακίας μνήμας ἀποθεμένους, καὶ περάσαντας πάντας αἰῶνας, καὶ μὴ εὑ-
» ρίσκοντας στάσιν, εἰς τὸν Θεὸν ἐλθεῖν τὸν μὴ ἔχοντα πέρας. καὶ οὕτω τῇ

ἐπι-

ἐπιγνῶσι, οὐ τῇ μεθέξει τῶν ἀγαθῶν, ἀπολαβεῖν τὰς δυνάμεις, καὶ εἰς » τὸ ἀρχαῖον ἀποκαταστῆναι, καὶ δεικνῦναι τὸν δημιουργὸν ἀναίτιον τῆς » ἁμαρτίας. Χαλεπὸν ἂν εἴη πιστεῦσαι, ὅτι Μάξιμος τὸν Νύσσης πεπίστευκεν οὕτω, καὶ ἐκ τοιούτων αἰτιῶν κινηθέντα, ἐγκαταπεῖραι τοῖς πλείοσιν αὐτοῦ σχεδὸν τῶν λόγων τὸ δόγμα. οὐδὲν γὰρ σχεδὸν (τῷ γε συνορᾷν δυναμένῳ) κοινὸν πρὸς τὴν Μαξίμου θεραπείαν, ἡ τοῦ Νύσσης κέκτηται λέξις. οὕτω σαφῶς, οὕτως ἐπεξειργασμένως, τὴν πρὸς τἀγαθὸν καὶ τὴν εὐδαιμονίαν ἐπάνοδον, μετὰ δίκας χρόνων μακρῶν, πᾶσι τοῖς νοεροῖς ἐγγυωμένη τοῦ Θεοῦ κτίσμασιν. ἀλλ' οὐδ' οὕτως ἔδοξεν αὐτῷ χρῆναι ποιεῖν. καίτοιγε ἐξῆν αὐτῷ τῶν τῆς αἱρέσεως ἐγκλημάτων ἀπαλλάττειν, οὐ μόναις ταῖς ὑπ' ἐκείνου ψήφοις τῆς Ἐκκλησίας ἁπλῶς, ἀλλὰ καὶ εὐλόγως πάνυ. ποιεῖν γὰρ ὀβελισθῆναι παρὰ τῆς Ἐκκλησίας τὸ δόγμα φανερῶς οὑτωσί, τοῦθ' ὁ ἱερὸς Νύσσης πεφρόνηκεν. οὐδὲ πρὸς τὸ κοινὸν τῆς Ἐκκλησίας φρόνημα, καὶ τὴν κοινὴν ἁπάντων ἐφιλονείκησε πίστιν. ἔτι γὰρ ἐν μοίρᾳ ζητήματος τοῦτ' ἦν· καὶ ἐξῆν ἑκάστῳ ἀεὶ αὐτοῦ θέσιν ἰδίαν διαφυλάττειν, οὐδὲν ἀναισχυντοῦν τι πρὸς οὓς ἥκιστ' ἐξῆν. τοῦτο δ' ἂν ἦν καὶ ὑπὲρ τῆς ἱερᾶς Ἐκκλησίας ἀπολογία, ἣ τὸν Νύσσης τοῖς μακαρίοις ἐνέταξεν. ἐξῆν δὲ καὶ τόλμημα τινῶν τῆς ἀληθείας ἐχθρῶν, τὴν τῶν δογμάτων ἐκείνων λέγειν προσθήκην, βουληθέντων οὕτω τὴν διδασκάλου δόξαν λυμήνασθαι, ἢ συνηγόρους καὶ τὰς ἐκείνου βίβλους οὕτω σφίσιν αὐτοῖς ἕξειν προσδοκησάντων. ἀλλὰ τοῦτο οὔτε ῥᾳδίως εἶχε δεικνῦναι Μάξιμος, καὶ ἅμα σοφίας καὶ ἀρετῆς, οὐκ ἂν τοσαύτην ἐντεῦθεν δόξαν ἠνέγκατο. οὕτω γὰρ πάντα ῥᾴδιον ἐστὶ λύειν. ἀλλ' ὅμως ἐκεῖνα παραδραμών, πρὸς τὴν κοινὴν πίστιν τοὺς τοῦ Νύσσης λόγους ἕλκειν ᾤετο δεῖν. διδάσκων ἡμᾶς ὅπως ἂν δέοι χρῆσθαι τοῖς διδασκάλοις· εὐλαβῶς δηλονότι καὶ εὐγνωμόνως, καὶ ὡς αὐτὸς ἄντικρυς· τὰ αὐτὰ δὲ καὶ πολλοῖς ἄλλοις τῶν διδασκάλων ἤρεσε πεπονθεῖν. ἀλλ' ἀρκεῖ Μάξιμος ἡμῖν ὡς ἐν παραδείγματος τάξει, πρὸς τὴν παροῦσαν χρείαν ὁ ἱερός. Θωμᾶς δὲ ὁ τῶν Λατίνων διδάσκαλος, (πρὸς Θεοῦ) οὐχ οὕτω πανταχοῦ ποιεῖ; καὶ πρὸς τὴν ἐπικρατοῦσαν δόξαν τῆς Ἐκκλησίας,

τὰ τῶν διδασκάλων ἐπισπᾶσαι ῥητὰ, πάσαις μηχαναῖς ταῦτα μεταρρυθμίζων· ἃ γοῦν ἔνια μετὰ πολλῆς ἕλκει τῆς δυσχερείας, καὶ πολλοῖς ἱδρῶσι τοῦτο ἐξεργάζεται. ἀλλ᾽ ὅμως οὔτ᾽ ἀνεξετάστους παρίησι τὰς ἐκ τῶν ῥητῶν ἐκείνων ἐνστάσεις· οὔτε δεῖν οἴεται τὴν ἑνός τινος διδασκάλου γνώμην κρατεῖν, τῶν τῇ κοινῇ πᾶσι δοξάντων· οὔτε δεῖ φησὶ τούτου ἢ ἐκείνου τοῦ διδασκάλου καταφρονεῖν, ἐναντία φρονήσαντος γνώμῃ. ἀλλὰ ταύτην προθεὶς, καὶ φανερῶς πρότερον ἀποδείξας,* οὕτω δὴ καὶ Ἰλάριον καὶ Αὐγουστῖνον εἴπου δοκῇ τι λέγειν ὑπεναντίον, ὥσπερ τις ἀγαθὸς διαλλακτὴς συμβιβάζει ταύτῃ καλῶς. καὶ μηχαναῖς τισιν εὐφυέσι τὸ τῆς λέξεως παραλλάττον, εἰς νοημάτων συνελαύνει ταυτότητα. οὕτω δὲ καὶ τὰ περὶ τὴν ἐκπόρευσιν τοῦ ἁγίου πνεύματος καλῶς ἂν διῄτησεν, εἰ πρὸ τοῦ σχίσματος ἦν. καὶ Αὐγουστῖνον, καὶ Ἰλάριον, καὶ Ἱερώνυμον, εἰς τὴν κοινὴν ἂν μετερρύθμισε δόξαν. τοῦτο δὲ νῦν οὐ ποιεῖ· ἀλλὰ μᾶλλον αὐτοὺς εἰς τὴν νέαν τῆς Ῥωμαϊκῆς Ἐκκλησίας δόξαν βιάζεται· συγγνωστὰ πράττων ἴσως, εἴγε τῆς θρεψάσης αὐτὸν Ἐκκλησίας ὑπερασπίζειν προείλετο. τὸ γὰρ τἀληθῆ προτιμᾶν, τῆς παρὰ κρείττονος χορηγίας ἂν ἦν. καὶ πρὸς τούτῳ, χαλεπὸν ἦν αὐτὸν διαιτητὴν ἀκριβῆ τοῦ ζητήματος καθεσθῆναι, μὴ καὶ τὰ ἡμέτερα καλῶς ἐπεγνωκότα. καθάπερ ἡμεῖς νῦν σχεδὸν, ταῖς ἑκατέρων συστάσεσιν, ὑπό τε φιλοτιμίας καὶ ἀνάγκης ἐγγεγυμνάσμεθα. οὐδὲν γὰρ ἐστὶ παρὰ Λατίνοις ῥητὸν, ἢ ἐπιχείρημα, πρὸς τὴν αὐτῶν δόξαν ταύτην, ὃ μὴ καὶ πρὸς τὴν τῶν ἡμετέρων μετελήλυθεν εἴδησιν. Εἰ μηδενὶ ἄλλῳ τοίνυν, Θωμᾷ γοῦν ἑπομένους κατ᾽ ἴχνος ἡμᾶς, πρὸς τὴν κοινὴν τῆς Ἐκκλησίας δόξαν (ἧς ἡμεῖς τῇ τοῦ Θεοῦ χάριτι, ἔτι πάνυ βεβαίως ἀντιποιούμεθα) καὶ Αὐγουστῖνον, καὶ Δαμασκηνὸν, καὶ πάντα διδάσκαλον, ἐπισπᾶσθαι χρὴ πάσαις μεθόδοις· καὶ μήτε τῆς φανερᾶς καὶ κοινῆς ἀληθείας, Αὐγουστῖνον, ἢ Δαμασκηνὸν, ἤ τινα ἄλλον τῶν διδασκάλων, ὑπερτιθέναι. μήτε ῥᾳδίως τούτου καταφρονεῖν, καὶ τὴν τῆς αἱρέσεως αὐτῷ καὶ τοῦ ψεύδους δόξαν προστρίβεσθαι, ἐξὸν αὐτὸν σύμφωνον πᾶσιν ἐπιδεικνύναι. πάρεστι γὰρ ἡμῖν ὁ τῆς ἀληθείας κανών. πρὸς ᾧ πειθομένους τὰ τῶν διδασκάλων, ἐκείνους τε τιμᾶν πάντας

ὁμοίως,

ὁμοίως, καὶ ἡμῖν ἀσφαλέστερον δήπου διάγειν ἐξέσται· οὗτος δ' ἂν εἴη τὰ ἱερὰ εὐαγγέλια· καὶ τὰ κοινῇ παρὰ πᾶσι τοῖς ὀρθοδόξοις γεγυμνασμένα καὶ κεκρατηκότα δόγματα μέχρι τοῦ νῦν. καὶ χαλεπὸν οὐδέν ἐστι, πάντα τὰ τῶν διδασκάλων, τῷ κανόνι τούτῳ προσάγειν. οὔτ' εἴ τις προσάγοι δήπου καλῶς, τοῦτον εἰκός ἐστι τῆς ἀληθείας, ἢ τοῦ γε πρέποντος ἁμαρτεῖν, παρὰ Θεῷ δικαστῇ. σκοπῶμεν οὕτω τοίνυν καὶ τὸν Αὐγουστῖνον, ὅπως τοῖς ἄλλοις διδασκάλοις ἔχομεν σύμφωνον. πρότερον δὲ τί πάντες οἱ παρ' ἡμῖν διδάσκαλοι περὶ τοῦ παναγίου πνεύματος λέγουσιν, ἐκθησώμεθα. καὶ τί πεφρόνηκεν ἡ τοῦ Χριστοῦ Ἐκκλησία κοινῶς· ὡς ἂν τούτων ἀμφοτέρων φανερωθέντων καλῶς, καὶ τῆς ἀληθοῦς δόξης ἐπιγνωσθείσης, ῥᾳδίως αὐτοῖς ὁ μακάριος Αὐγουστῖνος προσαρμοσθῇ. ἐπεὶ γὰρ ἀναγκαῖον ἡγούμεθα, καὶ συμφέρον, πάσαις μηχαναῖς αὐτὸν προσαρμόττεσθαι· καὶ αὐτὸς γὰρ ἤθελεν γ' ἂν μᾶλλον ἐκείνοις, ἢ τοῖς τῶν νεωτέρων ἐφευρεταῖς προστιθέμενος· κἂν μέλοι τοῦτο μὲν, βίᾳ καὶ χαλεπῶς. ἐκεῖνο δὲ, συμβαίνειν αὐτῷ ῥᾳδίως. προσχωρήσουσι δὲ καὶ ἡμῖν οἱ τῆς ἐναντίας λόγοι, μετὰ τῆς αὐτῆς μὲν ἀληθείας. οὐ γὰρ ἀγῶνος χάριν καὶ διαλέξεως, τῇ ἀντιπαραστάσει συνέστημεν. ἀλλὰ καὶ λίαν ἀληθευτικῶς, ὡς ἐν ἀντιπαραστάσει γοῦν· ἥδιον δὲ καὶ ἡμῖν, καὶ τοῖς ἐντυγχάνουσιν, ὅτι καὶ Αὐγουστῖνον, καὶ τοὺς ἄλλους εὐρωπαίους πατέρας, συνῳδοὺς ἀποφαίνομεν τοῖς ἡμετέροις πατράσι καὶ καθηγεμόσι τῆς πίστεως, τὴν μάχην τρέψαντες πᾶσαν ἐπὶ Λατίνους. οἱ τῶν ἰδίων καταψευδόμενοι διδασκάλων, τὴν αἰτίαν αὐτοῖς τῆς ἰδίας καινοτομίας ἀνατιθέασιν.

ΚΕΦΑΛΑΙΟΝ ιθ.

Τὶ κρατεῖ ἡ καθολικὴ ἐκκλησιαστικὴ πίστις, περὶ τῆς προόδου τοῦ πνεύματος. καὶ ὅτι τῆς χρονικῆς προόδου τοῦ πνεύματος, αἴτιος ἐστὶν ὁ υἱός.

ΤΟ πνεῦμα τοίνυν τὸ ἅγιον, τὸ πνεῦμα τῆς ἀληθείας, ὁ Παράκλητος, ὁ εἷς τῆς ὁμουσίου Τριάδος, τῆς θείας φύσεως ἐστὶν, ἀγα-

θὸν ἐνυπόστατόν τε καὶ ὑφεστὼς, καὶ καρπὸς ἐκείνης (ὡς οὕτως εἰπεῖν) συμφυής τε καὶ συναΐδιος. καθάπερ δὴ καὶ ὁ λόγος ἕτερόν τινα τρόπον· ἐχρῆν γὰρ ἀληθινὸν Θεὸν νοῦν ὄντα (οὕτω γὰρ ἀναλογικῶς αὐτὸν ἀνυμνοῦμεν, ὡς παράδειγμά τι ζῶον καὶ ὑπερφυὲς τοῦ τῶν ὄντων ἀρίστου) καὶ λόγον ἔχειν, καὶ πνεῦμα. καὶ τοῦτ' εἶναι καθάπερ εἶδος αὐτοῦ καὶ ἐντελέχειαν τρόπῳ τινὶ, τὴν ὑποστατικὴν τῶν ἐξ αὐτοῦ προφυόντων ὑπερφυᾶ σύνταξιν, δι' ἣν Μονάς ἐστιν ἡ αὐτὴ καὶ Τριὰς τὸ παρὰ τῶν εὐσεβῶν ἡμῶν λατρευόμενον. εἴτε γοῦν καθ' ὁμοιότητα τῆς ἐν ἡμῖν ζωτικῆς κινήσεως, εἴτε καθάπερ ὁρμήν τινα τῆς νοερᾶς ἐν ἡμῖν θελήσεως, τὸ πνεῦμα τὸ ἅγιον νοοίη τις ἐν τῷ Θεῷ. ὥσπερ καὶ τὸν υἱὸν νοοῦμεν κατ' ὁμοιότητα τῆς ἐνδοτέρας τοῦ λόγου συλλήψεως, ἤτοι προφερομένου τούτου καὶ ἐξαγγελτικοῦ. ἀεὶ νοοῦμεν τὸν Θεὸν λόγον ἔχειν καὶ πνεῦμα, ὥσπερ πιστεύομεν καὶ ἀεὶ νοοῦμεν εἶναι Θεόν. αὐτὸν γὰρ εἶναι πιστεύομεν τὸν ἀληθινὸν Θεὸν, πνεῦμά τε, καὶ λόγον, καὶ τὴν αὐτῶν πηγὴν, τὸν ἄπειρον ἐκεῖνον καὶ ἀγέννητον νοῦν. τούτων δὲ ἡμῖν αὐτὴ ἡ ἀλήθεια διδάσκαλος γίνεται. περὶ μὲν ἑαυτῆς φησί.

Ἰωάν. ιζ. Δόξασόν με σύ πάτερ παρὰ σεαυτῷ, τῇ δόξῃ ᾗ εἶχον πρὸ τοῦ τὸν κόσμον εἶναι παρὰ σοί. τουτέστιν ἀϊδίως καὶ χρονικῆς ἁπάσης ἐννοίας ἐπέκεινα. ἐπείπερ ἡ αὐτὴ ἐστὶν ἀρχὴ κόσμου τε καὶ χρόνου. περὶ δὲ τοῦ

Ἰωάν. ιε. πνεύματός φησιν. Ὃ παρὰ τοῦ πατρὸς ἐκπορεύεται. οὐ γὰρ ὅτε ἥξῃ πεμπόμενον, τότε καὶ ἐκπορεύσεσθαι εἶπε· τουτέστι τὸ εἶναι ἕξειν, καὶ ὑποστήσεσθαι. ἀλλὰ πέμψειν μὲν αὐτὸς εἶπεν ὕστερον, διὰ τὸ μετ' αὐτὸν ἀνεληλυθότα, καὶ αὐτοῦ συνευδοκοῦντος ἀφίξεσθαι. καὶ αὐτὸ δὲ οἴκοθεν ἥξειν, διὰ τὴν ἐλευθερίαν καὶ τὸ ἀξίωμα τῆς θεότητος. ἐκπορεύεσθαι δὲ εἶπεν αὐτὸ ἐκ τοῦ πατρὸς, ὡς ἐκεῖθεν προϊὸν ἀϊδίως, καὶ αὐτῷ τῷ προϊέναι, ὑφιστάμενόν τε, καὶ τῆς ἰδίας αἰτίας διακρινόμενον, ἐν ἄκρᾳ καὶ ἁπλουστάτῃ τῆς οὐσίας ἑνότητι. ἡ δὲ πρόοδος αὕτη τοῦ πνεύματος, μέχρι μὲν τῶν τῆς θείας οἰκονομίας καιρῶν, ἐλάνθανε τοὺς ἀνθρώπους, συνεπτυγμένως τε καὶ σκιωδῶς, καὶ ὡς ἐν τύπῳ μόνῳ, ἐν τοῖς τῶν προφητῶν λογίοις προδεικνυμένη. ἐν δὲ τοῖς καιροῖς ἐκείνοις, ἤρξατο φανεροῦσθαι τε καὶ πιστεύεσθαι, ἐν οἷς καὶ ἡ τοῦ υἱοῦ τοῦ Θεοῦ πρόοδος ἐφανερώθη

νερώθη τοῖς πρώτοις ἀκολούθοις τῆς ἀληθείας, καὶ δι' αὐτῶν πᾶσι τοῖς πιστοῖς πεφωτισμένοις τοὺς νοεροὺς ὀφθαλμούς. καὶ ἡ τῆς τοιαύτης προόδου φανέρωσις, δευτέρα καὶ χρονικὴ πρόοδος λέγεται, ὡς πρὸς ἡμᾶς τε οὖσα καὶ δι' ἡμᾶς· οὐ μεταβατικῶς κινηθέντος τοῦ πνεύματος πρὸς ἡμᾶς· ἀλλ' ἡμῶν πρὸς τὴν γνῶσιν τῆς ἀϊδίου προόδου τούτου ἐκ τοῦ Θεοῦ, καὶ τῆς ἐκεῖθεν ἡμῶν βελτιώσιν, διατεθέντων πως ἐκ τῆς πρὸς τὸν υἱὸν τοῦ Θεοῦ, καὶ τὰ ἐκείνου δόγματα, πιστῆς εὐλαβείας. ὥσπερ εἴ τις τυφλὸς ὢν ἐκ γενέσεως σήμερον ἀναβλέψειεν, ἀληθὲς ἐστὶ λέγειν, σήμερον αὐτῷ λάμψαι τὸν ἥλιον, καίτοιγε ἀεὶ λάμποντα ἁπλῶς· ἐπεὶ δὲ καὶ ἐν εἴδει σωματικοῦ τινος πράγματος ἐφάνη τὸ πνεῦμα τὸ ἅγιον πρὸς βεβαίωσιν τῆς θείας οἰκονομίας (ὥσπερ ἀληθὲς ἐστὶν εἰπεῖν, καὶ τὸ πνεῦμα κατελθεῖν τὸ διὰ τῶν γλωσσῶν φανερούμενον, ὡσαύτως δὲ καὶ καταβῆναι ἐν εἴδει περιστερᾶς λέγεται, διὰ τὸ τὴν περιστερὰν ἔνδειξιν οὖσαν τοῦ πνεύματος φαίνεσθαι καταβαίνουσαν αἰσθητῶς· ἀλλὰ μὴν καὶ ἐμφυσᾶσθαι λέγεται, τουτέστιν ἐμπνεῖσθαι. ὅτι ὑπὸ τῷ τύπῳ τῆς τοῦ στόματος διαπνοῆς, ἐκ τοῦ Χριστοῦ περιῆλθε τοῖς μαθηταῖς. ὁ γὰρ αὐτὸς ἦν, ὁ καὶ αἰσθητῶς ἐμφυσῶν, καὶ ἐμπνέων ἀοράτως τὴν χάριν τοῦ πνεύματος· καὶ δίδοσθαι λέγεται, καὶ λαμβάνεσθαι, καὶ ἐκχεῖσθαι, καὶ τῶν τοιούτων ὀνομάτων ἁπάντων) οὐ πρὸς τὴν ἀΐδιον τοῦ πνεύματος ὕπαρξιν, οὐ πρὸς τὴν ἀμέθεκτον ἐκείνου ὑπόστασιν, ἀλλὰ πρὸς τὰς τοῦ πνεύματος δωρεάς, δι' ὧν ἡ τῶν ἀνθρώπων πίστις ἐβελτιώθη, τοῦ υἱοῦ τοῦ Θεοῦ ταύτας διανέμοντος, ὡς ἰδίας ἀναφερομένων, εἰ καὶ περὶ τῆς ἀμεθέκτου καὶ ἀπείρου φύσεως τοῦ πνεύματος λέγονται. τῆς μὲν οὖν χρονικῆς ταύτης προόδου τοῦ πνεύματος, ἀρχὴν καὶ αἴτιον ἐπιγινώσκουσιν οἱ παρ' ἡμῖν διδάσκαλοι, τὸν υἱὸν τοῦ Θεοῦ ἐν τῷ προσλήμματι φανερωθέντα, καὶ δι' ἑαυτοῦ τὸ πνεῦμα γνωρίσαντα. καὶ ἅμα τῶν τοῦ πνεύματος χαρισμάτων γενόμενον αὐτουργόν, οὐδὲν ἧττον, ἢ αὐτὸ τὸ πνεῦμα, καὶ ὁ ἀΐδιος αὐτοῦ προβολεύς. καὶ τοῦτο σαφῶς ἐκ τῶν ἱερῶν παρειλήφαμεν λογίων, ἑκάστην τῶν τριῶν ὑποστάσεων ἐνεργητικήν τε καὶ ἐνεργὸν τῆς ὠφελείας ἐκείνης καὶ τῆς ἐμπνεύσεως ἀποφηναμένων. περὶ μὲν γὰρ τοῦ πατρὸς, αὐτὴ φησὶν ἡ ἀλήθεια, Ὃν πέμψει

Ἰωάν. ιδ. „ὁ πατὴρ ἐν τῷ ὀνόματί μου. καὶ ἄλλον παράκλητον δώσει ὑμῖν. καὶ ὁ
πρὸς Τίτον γ. „θεῖος ἀπόστολος. Ἔσωσεν ἡμᾶς (φησὶ) διὰ λουτροῦ παλιγγενεσίας, καὶ
„ἀνακαινώσεως πνεύματος ἁγίου, οὗ ἐξέχεεν ἐφ' ἡμᾶς πλουσίως, διὰ Ἰη-
„σοῦ Χριστοῦ. ὁ δὲ μακάριος Πέτρος ἐν ταῖς πράξεσιν εἰπεῖν λέγεται
Πράξεις β. „περὶ τοῦ Χριστοῦ, Ὅτι τῇ δεξιᾷ τοῦ Θεοῦ ὑψωθείς, τήν τε ἐπαγγελίαν
„τοῦ ἁγίου πνεύματος λαβὼν παρὰ τοῦ πατρός, ἐξέχεε τοῦτο, ὃ νῦν ὑμεῖς
„βλέπετε καὶ ἀκούετε. καίτοιγε οὐ τὴν ὑπόστασιν τοῦ πνεύματος ἔβλεπόν
τε καὶ ἤκουον. οὐ δὲ τὴν δρᾶσιν ἐκείνης τῆς ὑποστάσεως, ὡς διετίθει τότε
τοὺς μαθητάς. οὐδὲ τὴν ἕξιν τὴν ἐγγινομένην σφίσιν ἀπὸ τῆς δρά-
σεως. ἀλλὰ τὴν ἐν τοῖς ἀποστόλοις διαπρέπουσαν χάριν, τοῦ τε λόγου, καὶ
τῶν θαυμάτων. ἣ τοῦ μὲν πνεύματος ἦν, ὡς δὴ ἐκεῖθεν ἐγγενομένη. πά-
θος δὲ τῶν ἀποστόλων, ἢ ἔργον ἦν, ὡς δι' αὐτῶν ἐνεργούμενον. οὗ δὴ χά-
ριν ἐβλέπετό τε καλῶς καὶ ἠκούετο, καὶ τῶν ὁρώντων τοῖς νοῦν ἔχουσιν, ἔν-
νοιάν τινα τῆς ἀφανοῦς καὶ πρώτης αἰτίας τῶν δρωμένων εἰσῆγε. περὶ δὲ
Κορινθ. α. „τοῦ θείου πνεύματος, ὁ θεῖος Παῦλος φησί. Ταῦτα δὲ πάντα ἐνεργεῖ ἓν
κεφ. ιβ. „καὶ τὸ αὐτὸ πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ καθὼς βούλεται. Ἐπεὶ δὴ
τοίνυν ἐκχέει μὲν τὸ πνεῦμα, τουτέστι τὰς τοῦ πνεύματος δωρεάς, ὁ πα-
τήρ. ἐκχέει δὲ ταύτας καὶ ὁ υἱός. ἐνεργεῖ ταύτας τὸ πνεῦμα καὶ διαι-
ρεῖ καθὼς βούλεται. ὡς δὴ φυσικοῦ τινος ἔργου καὶ κοινοῦ πρὸς τὴν κτί-
σιν, ὁμότιμως τε καὶ ὁμονοητικῶς προϊστάμενον, εἰκότως αὐτουργὸν τῆς δευ-
τέρας ἐκείνης προόδου καὶ χρονικῆς, καὶ τὸν υἱὸν τοῦ Θεοῦ κηρύττουσιν οἱ
διδάσκαλοι. καίτοι καὶ ταύτης ἀρχή τις ἄναρχος ἐστὶν ὁ πατήρ. ὃς
διὰ Ἰησοῦ Χριστοῦ τὸ πνεῦμα ἐξέχεε. καθάπερ καὶ τῶν ὄντων αἰτία τις
ἀναίτιός τε καὶ ἄναρχος αὐτὸς ἐστὶν ὁ πατήρ. ὃς δι' υἱοῦ τὰ ὄντα δεδημι-
ούργηκε. καὶ ἐν πνεύματι δέ, καθάπερ ἡ κτίσις ἐδημιουργήθη, οὕτω καὶ
τὰς θαυματουργίας ἐκείνας ὁ ἡμέτερος δεσπότης ἐποίει. ἐν γὰρ δακτύ-
λῳ Θεοῦ τοὺς δαίμονας ἐξέβαλεν. ἀλλ' οὐδὲν ἧττον ἀρχὴ πρώτη τῶν ἀ-
γαθῶν ἐκείνων ὑπόστασις ἑκάστη γέγονεν. ὥσπερ ἄρα καὶ τῆς πρώτης τῶν
ὄντων δημιουργίας, τῆς τάξεως ἣν ἔχουσιν αἱ ὑπερφυεῖς ὑποστάσεις ἐν ἑ-
αυταῖς καὶ πρὸς ἑαυτάς, κἂν αὐτῷ τῷ δημιουργεῖν, κἂν τοῖς ἔργοις τῆς

οἰκο-

οἰκονομίας, οὔτε πρὸς τὴν δημιουργίαν ἐπαρειδομένης, ὥστε ταύτην συνδιαιρεῖν. οὔτε πρὸς τὰς ἐκ τῆς θείας οἰκονομίας ἐπελθούσας ἡμῖν ὠφελείας. ἀλλὰ ταύτης μὲν ἀπαραποιήτου μενούσης, διαφερούσης δ' ἐν αὐταῖς οὐδὲν ἧττον τῆς ἄκρας ἑνότητος. ἥτις ἔν τε τῷ δημιουργεῖν, καὶ πᾶσι τοῖς οὐσιώδεσιν ἔργοις καὶ κοινοῖς, ἐκείναις ταῖς ὑπερφυέσιν ὑποστάσεσι πρόσεστιν. ἐντεῦθεν ὁ μέγας Βασίλειος ἐν τῇ πρὸς τὸν ἀδελφὸν Γρηγόριον ἐπιστολῇ, φησί. Ζητοῦντες δὲ εἰ ἐκ μόνου τοῦ ἁγίου πνεύματος ἡ τῶν Βασίλ.
ἀγαθῶν χορηγία τὴν ἀρχὴν λαβοῦσα, οὕτω παραγίνεται τοῖς ἀξίοις, πάλιν ἀπὸ τῆς θείας γραφῆς ὁδηγούμεθα, εἰς τὸν τῆς χορηγείας τῶν ἀγαθῶν τῶν διὰ τοῦ πνεύματος ἡμῖν ἐνεργουμένων, ἀρχηγὸν καὶ αἴτιον τὸν μονογενῆ Θεὸν εἶναι πιστεύειν. πάντα γὰρ δι' αὐτοῦ γεγενῆσθαι, καὶ ἐν αὐτῷ συνεστάναι, παρὰ τῆς ἁγίας γραφῆς ἐδιδάχθημεν. ὅταν τοίνυν καὶ πρὸς ἐκείνην ὑψωθῶμεν τὴν ἔννοιαν, πάλιν ὑπὸ τῆς θεοπνεύστου χειραγωγίας ἀναγόμενοι διδασκόμεθα. ὅτι ἐξ ἐκείνης μὲν πάντα τῆς δυνάμεως ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παράγεται. οὐ μὴν καὶ ἐξ ἐκείνης ἀνάρχως. ἀλλά τις ἐστὶ δύναμις, ἀγεννήτως καὶ ἀνάρχως ὑφεστῶσα. ἥτις ἐστὶν αἰτία τῆς πάντων τῶν ὄντων αἰτίας. ἐκ γὰρ τοῦ πατρὸς ὁ υἱὸς, δι' οὗ τὰ πάντα· ᾧ τὸ πνεῦμα τὸ ἅγιον ἀχωρίστως συνεπινοεῖται. Ὁ δὲ Κύριλλος ἐν τῷ δευτέρῳ τῶν προσφωνητικῶν. Ὁρᾷ φησὶ σαφῶς τε καὶ ἐναρ- Κύριλ.
γῶς ἐν τούτοις τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, δεχόμενον μὲν ἀνθρωπίνως τὸ πνεῦμα διὰ τὴν μετὰ σαρκὸς οἰκονομίαν. πλοῦτος γὰρ ὢν, ἐπτώχευσε δι' ἡμᾶς. βαπτίζοντα δὲ θεϊκῶς ἐν τῷ ἁγίῳ πνεύματι. τίνι γὰρ ἂν πρέποι, τὸ χορηγεῖν δύνασθαι τὴν τοῦ πνεύματος χάριν, πλὴν ὅτι τῷ φύσει τε καὶ ἀληθῶς ὄντι Θεῷ; καὶ οὐ μόνον δι' υἱοῦ τοῦτο χορηγεῖσθαι φησὶν ἐκ τοῦ πατρὸς· ἀλλὰ καὶ αὐτὸν τὸν υἱὸν τοῦτο χορηγεῖν. τουτέστι τὴν αὐτοῦ χάριν τοῖς ἀξίοις λαβεῖν ἐπιδαψιλεύεσθαι. καὶ πολλαχοῦ χορηγὸν τοῦ πνεύματος ἀποκαλεῖ τὸν υἱόν. ὥσπερ ὁ θεῖος Βασίλειος, ἀρχηγὸν τῆς χορηγίας, τῶν διὰ τοῦ πνεύματος ἐνεργουμένων ἡμῖν ἀγαθῶν. ἀρκέσει δὲ ἀντὶ πάντων εἰς μαρτυρίαν, ὅ φησιν ἐν τῷ εἰς τὰς Βασιλίδας προσφωνητικῷ λόγῳ. ἐν ᾧ σαφέστατα αὐτουργὸν τοῦ ἰδίου πνεύματος

τος

τος δωρεῶν ἀποφαίνεται τὸν υἱόν. κἀντεῦθεν εἰς τὸν ἀληθῆ Θεὸν συμπεραί-
Βασίλ. „νει ὡς τὸ τοῦ Θεοῦ ἔργον πράττοντα. φησὶ γάρ. Καίτοι τὸ μετόχους ἀπο-
„τελεῖν δύνασθαι τοῦ ἁγίου πνεύματος, πρέποι ἂν οὐκ ἀνθρώπῳ, πόθεν;
„Θεῷ δὲ μᾶλλον τῷ κατὰ φύσιν, ἐνεργεῖ μὲν τὰ τοῦ Θεοῦ καὶ πατρὸς ὁ υἱός,
„τὸ πνεῦμα διδοὺς αὐτός. ἀνθρωπίνη τοίνυν ἡ λῆψις. θεοπρεπὲς δὲ καὶ ὑπὲρ
„ἄνθρωπον, τὸ ἐξ ἰδίου πληρώματος καὶ εἰς ἕτερον ἐκχεῖν τὴν τοῦ πνεύμα-
„τος δόσιν. Θεὸς ἄρα ἐστὶν ἐν ἀνθρωπείᾳ μορφῇ πεφηνὼς ὁ λόγος. συνέ-
„δρός τε διὰ τοῦτο τῷ Θεῷ καὶ πατρί. καὶ ἔτι ὅ φησιν ἐν τῇ ἀναιρέσει τῶν
Ὁ αὐτός. „Νεστορίου βλασφημιῶν. Λόγου γὰρ ἐστὶ δοτὴρ ὡς λόγος καὶ πνεύματος
„χορηγός, ὡς ἴδιον ἔχων αὐτὸ φυσικῶς, καθὰ καὶ αὐτὸς ὁ πατήρ. ἅτε γοῦν τῆς
ἐγχρόνου ταύτης προόδου τοῦ πνεύματος, δι᾽ υἱοῦ τοῦτον γενομένης τὸν τρόπον, καὶ διὰ
τοῦ υἱοῦ καὶ ἐκ τοῦ υἱοῦ, φασὶ τὸ πνεῦμα προελθεῖν οἱ παρ᾽ ἡμῖν διδάσκαλοι.
ἐπειδὰν τῆς θεότητος τοῦ υἱοῦ, καὶ τῶν δι᾽ αὐτῆς ἔργων, ἢ τῆς τοῦ παναγίου πνεύματος
δόξης, πρὸς τοὺς θρασυμάχους ἐκείνους ὑπερμαχῶσι τῷ λόγῳ. ὧν οἱ μὲν,
τοῦ υἱοῦ τοῦ Θεοῦ ποίημα τὸ πνεῦμα ἐλήρουν, καὶ πάντη χεῖρον αὐτοῦ. καὶ
διὰ τοῦτο οὐκ ἐκ τῆς οὐσίας αὐτοῦ προϊόν. ἀλλ᾽ ἀποτελέσματι τῆς
ἐκείνου θελήσεως, ὃν τρόπον ἐκ τῆς πρώτης αἰτίας, ἡ κτιστὴ σύμπασα γέ-
γονε φύσις. οἱ δὲ τὸν Χριστὸν χωρίζοντες τοῦ υἱοῦ τοῦ Θεοῦ, κρεῖττον ἔλεγον
τοῦ Χριστοῦ τὸ πνεῦμα, καὶ ἐμπνέον αὐτὸν καὶ τελειοῦν ἔκ τινος ὑψηλο-
τέρας καὶ κρείττονος μοίρας, οὐκ ἔνδοθεν ἐνεργοῦν, καὶ διάκονον αὐτὸν ἐ-
ποίουν τῶν ἔργων τοῦ πνεύματος, οὐκ αὐτουργόν τε καὶ αἴτιον, καθάπερ αὐ-
τὸ τὸ πνεῦμα ἐστίν. ὡς ἁρμόττει τοῖς φυσικῶς τε καὶ οὐσιωδῶς συνημμένοις
καὶ ὁμοτίμοις. τούτων τοίνυν τῶν θεομάχων ἀναιροῦντες τοὺς λήρους, οὐσιω-
δῶς ἐκ τοῦ υἱοῦ φασὶ προϊέναι τὸ πνεῦμα, καὶ διὰ τοῦ υἱοῦ. καὶ τῆς ἐν πνεύ-
ματι χορηγίας τῶν ἀγαθῶν, ἀρχηγόν τε καὶ αἴτιον τὸν υἱὸν ἀποφαίνονται,
καθάπερ καὶ τὸν πατέρα. τοῦτο πλέον νέμοντες τῷ πατρί, ὅτι τὴν πρὸς
τὸν υἱὸν αὐτοῦ τάξιν, κἀν τοῖς τοιούτοις διαφυλάττουσι, καθάπερ ἐν πᾶσι
τοῖς κοινοῖς τῆς φύσεως ἔργοις. καὶ ἐκ πατρὸς δι᾽ υἱοῦ ἐν πνεύματι, τὴν
ἀνακαίνωσιν ἡμῶν καὶ τὴν παλιγγενεσίαν γεγονέναι φασί, τῷ θείῳ Παύ-
λῳ πειθόμενοι. καθάπερ ἄρα καὶ τὴν πρώτην ἡμῶν εἰς τὸ εἶναι παρα-

γωγήν

γωγὴν καὶ πάντων τῶν ὄντων, καὶ τῆς τοιαύτης τάξεως σωζομένης, ἐκ τοῦ πατρὸς μὲν καὶ τοῦ υἱοῦ φασὶν ὡρμηθῆναι πρὸς τὴν ἡμετέραν εὐεργεσίαν τὸ πνεῦμα· ὡς δὴ ἐκείνοις συνὸν ἀχωρίστως, καὶ ἐξ αὐτοῦ δὲ οὐδὲν ἧττον. ὡς δὲ φύσει, καὶ ἀξιώματι, καὶ βουλήσει, μηδαμῶς αὐτὸ ἐλαττούμενον. καὶ οὕτω τὴν ἡμετέραν ἀνάπλασιν, ὅλης τῆς θείας φύσεως ἔργον εἶναι κηρύττουσιν· εἰ καὶ τὴν οἰκονομίαν τῆς ἀναπλάσεως ταύτης ὁ θεῖος ὑπέστη λόγος, μόνος αὐτὸς προσωπικῶς συναφθεὶς τῷ προσλήμματι· καὶ τὸν αὐτὸν περὶ τοῦ υἱοῦ τοῦ Θεοῦ καὶ τοῦ ἡμετέρου δεσπότου Χριστοῦ λόγον ποιοῦνται· ἕνα καὶ τὸν αὐτὸν εἰδότες υἱὸν τοῦ Θεοῦ Χριστόν, ἀπεναντίας τοῖς τοῦ Νεστορίου λήρημασιν. ὅθεν καὶ ἐπὶ τοιαύτης χρείας τῶν λόγων, ἀδιαφόρως ταῖς προθέσεσι χρῶνται. κοινὸν ὅλης τῆς τριάδος ἔργον εἶναι τὴν ἡμετέραν σωτηρίαν εἰδότες· οἰκειότερον δὲ καὶ συνηθέστερον, τὴν διὰ πρόθεσιν τῷ υἱῷ τοῦ Θεοῦ νέμουσι. τὴν τάξιν τῶν θείων τιμῶντες προσώπων, κἀν τοῖς κοινοῖς ἔργοις, ὡς εἴρηται· διὰ τοῦτο φησὶν ὁ ἱερὸς Κύριλλος,

Κύριλ.

Ὅτε τοίνυν τὸ πνεῦμα τὸ ἅγιον ἐν ἡμῖν γενόμενον, συμμόρφους ἡμᾶς ἀποδεικνύει Θεοῦ, πρόεισι δὲ ἐκ πατρὸς καὶ υἱοῦ, εὔδηλον ὅτι τῆς θείας οὐσίας ἐστίν, οὐσιωδῶς ἐν αὐτῇ καὶ ἐξ αὐτῆς προϊόν. Ἐνταῦθα γὰρ δῆλον, ὅτι τὸ μὲν συμπέρασμα, περὶ τῆς τοῦ πνεύματος Θεότητος καὶ δόξης ἐστί, κατὰ τῶν αὐτῇ μαχομένων. ἡ δὲ πρότασις, τὴν ἐν ἡμῖν ἐπιδημίαν τοῦ πνεύματος ἔχει, καὶ τὴν ἐξ αὐτῆς γινομένην ἡμῖν ἀναμόρφωσιν· καὶ ἐν πρώτῳ τῶν πρὸς Παλλάδιον φησὶν ὁ αὐτός.

Ὁ αὐτός.

Ἆρ' οὖν ψυχὴ τῷ ἀνθρώπῳ τὸ θεῖον ἐγένετο πνεῦμα; καὶ πῶς οὐκ ἄτοπον κομιδῇ τὸ τῆδε νοεῖν; ἦ γὰρ ἂν ἄτρεπτος καὶ αὐτὴ που διαμεμένηκεν ἡ ψυχή, νῦν δὲ ἐστὶ τρεπτή. τρεπτὸν δὲ οὔτι που τὸ πνεῦμα ἐστίν. ἢ εἰ περὶ τὸ τρέπεσθαι νοσῇ, ἐπ' αὐτὴν ὁ μῶμος ἀναδραμεῖται τὴν θείαν οὐσίαν, εἴπερ ἐστὶ τοῦ Θεοῦ καὶ πατρός. καὶ μὴν καὶ τοῦ υἱοῦ οὐσιωδῶς ἐξ ἀμφοῖν· ἤγουν ἐκ πατρὸς δι' υἱοῦ προχεόμενον πνεῦμα. Πόθεν οὖν ἔλαβε τὴν τοῦ προχεῖσθαι λέξιν ὁ Κύριλλος; ἐκ τῶν ἀποστολικῶν ῥητῶν, ὧν ἔναγχος ἐμνημονεύσαμεν. διὰ τοῦτο καὶ ἐξ ἀμφοῖν φησίν. ἐκεῖ γὰρ καὶ ὁ πατὴρ ἐκχέειν τὸ πνεῦμα λέγεται, καὶ ὁ υἱός. καὶ πρὸς μείζω σαφήνειαν ἐπήγαγεν, ἤγουν ἐκ πατρὸς

Παῦλ. πρὸς Τίτον γ. δι' υἱοῦ· ὡς ἐκεῖ φησὶν ὁ θεῖος ἀπόστολος. Οὗ ἐξέχεεν ἐφ' ἡμᾶς πλουσίως
» διὰ Ἰησοῦ Χριστοῦ· οὐσιωδῶς δὲ φησὶν ἐκχεῖσθαι. τουτέστιν, οὐ κατὰ τὸν
τῆς θελήσεως τρόπον ἐξ αὐτῶν προϊέναι, καθάπερ τὰ κτίσματα. ἀλλὰ
συμφυῶς, καὶ ὥσπερ τινὰ καρπὸν τῆς θείας οὐσίας. ὃ ποιῶν ἐν θησαυ-
Ὁ αὐτός. » ροῖς ἐκδηλότερον ἔλεγεν. Οὐκοῦν εἴπερ ἐστὶ κατὰ φύσιν ἅγιον, οὐκ ἔξω-
» θεν ἔχει τὸ εἶναι τοιοῦτον. μᾶλλον δὲ αὐτὸ τῆς θείας οὐσίας ὑπάρχον ἐνέρ-
» γεια φυσική τε καὶ ζῶσα καὶ ἐνυπόστατος, προστίθησιν ἀεὶ τῇ κτίσει τὸ τέ-
» λειον, δι' ἁγιασμοῦ, καὶ τῆς πρὸς αὐτὸ μετοχῆς. Εἰ δὲ πρὸς τὸν υἱὸν
ἀποβλέπων, οὐσιωδῶς ἔλεγεν ἐξ αὐτοῦ καὶ δι' αὐτοῦ προχεῖσθαι τὸ πνεῦμα,
τῇ τοῦ υἱοῦ πάλιν συνειργάζετο δόξῃ τῷ λόγῳ τούτῳ. οὐ γὰρ κατὰ μέθεξιν
ἐνυπάρχον αὐτῷ φησίν, ἐξ αὐτοῦ καὶ δι' αὐτοῦ προχεῖται (καθὼς ἡ τῶν
αἱρετικῶν εἰπεῖν ἐτόλμησεν ἄνοια, ὀθνεῖον τε καὶ ἐπείσακτον τὸν ἐκ τοῦ
πνεύματος ἁγιασμὸν τῷ Χριστῷ, καθάπερ τινὶ τῶν ψιλῶν ἀνθρώπων, δι-
δοῦσα.) ἀλλ' οὐσιωδῶς ἐνυπάρχον αὐτῷ φησὶ καὶ συμπεφυκὸς καθάπερ
καὶ τῷ πατρί, καὶ οὐσιωδῶς ἐξ αὐτῶν προχεόμενον ἐνεργεῖ. ὥσπερ ἄρα
καὶ ἐν θησαυροῖς, τὴν τοῦ υἱοῦ θεότητα συμπεραίνων, οὕτω φησίν. Ὅτε
Ὁ αὐτός. » τοίνυν τὸ τοῦ πατρὸς πνεῦμα, καὶ τοῦ υἱοῦ πνεῦμα ἐστί, πῶς οὐ κατὰ φύσιν
» Θεὸς ἔσται, ὁ τοῦ κατὰ φύσιν ὄντος Θεοῦ καὶ πατρὸς ἔχων οὐσιωδῶς τὰ ἴδια
» καὶ ἐξαίρετα; καὶ ὃ φησὶν ἐνταῦθα οὐσιωδῶς, ἑτέρωθι φυσικῶς λέγει,
Ὁ αὐτός. » φάσκων περὶ τοῦ πνεύματος, Ὅτι φορέσει μᾶλλον φυσικῶς τὸ τῆς θείας
» οὐσίας ἀξίωμα. καὶ πολλαχοῦ δὲ ἄλλοθι τὰ τοιαῦτα φησίν· ἀλλὰ μὴν
καὶ καθάπερ ἐπὶ τῆς τῶν ὄντων δημιουργίας, οὐκ ἀποκληροῦται ἡ, διά.
πρόθεσις τῷ υἱῷ, ἡ δέ, ἐκ, τῷ πατρὶ δίδοται. (ἀντιμεθίστανται γὰρ κατά τε
τὴν φωνὴν ὁμοῦ καὶ τὴν σημασίαν αἱ προθέσεις αὗται, δεικνύντος τοῦ το-
καλῶς τοῦ ἱεροῦ Βασιλείου, γραφικαῖς ἀποδείξεσιν, ἐν πέμπτῳ τῶν πρὸς
Ἀμφιλόχιον αὐτοῦ κεφαλαίων.) οὕτω κἀπὶ τῆς τοῦ πνεύματος χορηγίας
αἱ προθέσεις αὗται, καλῶς τε καὶ ἀληθῶς ἐπαλλάττονται. καθάπερ ὁ
Ὁ αὐτός. » Κύριλλος ἐν τῷ ῥηθέντι προσφωνητικῷ φησίν. Ὅτι πρόεισι δι' ἀμφοῖν
» καὶ τὸ πνεῦμα τὸ ζωοποιοῦν· καίτοι πρότερον ἔλεγεν, ἤγουν ἐκ τοῦ πα-
τρὸς δι' υἱοῦ. ἀλλ' ἐκεῖ μέν, ἵνα τὴν τάξιν τῶν θείων προσώπων δηλώσῃ

καὶ

καὶ αὐτῇ τῇ τοῦ πνεύματος χορηγίᾳ· δι' ἧς ὁ υἱὸς τοῦ Θεοῦ μετὰ τοῦ πατρὸς καὶ τοῦ πνεύματος ἐνήργει τὰ τῆς ἡμετέρας φύσεως τὴν βελτίωσιν. ἐνταῦθα δὲ, ἵνα τὸ ἀδιάφορον δηλώσῃ τῆς ἐνεργείας, ὅτι μίαν καὶ αὐτὴν ἀπαραλλάκτως ἐνήργουν ἄμφω ἐνέργειαν. κοινὴν οὖσαν πρὸς ἡμᾶς εὐεργεσίαν τοῦ ἑνὸς τρισυποστάτου Θεοῦ. καὶ ἡ τῶν προθέσεων τούτων ἀντιμετάστασις, ἀληθής ἐστιν ἐπὶ τῆς τοῦ πνεύματος χορηγίας, καθάπερ ἐπὶ τῆς πρώτης τῶν ὄντων δημιουργίας. διότι τοῦ αὐτοῦ καθόλου λόγου καὶ γένους ἐστὶν, ἥ τε πλάσις ἡμῶν, καὶ ἀνάπλασις, καὶ ἡ πρὸς τὸ ἡμέτερον γένος κηδεμονία, καὶ ἡ τοῦ παντὸς δημιουργία καὶ σύστασις. ἑκατέρωθι γὰρ, ἥ τε θεία φύσις ἐνεργεῖ κατὰ τὴν ἑαυτῆς πανάγαθον βούλησιν, καὶ ἑκάστη τῶν ὑποστάσεων ὁλικῶς ἐνεργεῖ, καὶ ἐπίσης ταῖς ἄλλαις, καὶ πᾶσαι ὁμοῦ μία εἰσὶν ἀρχὴ τῆς ἑκατέρωθεν ἡμῖν ἡκούσης εὐεργεσίας ἐπίσης. τοῦτο δὲ, οὐκ ἂν εἴη ἀληθὲς, ἐπὶ τῆς τοῦ πνεύματος ὑπάρξεως. οὐσιωδῶς γὰρ ἡ τοῦ πνεύματος ὕπαρξις, καὶ ἡ διὰ τοῦ πνεύματος ἡμῶν ἀνακαίνωσις, ἢ πλάσις τὴν ἀρχὴν καὶ ἐμψύχωσις, διενηνόχατον.* καὶ εἴ τις ἐστὶ τούτου τοῦ τρόπου τῆς διακρίσεως ἰσχυρότερος. ταῦτα δὲ πάντα καὶ ὁ Νύσσης Γρηγόριος, ἐν τῷ πρὸς Ἀφλάβιον λόγῳ καλῶς βεβαιοῖ.

Γρήγ. Νύσ.

Πᾶσαν γὰρ φησὶν ἐνέργειαν ἡ θεόθεν ἐπὶ τὴν κτίσιν ἡμῖν διήκουσα, καὶ κατὰ τὰς πολυτρόπους ἐννοίας ὀνομαζομένην, ἐκ πατρὸς ἀφορμᾶται, καὶ » διὰ τοῦ υἱοῦ πρόεισι, καὶ ἐν τῷ πνεύματι τῷ ἁγίῳ τελειοῦται. διὰ τοῦ- » το εἰς τὸ πλῆθος τῶν ἐνεργούντων, τὸ ὄνομα τῆς ἐνεργείας οὐ διασχίζε- » ται. ὅτι οὐκ ἀποτετμημένη ἑκάστου καὶ ἰδιάζουσα ἐστὶν, ἡ περί τι » σπουδή. ἀλλ' ὅπερ ἂν γένηται τῶν εἴτε εἰς τὴν ἡμετέραν πρόνοιαν φθα- » νόντων, εἴτε πρὸς τὴν τοῦ παντὸς οἰκονομίαν καὶ σύστασιν, διὰ τῶν τριῶν μὲν γίνεται· » οὐ μὴν τρία ἐστὶ τὰ γινόμενα· καὶ μετ' ὀλίγα.

Ὁ αὐτός.

Εἰ δὲ πᾶν ἀγαθὸν πρᾶγμα » καὶ ὄνομα τῆς ἀνάρχου δυνάμεώς τε καὶ βουλῆς ἐστὶν ἐξημμένον ἐν τῇ δυνάμει » τοῦ πατρός. διὰ δὲ τοῦ μονογενοῦς Θεοῦ, ἀχρόνως τε καὶ ἀδιαστάτως εἰς τελείωσιν » ἄγεται. οὐδὲ μιᾶς παρατάσεως ἐν τῇ τοῦ θείου βουλήματος κινήσει ἀπὸ τοῦ » πατρὸς διὰ τοῦ υἱοῦ ἐπὶ τὸ πνεῦμα γινομένης, ἢ νοουμένης. καὶ τὰ ἑξῆς. »

Ἐπὶ δὴ τῆς τοιαύτης χρείας (ὅπερ ἔφθην εἰπὼν) καὶ Κύριλλος ὁ ἱερὸς »

καὶ σύμπας ὁ τῶν ἱερῶν διδασκάλων κύκλος, καὶ διὰ τοῦ υἱοῦ, φασὶ προϊέναι τὸ πνεῦμα, καὶ ἐκ τοῦ υἱοῦ, καὶ δι᾽ ἀμφοῖν. καὶ ἀδιαφόρως ταῖς προθέσεσι χρῶνται. καὶ ἀρχηγὸν καὶ αἴτιον τὸν υἱὸν νοοῦσι τῆς τοιαύτης προόδου, οὐδὲν ἧττον, ἢ τὸν πατέρα. καὶ μίαν ἐκ τῆς τοιαύτης τοῦ πνεύματος χορηγίας ἡμῖν ἐγγίνεσθαι χάριν, ἐκ τῶν τριῶν ὑποστάσεων λέγουσι· καὶ οὕτω τὰς τῶν αἱρετικῶν ἀντιθέσεις λύουσιν. ἃς ἐκ τῆς οἰκονομίας ἐκεῖνοι, πρὸς τὴν θεολογίαν ἐκίνουν τοῖς ἀνθρωπίνως τε καὶ σωματικῶς εἰρημένοις, ἢ πεπραγμένοις, περὶ τοῦ υἱοῦ καὶ πνεύματος διὰ τὴν τῆς οἰκονομίας ἀνάγκην, τὰς θεοπρεπεῖς περὶ τῶν θείων ὑποστάσεων ἐννοίας ἐκβάλλοντες.

ΚΕΦΑΛΑΙΟΝ κ.

Ὅπως ἐλέγχονται οἱ τὸν σκοπὸν τῶν διδασκάλων οὐ συνορῶντες. καὶ διὰ τοῦτο τὴν χρονικὴν ἀποστολὴν, καὶ τὴν ἀΐδιον πρόοδον, τὴν αὐτὴν εἶναι λέγοντες.

Ἣν δὲ χρείαν οὐ συνορῶντες ἔνιοι, οὐδὲ τῷ σκοπῷ παρακολουθοῦντες τῶν διδασκάλων, εἰς τὴν ἀΐδιον τοῦ πνεύματος ὕπαρξιν τὰς τοιαύτας ἕλκουσι ῥήσεις. οἱ μὲν, ὑπ᾽ ἀγνοίας. οἱ δὲ, ἐθελοκακοῦντες. ὧν τῇ τε ἀγνοίᾳ βοηθοῦντες, καὶ τὴν πονηρίαν ἐλέγχοντες, τὸν παρόντα λόγον ἐνεστησάμεθα. τί γάρ φασιν; ἡ χρονικὴ πρόοδος, καὶ ἡ ἀΐδιος, ἕν ἐστι. καὶ διὰ τοῦτο, ἐξ οὗ ἂν τὸ πνεῦμα πρόεισι χρονικῶς, καὶ ἀϊδίως ἐξ αὐτοῦ πρόεισιν. ὢ τῆς ματαιότητος. καὶ πῶς ἂν οἷόν τ᾽ εἴη, τὸ ἔγχρονον ταὐτὸν εἶναι τῷ ἀϊδίῳ; εἰ μὴ καὶ τὸ πεπερασμένον, τῷ ἀπείρῳ, ταὐτὸν εἶναι λέγουσι. καὶ τῷ προδήλῳ, τὸ ἀφανές. καὶ τῷ καταληπτῷ, τὸ ὑπὲρ κατάληψιν. ἀλλ᾽ ἑνός φησιν ὄντος τοῦ πνεύματος, ὃ χρονικῶς τε πρόεισι καὶ ἀϊδίως, ἀνάγκη καὶ τὰς προόδους, μίαν εἶναι. οὐκ ἀνάγκη, ἕως ἂν καὶ ὁ υἱὸς τοῦ Θεοῦ ὁ Χριστὸς, εἷς ὤν, δυσὶ γεννήσεσιν, οὐ ταῖς αὐταῖς γεγεννῆσθαι πιστεύηται. μᾶλλον δὲ καὶ

παντά-

παντάπασι διαφόροις. ὅτι ἡ μὲν, ἡ ὑψηλή τε, καὶ πρώτη, καὶ ἀΐδιος, καὶ
τῆς θεότητος εἶναι λέγεται. δι' ἣν εἴρηται, καὶ ἐν ἀρχῇ εἶναι πρὸς τὸν ,, Ἰωάν. α.
Θεὸν, καὶ Θεὸς εἶναι· καὶ πρὸ τοῦ τὸν κόσμον εἶναι, δεδοξάσθαι παρὰ τῷ ,, Ἰωάν. ιζ.
πατρί. ἡ δὲ, ταπεινὴ, καὶ δευτέρα, καὶ ἔγχρονος, καὶ τῆς σαρκὸς εἶναι λέ-
γεται, καὶ δι' οἰκονομίαν γεγενημένη. περὶ ἧς εἴρηται, σὰρξ γεγενῆσθαι ὁ ,, Ἰωάν. α.
λόγος. καὶ περὶ ἧς φησὶν ὁ Σωτὴρ αὐτὸς πρὸς τὸν Θεὸν καὶ πατέρα· ὅτι σύ ,, Ἰωάν. ιζ.
με ἀπέστειλας· καὶ ἐξ ἧς ἀνεληλυθέναι λέγεται καὶ πεπίστευται, ἐπεὶ καὶ ,, Ἐφεσ. δ.
ἐξ οὐρανοῦ καταβεβηκέναι. δι' αὐτὴν εἴρηται ἄρτος ζωῆς. καὶ συλλαμ- ,, Ἰωάν. ϛ.
βάνων αὖθις τὰς δύο γεννήσεις. ἐγὼ γὰρ ἐκ τοῦ Θεοῦ ἐξῆλθον φησὶ καὶ ἥ- ,, Ἰωάν. η.
κω. οὐ τὴν ἐκ μητρὸς ἀρνούμενος γέννησιν. οὐ δὲ κατὰ ταύτην τὴν γέν-
νησιν ἐκ τοῦ πατρὸς εἶναι δεικνεὶς, ἀλλὰ τὴν ἐν τῷ Θεῷ προὔπαρξιν,
καὶ ἀΐδιον ὕπαρξιν ἐπιδεικνύων ἡμῖν φυσικὴν οὖσαν, ὡς ἐν πατρί τε καὶ
ἐκ πατρός. μεθ' ἣν καὶ χρονικῶς ἧκε, τῇ κάτω γεννήσει πρὸς τὸ φανῆναι καὶ
γνωρισθῆναι καὶ τὴν ἄλλην οἰκονομίαν ἀληθῶς τελέσαι, χρησάμενος. Εἰ
τοίνυν ἑνὸς ὄντος τοῦ ἡμετέρου δεσπότου, δύο γεννήσεις εἰσὶ, καὶ οὕτω πα-
ρηλλαγμέναι. πῶς αἱ τοῦ πνεύματος πρόοδοι, μία ἔσονται, διὰ τὸ ἓν εἶ-
ναι καὶ τὸ πνεῦμα; εἰ δὲ τὴν διπλῆν ἐν τῷ Χριστῷ φύσιν αἰτιῶνται τοῦ
πράγματος, οὐδὲν ἐστὶ πρὸς τὸν λόγον. οὐ γὰρ ἀνάγκη πάντως ἦν καὶ
γεννηθῆναι τὸ πνεῦμα, εἴγε μηδὲ ἀϊδίως γεγέννηται. ἀλλ' ἡμῖν ἀρκεῖ τὸ
πεμφθῆναι, καθάπερ ἐπέμφθη καὶ ὁ υἱὸς τοῦ Θεοῦ, καὶ κατελθεῖν, καὶ φανῆ-
ναι, καὶ καθίσαι, καὶ τὰ τοιαῦτα· ἃ περὶ αὐτοῦ, καθόσον ἐν εἴδει σωματι-
κῷ πεφανέρωται, λέγεται. εἰ καὶ μὴ γένοιεν ὅπερ ἐφάνη. καθάπερ ὁ λό-
γος σὰρξ ἐγένετο. κατὰ δὲ τὴν θεότητα αὐτοῦ καὶ τὴν φύσιν, οὐδὲν αὐ-
τῷ τῶν ῥημάτων ἐκείνων ἐπαληθεύεται, ἀλλ' οὐδ' ἀνάγκη τὸ πνεῦμα
ἀϊδίως ἐκ τοῦ υἱοῦ προϊέναι. διότι κατὰ τὴν χρονικὴν αὐτοῦ πρόοδον, ἐκ
τοῦ υἱοῦ προϊέναι λέγεται, κατὰ ταύτην τὴν πρόοδον. τοῦτο γὰρ τὸ ἔρ-
χεσθαι αὐτό. ἀλλὰ κατ' ἐκείνην τὴν πρόοδον καθ' ἣν ἔχει τὸ εἶναι ἀϊ-
δίως, οὐ πρόεισιν ἐξ ἑαυτοῦ. ἀλλ' αἰτιατόν ἐστὶ, καὶ ἐκ τοῦ πατρὸς ἐκπο-
ρεύεται. ἔτι δὲ καὶ ὁ υἱὸς ἐκ τοῦ πατρὸς προϊέναι καὶ πέμπεσθαι λέγεται
παρὰ τῆς γραφῆς χρονικῶς, ἀλλ' οὐκ ἂν καὶ ἀϊδίως λέγοιτο πέμπεσθαι.

Ὅτι δὲ ὁ υἱὸς τοῦ Θεοῦ καὶ ἐκ τοῦ πνεύματος ἀπέσταλται, ὁ μακάριος Ἀναστάσιος ἐν τῷ περὶ τῶν ὀρθῶν τῆς Ἐκκλησίας δογμάτων παραδίδωσι
Ἀναστάσ. » λόγῳ. φησὶ γάρ. Ἐπεὶ καὶ αὐτὸν τὸν υἱὸν ἀπεστάλθαι μανθάνομεν, οὐ » μόνον παρὰ πατρὸς, ἀλλὰ καὶ παρὰ τοῦ ἁγίου πνεύματος. ὡς αὐτὸς ἔφη
Ἡσαΐ. μ. η. διὰ Ἡσαΐου, καὶ νῦν κύριος ἀπέσταλκέ με καὶ τὸ πνεῦμα αὐτοῦ. Εἰ δὲ διὰ τὴν οἰκονομίαν ἀπεστάλθαι λέγεται, δι' ἣν καὶ ἡ τῆς σαρκὸς πρόσληψις ᾠκονομήθη τῷ τοῦ Θεοῦ λόγῳ. καὶ τὸ πνεῦμα λοιπὸν διὰ τὴν οἰκονομίαν ἐκ τοῦ υἱοῦ ἀπεστάλθαι λέγεται, δι' ἣν καὶ ὡς περιστερὰ ὤφθη, καὶ ὡς πῦρ. κατὰ τοῦτο γὰρ ἀπεστάλθαι τὸ πνεῦμα εἴρηκεν ἡ γραφὴ παρὰ πατρὸς καὶ υἱοῦ, καθ' ὅσον αὐτὸ σωματικῷ εἴδει, νῦν μὲν, ὡς περιστερὰ ἐν τῷ βαπτίσματι. νῦν δὲ, ὡς πῦρ. καὶ τοῦτο οὐχ ἡμεῖς, Αὐγουστῖνος ἐστὶν ὁ λέγων ἐν πέμπτῳ τοῦ περὶ Τριάδος δευτέρου. εἰ δὲ
Βασιλ. » τὸν μέγαν ἡμῖν ἐπισείουσι Βασίλειον, οὐκ ἐν χρόνῳ λέγοντα πρόεισι τὸ » προϊὸν ἐκ Θεοῦ, κἂν ἐν χρόνῳ τὰς ἐνεργείας ἀποδιδῷ, λανθάνουσιν ἑαυτοὺς τῷ τοῦ Βασιλείου κλείνοντες ξίφει. οὐ γὰρ ἀρνεῖται τὰς χρονικὰς ἐκεῖ προόδους τῶν θείων ὑποστάσεων ὁ μέγας Βασίλειος. οὐδὲ ταὐτὸν εἶναι λέγει τὴν χρονικὴν ἀποστολὴν, καὶ τὴν ἀΐδιον ὕπαρξιν τοῦ θείου προσώπου. ἀλλὰ τῶν αἱρετικῶν κτίσμα λεγόντων εἶναι τὸ πνεῦμα, καὶ τὸν υἱὸν, διὰ τὸ χρονικῶς ἀπεστάλθαι, καὶ χρονικῶς τινὰ ἐνεργεῖν. καὶ τοῖς ῥήμασιν ἐκείνοις, δι' ὧν χρονικόν τι σημαίνεται ἐν τῇ γραφῇ περὶ τοῦ υἱοῦ καὶ τοῦ πνεύματος, ἐπὶ ὑφέσει τῶν θείων προσώπων παραχρωμένων, αὐτός φησι τὴν χρονικὴν ἐκείνην ἀποστολὴν, μηδὲν προσίστασθαι τῇ ἀχρόνῳ προόδῳ τῶν ὑποστάσεων, καὶ τῷ τῆς θεότητος ἀξιώματι. καὶ αὐτὴ γὰρ ἡ χρονικὴ τῶν θείων προσώπων ἀποστολὴ, ἄχρονός ἐστι τρόπον ἕτερον. ὅτι ὁ Θεὸς οὔτε ἐν χρόνῳ ἐστὶν, οὔτε χρόνου δεῖται οὐ μόνον πρὸς τὸ εἶναι, ἀλλ' οὔτε πρὸς τὸ δημιουργεῖν. ποιεῖ γὰρ καὶ αὐτὸν τὸν χρόνον οὐκ ἐν χρόνῳ δήπου. καὶ τ' ἄλλα δὲ οὕτως οὐκ ἐν χρόνῳ ποιεῖ. εἰ καὶ ἕκαστον τῶν γινομένων ὑπὸ Θεοῦ, μετὰ τὸ ὑποστῆναι τὸν χρόνον ἔγχρονον ἐστὶν, ὡς οὐ συναΐδιον τῷ Θεῷ, ἀλλ' ἐν τοῖς τοῦ χρόνου καὶ τῶν προσκαίρων πραγμάτων περιεχόμενον ὅροις, καὶ διὰ τοῦτο καὶ ὁ πατὴρ

ἀχρόνως

ἀχρόνως τὸν υἱὸν πέμπει. καὶ ὁ υἱὸς ἀχρόνως ἐκ τοῦ πατρὸς ἀποστέλλεται. ὡσαύτως δὲ καὶ τὸ πνεῦμα. οὐ διὰ τὴν ἀΐδιον μόνον βουλὴν τοῦ Θεοῦ περὶ τῶν ἔργων τῆς αὐτοῦ ἀγαθότητος. ἀλλὰ δὴ καὶ κατ' αὐτὴν τὴν τῶν τοιούτων ἔργων παραχείρισιν. ἀχρόνως γὰρ ποιεῖ πάντα ταῦτα ὁ Θεός· οὐχ ὅτι ἀϊδίως ταῦτα εἰσὶν ἐν ἑαυτῷ, ἀλλ' ὅτι πρὸς τὸ ταῦτα ποιεῖν, οὐ δεῖται χρόνου. οὐδὲ συμπαρατεινομένην ἔχει τῇ συνεχείᾳ τοῦ χρόνου, τὴν συνέχειαν τῆς κινήσεως, οὐδὲ συμμεμετρημένην οὐδαμῇ οὐδαμῶς· ὥσπερ ὁ μέγας οὗτος αὖθις ἐν τοῖς αὐτοῖς περὶ τοῦ πνεύματος λέγει.

Ὅτι ἑκάστῳ τῶν ἀξίων δίδωσιν ἑαυτό, καὶ ἐν παντὶ ὅλον ἐστίν, οὐ καταμεριζόμενον, ἐνεργεῖ μέντοι οὐκ ἐν πᾶσι ὁμοίως· καὶ ἐν ἑκάστῳ πάρεστι τόπῳ, καὶ πανταχοῦ ὁμοίως ἐστί. καὶ οὐδαμοῦ ἐστιν ὡς τὰ τοῦ τόπου δεόμενα καὶ συντηρούμενα τόπῳ, ἢ ὁριζόμενα. διὰ τοῦτο φησίν, ὅτι τὸ προϊὸν ἐκ Θεοῦ, κἂν ἐν χρόνῳ τὴν ἐνέργειαν ἀποδίδωσιν, οὐκ ἐν χρόνῳ πρόεισιν ἐκ Θεοῦ. Βασιλ.

Τοῦτο δὲ καὶ ἡμεῖς φαμέν· ὅτι τὸ πνεῦμα τὸ ἅγιον προϊὸν ἐκ τοῦ Θεοῦ πρὸς ἡμᾶς, καὶ ἀποστελλόμενον, ἐν χρόνῳ τὴν ἐνέργειαν ἀποδίδωσιν. ἡ γὰρ διὰ τῆς αὐτοῦ μετοχῆς ἀνακαίνισις ἡμῶν, καὶ ἀνάπλασις, ἐν χρόνῳ δήπου ἐστίν· ὡς καὶ ἡμῶν ἐν χρόνῳ τε ὄντων, καὶ χρόνῳ ταύτης ἀπολαυόντων. αὐτὸ μέντοιγε, ἐπειδὰν ἐκ τοῦ Θεοῦ πρὸς ἡμᾶς προΐοι, οὐκ ἐν χρόνῳ πρόεισιν· οὐ γὰρ δεῖται χρόνου. ὥσπερ οὐ πρὸς τὸ εἶναι, οὕτως οὐδὲ πρὸς τὸ ἐνεργεῖν. τὸ δὲ τὴν εἰς ἡμᾶς τοῦ πνεύματος πρόοδον, ἥτις κοινὴ ἐστὶν ὅλης τῆς θεότητος πρόοδος, ὡς μίαν τινὰ χάριν ἐκ πατρὸς δι' υἱοῦ ἐν πνεύματι φέρουσα ἡμῖν καὶ διδοῦσα κατὰ τὸν ἱερὸν Ἀθανάσιον. Τὸ τοίνυν ταύτην τὴν πρόοδον, αὐτὴν εἶναι λέγειν τὴν εἰς ἑαυτὸ τοῦ πνεύματος πρόοδον ἐκ τοῦ πατρός, οὔθ' ὁ μέγας λέγει Βασίλειος, οὔθ' ἡμεῖς λέγομεν, οὔτε τὶς εὐσεβεῖν φροντίζων ἐρεῖ.

ΚΕ-

ΚΕΦΑΛΑΙΟΝ κα.

Ὅτι περὶ τῆς ἀϊδίου καὶ ὑπαρκτικῆς προόδου τοῦ πνεύματος οἱ διδάσκαλοι λέγοντες, ἐκ τοῦ πατρὸς αὐτὸ διωρισμένως πάντες φασὶν ἐκπορεύεσθαι. καὶ οὐδεὶς ἐκ τοῦ υἱοῦ.

Ἐπὶ μὲν οὖν τῆς χρείας ἐκείνης (ὅπερ ἔφθην εἰπὼν) τουτέστιν ἐπειδὰν τὴν χρονικὴν ἀποστολὴν τοῦ πνεύματος ἀνυμνῶσι, καὶ τὴν δι' ἐκείνης ἐνέργειαν, ἐκεῖνα περί τε τοῦ υἱοῦ, καὶ τοῦ πνεύματος λέγουσιν οἱ διδάσκαλοι, ὅσα προλαβόντες εἰρήκαμεν. ἀλλ' ἐπειδὰν περὶ τῆς ἀϊδίου τῶν θείων προσώπων ὑπάρξεως, καὶ τάξεως αὐτῶν, καὶ ἰδιότητος, πραγματεύωνται, τὴν ἀληθῆ τῆς πίστεως ἐκτιθέμενοι δόξαν· (ἐπείπερ ἐχρῆν αὐτούς ποτε τῷ λόγῳ διδόναι σχολὴν τῶν πρὸς τοὺς ἐναντίους ἀγώνων, καὶ τὴν εἰλικρινῆ περὶ τῶν θείων δόξαν, τοῖς τῆς ἀληθείας φίλοις ἐκτίθεσθαι) τότε τὴν ἀΐδιον τοῦ πνεύματος ὕπαρξιν, οὐδαμῶς ἐκ τοῦ υἱοῦ μὲν λέγουσιν. ἀλλ' ἐκ τοῦ πατρὸς διωρισμένως εἶναι φασί· καίτοι δοκοῦσιν αὐτῶν ἔνιοι, κατὰ τὴν ἀΐδιον ἐκ πατρὸς διὰ υἱοῦ τιθέναι, καὶ ἀϊδίως ἐκ πατρὸς διὰ υἱοῦ προϊέναι τὸ πνεῦμα θεολογεῖν. ἀλλὰ τὰς μὲν ῥήσεις ἐκείνας τῶν διδασκάλων, ἐν αἷς διὰ τοῦ υἱοῦ τὸ πνεῦμα κατὰ τὴν ἀΐδιον πρόοδον δοκεῖ προϊέναι, μετὰ ταῦτα προχειρισάμενοι, τὸν ἀληθῆ καὶ γνήσιον ὡς οἷόν τε καὶ ἐν ἐκείναις τῶν διδασκάλων ἀνιχνεύσωμεν νοῦν. νῦν δὲ τί περὶ τῆς τοῦ πνεύματος ὑπάρξεώς τε καὶ ὑποστάσεως, ἣν ἐκ τοῦ πατρὸς ἔχει, θεολογοῦσι κοινῶς οἱ διδάσκαλοι καὶ συμφώνως, ἐπισκεπτέον. τῆς γὰρ ἀϊδίου προόδου τοῦ πνεύματος, καθ' ἣν ἰδιοσυστάτως ὑφέστηκε, καὶ προσωπικῶς, ὅθεν τε ἐστὶ τὴν ἀρχὴν, καὶ πῶς ὁ υἱὸς πρὸς αὐτὴν ἔχει, παρ' αὐτῶν τῶν διδασκάλων φανερωθείσης ἡμῖν καθ' ὅσον δήπουθεν ἐγχωρεῖ, τότε δὴ λοιπὸν, καὶ πῶς ἐστὶ τὸ πνεῦμα διὰ υἱοῦ καταμαθεῖν δυνησόμεθα. καὶ τῷ σκοπῷ τῶν τοῦτο εἰπόντων προσφῦναι καλῶς. Βασίλειος τοίνυν ὁ μέγας τῆς ἀληθείας διδάσκα-

διδάσκαλος, ἐν τῇ πρὸς τὸν ἀδελφὸν ἐπιστολῇ, τὰς γνωριστικὰς ἰδιότητας τῶν θείων προσώπων παραδιδοὺς, ἀπὸ τοῦ πνεύματος ἀρξάμενος, οὕτω φησίν· (Βασίλ.) Ἐπειδὴ τοίνυν τὸ ἅγιον πνεῦμα, ἀφ' οὗ πᾶσα ἡ τῶν ἀγαθῶν χορηγία πηγάζει, τοῦ υἱοῦ μὲν ἤρτηται, ᾧ ἀδιαστάτως συγκαταλαμβάνεται, τῆς δὲ τοῦ πατρὸς οὐσίας ἐξημμένον ἔχει τὸ εἶναι, ὅθεν καὶ ἐκπορεύεται. τοῦτο γνωριστικὸν τῆς κατὰ τὴν ὑπόστασιν ἰδιότητος σημεῖον ἔχει, τὸ μετὰ τὸν υἱὸν καὶ σὺν αὐτῷ γνωρίζεσθαι, καὶ ἐκ τοῦ πατρὸς ὑφεστάναι. Ὁ δὲ υἱὸς τὸ ἐκ τοῦ πατρὸς ἐκπορευόμενον πνεῦμα, δι' ἑαυτοῦ καὶ μεθ' ἑαυτοῦ γνωρίζων, μόνος μονογενῶς ἐκ τοῦ ἀγεννήτου φωτὸς ἐκλάμψας, οὐδὲ μίαν κατὰ τὸ ἰδιάζον τῶν γνωρισμάτων τὴν κοινωνίαν ἔχει πρὸς τὸν πατέρα, ἢ πρὸς τὸ πνεῦμα τὸ ἅγιον, ἀλλὰ τοῖς εἰρημένοις σημείοις μόνοις γνωρίζεται. Ὁ δ' ἐπὶ πάντων Θεὸς ἐξαίρετόν τι γνώρισμα τῆς ἑαυτοῦ ὑποστάσεως, τὸ πατὴρ εἶναι, καὶ ἐκ μηδεμιᾶς αἰτίας ὑποστῆναι, μόνος ἔχει· καὶ διὰ τούτου πάλιν τοῦ σημείου, καὶ αὐτὸς ἰδιαζόντως ἐπιγινώσκεται. Τοῦτο μὲν οὖν τὸ ῥητὸν, οὐδὲ μιᾶς ἐπεξεργασίας δεῖται. οὐδὲ μιᾶς ἀναπτύξεως· αὐτόθεν γὰρ σαφές ἐστιν· ὅτι τὴν ὑπόστασιν τοῦ πνεύματος, εἴτ' οὖν ὕπαρξιν, ἐκ τοῦ πατρὸς εἶναι λέγει διωρισμένως, τοῦ δὲ υἱοῦ ἠρτῆσθαι μὲν αὐτὸ διὰ τὴν παραδιδομένην τάξιν καὶ τὴν διάκρισιν, καὶ μετὰ τὸν υἱὸν εἶναι. σὺν αὐτῷ δὲ γνωρίζεσθαι, καὶ ἀδιαστάτως αὐτῷ συγκαταλαμβάνεσθαι, διὰ τὴν ἄκραν τῆς οὐσίας ἑνότητα. καὶ ἵνα μηδεὶς ἔχῃ συκοφαντεῖν, δὶς ἐπαναλαμβάνει τὰ αὐτὰ περὶ τοῦ πνεύματος. πρῶτον μὲν, ὡς ὑποθέσεις τῆς πίστεως ἀναντιρρήτως ταῦτα τιθείς. εἶτα συνάγων ἐκ τούτων ἄθροον τὴν τοῦ πνεύματος ἰδιότητα, ᾗ τῶν ὁμοφυῶν προσώπων κεχώρισται, καὶ ἐκ τοῦ πατρὸς μὲν ὑφεστάναι διωρισμένως αὐτό φησι. διότι τῆς τοῦ πατρὸς αἰτίας ἐξημμένον ἔχει. οὕτω γὰρ ἤκουσεν ἐκεῖνος τὸ ἐκ πατρὸς ἐκπορεύεσθαι. μετὰ τὸν υἱὸν δὲ εἶναι, καὶ σὺν αὐτῷ. διότι τοῦ υἱοῦ ἤρτηται, ᾧ ἀδιαστάτως συγκαταλαμβάνεται. ἠρτῆσθαι δὲ καὶ συγκαταλαμβάνεσθαι τῷ υἱῷ τοῦτο λέγει, ἵνα καὶ τὴν τοῦ Σαβελλίου σύγχυσιν φύγῃ, καὶ τὴν τοῦ Ἀρείου διαίρεσιν. μᾶλλον δὲ ἵνα ἐκδιδάξῃ φεύγειν ἡμᾶς, ὡς ἐν αὐτῇ τῇ ἐπιστολῇ φησιν. Ὅτι

Ὁ αὐτός. „ ἀκολούθως μὲν κατὰ τὴν τάξιν, συνημμένως δὲ κατὰ τὴν φύσιν τῶν τριῶν
„ κατὰ ταὐτὸ συγκεκραμένην τὴν πίστιν ἀνατυπούμεθα. Τούτῳ σύμφωνα
καθάπαξ καὶ ἀδελφὰ, ὁ ἱερὸς λέγει Γρηγόριος ἐν τοῖς πρὸς Εὐνόμιον ἀν-
τιρρητικοῖς, περὶ τῶν θείων προσώπων, καὶ τῆς ἐνώσεως αὐτοῖς ἀδια-
Γρηγ. Νύσ. στάτως μιᾶς οὐσίας, τὸν λόγον ποιούμενος· φησὶ γάρ. Εἰ οὖν ἐν τῇ ἀκ-
„ τίστῳ φύσει νοεῖται τὰ θαυμαστὰ πράγματά τε καὶ νοήματα, ὁ πατὴρ, καὶ ὁ
„ υἱὸς, καὶ τὸ πνεῦμα τὸ ἅγιον. πῶς ἔσται δυνατὸν, ὅπερ ἐπὶ τῆς κάτω
„ περιεργαζομένη καὶ πολυπραγμονοῦσα καταλαμβάνει ἡ ἔννοια, ἕτερον ἑτέ-
„ ρου συγκριτικῶς ὑπερτιθεῖσα διά τινος χρονικοῦ διαστήματος, τοῦτο καὶ
„ ἐπὶ τῆς ἀκτίστου καὶ προαιωνίου νομίζειν οὐσίας εἶναι; ἐν ᾗ πατὴρ μὲν ἄ-
„ ναρχος καὶ ἀγέννητος καὶ ἀεὶ πατὴρ νοεῖται. ἐξ αὐτοῦ δὲ κατὰ προσεχὲς
„ ἀδιαστάτως, ὁ μονογενὴς υἱὸς τῷ πατρὶ συνεπινοεῖται· δι᾽ αὐτοῦ δὲ καὶ
„ μετ᾽ αὐτοῦ, πρὶν τι κενόν τε καὶ ἀνυπόστατον διὰ μέσου παρεμπεσεῖν
„ νόημα, εὐθὺς τὸ πνεῦμα τὸ ἅγιον, διὰ τοῦ υἱοῦ συνημμένως καταλαμ-
„ βάνεται. οὐχ ὑστερίζον κατὰ τὴν ὕπαρξιν μετὰ τὸν υἱόν. ὡς ποτὲ τὸν μονο-
„ γενῆ, δίχα τοῦ πνεύματος νοηθῆναι. ἀλλ᾽ ἐκ μὲν τοῦ Θεοῦ τῶν ὅλων, καὶ
„ αὐτὸ τὴν αἰτίαν ἔχον τοῦ εἶναι, ὅθεν καὶ τὸ μονογενές ἐστι φῶς, διὰ δὲ
„ τοῦ ἀληθινοῦ φωτὸς ἐκλάμψαν. καὶ πάλιν ἐν τῷ αὐτῷ λόγῳ. Οὐχὶ
„ ἀκτῖνα ἐξ ἡλίου νοήσωμεν, ἀλλ᾽ ἐξ ἀγεννήτου ἡλίου ἄλλον ἥλιον, ὁμοῦ τῇ
„ πρώτῃ ἐπινοίᾳ γεννητῶς αὐτῷ συνεκλάμποντα, καὶ κατὰ πάντα ὡσαύτως
„ ἔχοντα, κάλλει, δυνάμει, λαμπηδόνι, μεγέθει, φαιδρότητι, καὶ πᾶσιν ἁ-
„ πλῶς τοῖς περὶ τὸν ἥλιον θεωρουμένοις· καὶ πάλιν. Ἕτερον τοιοῦτον φῶς
„ κατὰ τὸν αὐτὸν τρόπον, οὐ χρονικῷ τινὶ διαστήματι τοῦ γεννητοῦ φωτὸς
„ ἀποτεμνόμενον. ἀλλὰ δι᾽ αὐτοῦ μὲν ἐκλάμπον, τὴν δὲ τῆς ὑποστάσεως
„ αἰτίαν ἔχον, ἐκ τοῦ πρωτοτύπου φωτός. Ἰδοὺ καὶ οὗτος, ἐκ τοῦ Θεοῦ τῶν
ὅλων τὴν αἰτίαν ἔχειν τὸ πνεῦμα φησὶν, ὅθεν καὶ τὸ μονογενὲς ἐστὶ φῶς.
καὶ πάλιν ἐκ τοῦ πατρὸς τὴν αἰτίαν τῆς ὑποστάσεως ἔχειν. καθάπερ ὁ
θεῖος Βασίλειος, τῆς τοῦ πατρὸς αἰτίας ἐξημμένον ἔχειν τὸ εἶναι, καὶ ἐκ τοῦ
πατρὸς ὑφεστάναι. ἅμα καὶ ἣν ἔχει τὸ εἶναι πρὸς τὸν υἱὸν τάξιν προστι-
θέντες. ὁ μὲν, τὸ δι᾽ ἑαυτοῦ ἐκλάμπειν. ὁ δὲ, τὸ μετ᾽ αὐτὸν εἶναι, καὶ

συν

σιν αὐτῷ. οὐ γὰρ τὴν πρὸς τὸν πατέρα μόνον τάξιν εἰπόντες, ἀπέστησαν, (ἵνα καὶ τοῖς βουλομένοις παρεξηγεῖσθαι πρόφασις ὑπολείποιτο· καθάπερ τὴν εὐαγγελικὴν ἐκείνην παρεξηγοῦνται ῥῆσιν, ὡς ἐν ἀναπτύξεως σχήματι·) ἀλλ' οὕτως ἐναργῶς παριστῶσιν ἐκ μόνου τοῦ πατρὸς τὸ πνεῦμα ὑφίστασθαι, τοῖς ἐπαΐειν δυναμένοις καλῶς, ὡς μηκέτι δεῖν τῆς διὰ τοῦ μόνου ἀποκληρώσεως. Τίς δέ, τῶν διδασκάλων οὕτως ἀναπτυξάντων, καὶ τὴν τῶν θείων προσώπων τάξιν καὶ πρόοδον τεχνολογησάντων πάνυ καλῶς, βουληθείη προσέχειν (νοῦν ἔχων) τοῖς ἕτερόν τινα τρόπον, μᾶλλον δὲ ἐναντίον, ἀναπτύσσειν τολμῶσιν; Γρηγόριος ὁ θεολόγος ἐν τῷ πρὸς Ἥρωνα τὸν φιλόσοφον λόγῳ· Ἐν δέ φησι πνεῦμα ἅγιον προελθὸν ἐκ τοῦ πατρὸς, ἢ προϊόν. Καὶ προελθὸν μὲν φησί, διὰ τὸ τέλειον τῆς προόδου. προϊὸν δέ, διὰ τὸ ἀΐδιον. Ἀλλὰ καὶ μόνον υἱὸν φησὶν εἶναι τὸν υἱὸν ἐν ἐκείνῳ τῷ λόγῳ, οὐ γὰρ πατήρ. πατὴρ δὲ ἐστὶν αὐτῷ γεννήτωρ, καὶ προβολεύς. καὶ ἐν τῷ περὶ υἱοῦ λόγῳ. Διὰ τοῦτο φησὶν ἐπὶ τῶν ἡμετέρων ὅρων ἱστάμενοι, τὸ ἀγέννητον εἰσάγομεν καὶ γεννητὸν, καὶ τὸ ἐκ τοῦ πατρὸς ἐκπορευόμενον, ὥς που φησὶν αὐτὸς ὁ Θεὸς λόγος. Ὅρον γὰρ ἐνταῦθα τῆς περὶ τοῦ πνεύματος θεωρίας, τοῦτ' αὐτὸ τὸ ἐκ τοῦ πατρὸς ἐκπορεύεσθαι λέγει. καὶ τοσοῦτον ἀπέσχε τὸ ἐκπορεύεσθαι τὸ πνεῦμα καὶ πρὸς τὸν υἱὸν ἀναφέρειν, ὥσθ' ἵνα μὴ δόξῃ τινὶ τοῦτο λέγειν, προσέθηκε τὸ ἐκ πατρὸς, τὴν τῆς πρώτης Συνόδου ζηλώσας ἀσφάλειαν. ἐκείνη γὰρ φησί. Δέχου μίαν θεότητα, τοῦ πατρὸς τοῦ γεννήσαντος τὸν υἱὸν ἀνεκφράστως, καὶ τοῦ υἱοῦ τοῦ γεγεννημένου ἐξ αὐτοῦ, καὶ τοῦ ἁγίου πνεύματος τοῦ ἐκπορευομένου ἐξ αὐτοῦ τοῦ πατρός. Κἀκεῖνοι γὰρ οἱ πατέρες ὡς ἔοικεν, ἵνα μὴ δόξῃ τὸ ἀναφορικὸν ἐκεῖνο, πρὸς τὸ προσεχὲς ὄνομα τάττεσθαι, προστεθείκασι, τῷ ἐξ αὐτοῦ, τὸ πατρός. εἰ δὲ καὶ ἐκ τοῦ υἱοῦ τοῦτο ἤθελεισαν ἐκπορεύεσθαι, ἢ εἶπον ἂν ἐξ ἑαυτῶν, ἢ καὶ ἐξ αὐτοῦ εἰπόντες, ἀφῆκαν ἂν ἀδιορίστως περὶ ἑκατέρας ὑποστάσεως τοῦτο νοεῖσθαι· ὡς μηδὲ μιᾶς ἐντεῦθεν βλάβης συμβησομένης πρὸς ὁποτέραν ἂν τῶν ὑποστάσεων ἀναφέροιτο. ἐπεὶ καὶ πρὸς ἀμφοτέρας ἀληθὲς ἔμελλεν εἶναι. οὕτω τοίνυν καὶ ὁ μέγας Γρηγόριος τὸ ἐκ πατρὸς ἐκπορευόμενον λέγει, ἵνα Λατίνους ἐλέγξῃ, καὶ ἐκ τοῦ

Γρηγ. θεολ.

Ὁ αὐτός.

Συνόδ. α.

υἱοῦ τοῦτο λέγοντας ἐκπορεύεσθαι, καὶ τὸν ὅρον ὃν ὁ μέγας διδάσκαλος τίθησι, καὶ ὁ δεσπότης ἡμῶν πρὸ αὐτοῦ, μετὰ πολλῆς ὑπερβαίνοντας περιπετείας. κἂν τῷ περὶ τῆς ἐν ταῖς διαλέξεσιν εὐταξίας φησί.

Γρηγ. θεο. „ Δέον ἕνα Θεὸν πατέρα γινώσκειν ἄναρχον καὶ ἀγέννητον· καὶ υἱὸν ἕνα, γε-
„ γεννημένον ἐκ τοῦ πατρός· καὶ πνεῦμα ἕν, ἐκ Θεοῦ τὴν ὕπαρξιν ἔχον, πα-
„ ραχωροῦν πατρὶ μὲν ἀγεννησίας, υἱῷ δὲ γεννήσεως, τὰ δ' ἄλλα, συμ-
„ φυές, καὶ σύνθρονον, καὶ ὁμόδοξον, καὶ ὁμότιμον. ταῦτα δέ φησιν, ἐκ
Γρηγ. ὁ „ τῆς θαυματουργοῦ Γρηγορίου παρειληφώς. οὗ τινος ἐν τῇ ἀποκαλύ-
θαυμ. „ ψει λέγεται, πνεῦμα ἐκ Θεοῦ τὴν ὕπαρξιν ἔχον, καὶ δι' υἱοῦ πεφηνὸς τοῖς
ἀνθρώποις. μᾶλλον δὲ περὶ τούτου, τῷ θείῳ Παύλῳ συνᾴδων ἐν τῇ
Κορινθ. β. „ πρὸς Κορινθίους λέγοντι, Τὸ πνεῦμα τὸ ἐκ τοῦ Θεοῦ. ἐκ τοῦ Χριστοῦ δὲ
ἢ ἐκ τοῦ υἱοῦ, οὐδέποτε λέγοντι. ἀλλὰ μόνον πνεῦμα υἱοῦ, καὶ πνεῦμα
Χριστοῦ. ἀλλὰ μὴν καὶ τό, τὰ μὲν ἄλλα συμφυὲς τῷ υἱῷ τοῦτο λέγειν,
παραχωροῦν δὲ υἱῷ τῆς γεννήσεως, τί δ' ἄλλο βούλεται, ἢ τὸ μὴ τὸν
υἱὸν προβολέα εἶναι τοῦ πνεύματος; τῆς γεννήσεως γὰρ αὐτῷ (φησὶ) μό-
νης παραχωρεῖ τῷ υἱῷ· ὥσπερ τῷ πατρὶ τῆς ἀγεννησίας. εἰ δὲ προβολεὺς
ἦν τοῦ πνεύματος, καὶ τῆς προβολῆς ἂν αὐτῷ παρεχώρει δήπου. εἴπερ
οὐχ οἷόν τ' ἐστὶ προβολέα εἶναι τὸ πνεῦμα. Ταῦτα δὲ λέγων, τῷ Βασι-
Βασιλ. „ λείῳ συνᾴδει λέγοντι· Τὰ κοινὰ πατρὶ καὶ υἱῷ, κοινὰ εἶναι καὶ τῷ πνεύ-
„ ματι. καὶ τῷ ἱερῷ Διονυσίῳ πρὸ Βασιλείου εἰρηκότι τοῦτο. καὶ ὁ Νύσσης,
Γρηγ. Νυσσ. Πνεῦμα φησὶ τὸ τῆς πατρικῆς ἐκπορευόμενον ὑποστάσεως. καὶ ὁ Βασί-
Βασιλ. „ λειος αὖθις ἐν ἑρμηνείᾳ τοῦ λβ. ψαλμοῦ· Ὡς οὖν ὁ δημιουργὸς (φησὶ)
„ λόγος ἐστερέωσε τὸν οὐρανόν, οὕτω καὶ τὸ πνεῦμα τοῦ Θεοῦ. ὃ παρὰ τοῦ πα-
„ τρὸς ἐκπορεύεται, τουτέστιν ἐκ τοῦ στόματος αὐτοῦ. ἵνα μὴ τῶν ἔξωθέν τι καὶ
„ τῶν κτισμάτων αὐτὸ κρίνῃς· ἀλλ' ὡς ἐκ Θεοῦ ἔχοι τὴν ὑπόστασιν δοξά-
Ὁ αὐτός. „ ζῃς. καὶ ἐν τῇ πρὸς Εὐστάθιον ἐπιστολῇ, ὁ αὐτός. Τὸ δὲ πνεῦμα τῆς
„ ἀληθείας ἐκ πατρὸς ἐκπορεύεσθαι διδαχθέντες, ἐκ τοῦ Θεοῦ εἶναι ὁμολο-
Ὁ αὐτός. „ γοῦμεν ἀκτίστως· Καὶ πάλιν ἐν ·ις. τῶν πρὸς Ἀμφιλόχιον. Οὔτε ἀέ-
„ ρος ὁ λόγος τύπωσις σημαντικὴ διὰ φωνητικῶν ὀργάνων ἐκφερομένη. οὔτε
„ τὸ πνεῦμα στόματος ἀτμὸς ἐκ τῶν ἀναπνευστικῶν μερῶν ἐξωθούμενος. ἀλ-

λὰ

λα λόγος μὲν, ὁ πρὸς τὸν Θεὸν ὢν ἐν ἀρχῇ, καὶ Θεὸς ὤν. πνεῦμα δὲ στόματος Θεοῦ, τὸ πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ πατρὸς ἐκπορεύεται. ὁ δὲ μέγας Ἀθανάσιος τῷ ἐν εἴδει διαλέξεως, μακεδονιανοῦ, καὶ ὀρθοδόξου. Τῶν μὲν ἀνθρώπων (φησὶ) Πέτρου καὶ Παύλου καὶ Τιμοθέου, προϋπάρχουσιν ἄνθρωποι. καὶ τὴν περὶ αὐτῶν ἄλλοι. τοῦ δὲ Ἀδὰμ, οὐ προϋπάρχει ἄλλος, ἀλλ' αὐτὸς ὁ Θεός. πατρὸς δὲ, καὶ υἱοῦ, καὶ ἁγίου πνεύματος, οὐδεὶς προϋπάρχει. ἀλλ' ἐκ τοῦ πατρὸς ὁ υἱὸς γεγέννηται, καὶ τὸ πνεῦμα ἐκπορεύεται. Ὁ αὐτὸς ἐν τῷ εἴδει διαλέξεως μαντονιστοῦ, καὶ ὀρθοδόξου. Ὥσπερ οὐδὲν ἐστὶ μέσον νοῦ, καὶ λόγου, καὶ πνοῆς, οὕτως οὐδὲ μέσον πατρὸς, καὶ υἱοῦ, καὶ ἁγίου πνεύματος. νοῆσαι δὲ δεῖ τὸ πνεῦμα τέλειον, ἐν τελείᾳ ὑποστάσει παρὰ πατρὸς ἐκπορευόμενον. καὶ Κύριλλος ἐν τοῖς κατὰ Ἰουλιανοῦ. Τὸ πνεῦμα ἀῤῥήτως ἐκ τοῦ πατρὸς ἐκπορεύεται, διὰ δὲ τοῦ υἱοῦ χορηγεῖται τῇ κτίσει. καὶ πάλιν. ἐκπορεύεται μὲν ἐκ τοῦ Θεοῦ καὶ πατρός. ἔστι δὲ οὐκ ἀλλότριον τοῦ υἱοῦ κατὰ τὸν τῆς οὐσίας λόγον. καὶ Ἰουστῖνος. Ὡς ὁ υἱὸς (φησὶν) ἐκ τοῦ πατρὸς, καὶ τὸ πνεῦμα ἐκ τοῦ πατρός. πλὴν γε δὴ τῷ τρόπῳ τῆς ὑπάρξεως διοίσει. καὶ ἐν ταῖς περιόδοις τῶν ἀποστόλων, ἐκ τοῦ πατρὸς ἐκπορεύεσθαι διωρισμένως τὸ πνεῦμα λέγεται. τούτοις προσκείσθωσαν τὰ τοῦ Κυρίλλου ῥητά. ἐν οἷς ἀποδιαιρῶν οὕτω φησίν. Ἐκπορεύεσθαι μὲν τὸ πνεῦμα ἐκ τοῦ πατρὸς, χορηγεῖσθαι δὲ τῇ κτίσει τοῦτο διὰ υἱοῦ. ἐξ ὧν ἐν τῷ προτέρῳ μέρει τοῦ παρόντος συγγράμματος ἐθήκαμεν ἔνια.

Ἀθανάσ. Ὁ αὐτός. Κύριλ. Ἰουστῖνος. Κύριλ.

ΚΕΦΑΛΑΙΟΝ κβ.

Ὅτι καὶ ἐκ τῶν Συνόδων τὸ αὐτὸ δείκνυται. καὶ μάλιστα τῆς Δευτέρας καὶ Τρίτης.

Τούτοις προσκείσθωσαν οἱ τῶν Συνόδων θεσμοί. πᾶσαι γὰρ ἐκεῖναι ἐκ τοῦ πατρὸς ὁρίζοντο τὸ πνεῦμα ἐκπορεύεσθαι, καὶ οὐδὲν προσετίθουν τὰ κατὰ τὴν Τρίτην συμβάντα σύνοδον. ἅπερ ἀντὶ ψή-

φυ προσέπει κρατεῖν. ἡ τῆς Δευτέρας ἀνάπτυξις, ἥτις ὅλον τὸ περὶ τοῦ πνεύματος ἀνέπτυξεν ἄρθρον, ἐκ τοῦ πατρὸς ἐκπορεύεσθαι μὲν τοῦτο εἰποῦσα, υἱῷ δὲ συμπροσκυνεῖσθαι καὶ συνδοξάζεσθαι. καὶ τοῦ Μακεδονίου, ἐκ τοῦ υἱοῦ τε τοῦτο ὑφίστασθαι μόνου, καὶ δημιουργικῶς ὑφίστασθαι φλυαροῦντος, αὐτὴ τὸ μὲν δημιουργικῶς ἀνεῖλεν, ἀποφηναμένη συμπροσκυνεῖσθαι τοῦτο, καὶ συνδοξάζεσθαι, πατρὶ καὶ υἱῷ. τὸ δ' ὅλως ὑφίστασθαι πῶς ἐκ τοῦ υἱοῦ, διὰ τῆς εὐαγγελικῆς ἐξέβαλε ῥήσεως, ἐκ τοῦ πατρὸς ἐκπορεύεσθαι τοῦτο εἰποῦσα· εἰ δὲ πρὸς τὴν δημιουργίαν μόνον ἡ Σύνοδος ἐδυσχέραινεν, ἐκπορεύεσθαι ἂν ἐκ τοῦ υἱοῦ συνεχώρησεν, ἐπεὶ τὴν ὕφεσιν τῆς οὐσίας ἀνεῖλεν ἐκ τοῦ συμπροσκυνεῖσθαι καὶ συνδοξάζεσθαι. οὐδ' ἂν ἠξίωσε τῷ ψεύδει καὶ τἀληθῆ συνεκβάλλειν. πῶς δὲ καὶ συμπροσκυνεῖσθαι μὲν τοῦτο τῷ υἱῷ λέγουσα, οὐκ ὤκνησεν αὖθις τὸ ὄνομα τοῦ πατρὸς ἐπαναλαβεῖν; ἵνα μὴ δόξῃ υἱῷ μόνῳ συμπροσκυνεῖσθαι, ἐκ τοῦ υἱοῦ δὲ ἐκπορεύεσθαι φρονεῖς καθάπερ ἐκ τοῦ πατρός, οὐ προστίθησι τοὔνομα τοῦ υἱοῦ, ὥσπερ ἐν τῷ συμπροσκυνεῖσθαι, τὸν πατέρα προσέθηκεν. οὐδὲ πιστεύσειεν ἄν τις ῥαδίως, τὴν ἱερὰν ἐκείνην Σύνοδον τῆς ἀληθείας, καὶ τῆς τῶν πιστῶν ὠφελείας, ἧττον φροντίσαι, ἢ οἱ Λατῖνοι μόνοι πεφροντίκασιν ὕστερον· εἰ δὲ ἐκ μόνου τοῦ υἱοῦ τὸ πνεῦμα ἔλεγεν ὁ Μακεδόνιος, τῆς πατρικῆς αἰτίας ἀποτέμνων αὐτό. τοῦτο δ' ἐδόκει τῇ Συνόδῳ παγχάλεπον. ψεῦδος γάρ ἐστι καὶ ἀδύνατον, εἰ καὶ τιθείη τις οὐσιωδῶς τε καὶ φυσικῶς ἐκ τοῦ υἱοῦ τοῦτο ἐκπορεύεσθαι. εἰ μὲν ἡ Σύνοδος ἐκ μόνου τοῦ πατρὸς εἶναι τοῦτο ἐπίστευεν, ἀπεναντίας Μακεδονίῳ καθάπαξ. καλῶς ἐποίει μόνον ἐκ πατρὸς ἐκπορεύεσθαι λέγουσα, καὶ μὴ χρωμένη πρὸς τὴν ἐκπόρευσιν τῷ ὀνόματι τοῦ υἱοῦ. εἰ δὲ καὶ ἐκ τοῦ υἱοῦ τοῦτο εἶναι πιστεύουσα, οὐ προστίθησι, τὰ αὐτὰ Μακεδονίῳ ἡμάρτανεν, ἕτερόν τινα τρόπον· ἢ εἴ τις ἄλλος ἐκ μόνου τοῦ υἱοῦ τοῦτο λέγειν ἐτόλμησεν ἄν. ἐξ ὧν γὰρ σιωπᾷ τὴν ἐκ τοῦ υἱοῦ πρόοδον, παντελῶς φαίνεται βουλομένη, ἐκ μόνου τοῦτο τοῦ πατρὸς ἐκπορεύεσθαι· καὶ χεῖρον ἂν ἡμάρτανε, τῶν ἐκ μόνου τοῦ υἱοῦ τοῦτο φρονούντων· εἴπερ ἐκεῖνοι μὲν οὕτως ἐφρόνουν, αὕτη δὲ φρονοῦσα ἐκ πατρὸς εἶναι τοῦτο καὶ τοῦ υἱοῦ, ὅμως ἐκ πατρὸς ἔλεγε μόνον, τύπον τοῖς ἀνθρώποις πᾶσι παρέ-

χουσα

χουσα πίστεως, ἀτελῆ τε, καὶ δεόμενον τηλικαύτης προσθήκης· οὐ γὰρ ἔχει τὶς εἰπεῖν, ὅτι μηδεὶς ἐβλασφήμει περὶ τὸ πνεῦμα, καὶ διὰ τοῦτο τὴν ἀλήθειαν οὐκ ἀναγκαῖον ἦν αὐτοῖς διορίζειν· εἰ δὲ ἐλάνθανεν αὐτὴν τἀληθές, τοῦτο καὶ χεῖρον ἂν ἦν. τοῦτο δὲ ἀξιοῦσι περὶ αὐτῆς, οἱ μὴ ταῖς ἐκείνης ψήφοις ἀρκούμενοι. μᾶλλον δὲ οὗτοι ταύτης τε τῆς Συνόδου, καὶ τῆς μετ' αὐτὴν εὐθὺς, σοφώτεροί τε εἶναι καὶ ἀληθέστεροι βούλονται. ὧν ἡ μὲν Μακεδονίῳ μαχομένη, ἐκ τοῦ υἱοῦ μόνου τὸ πνεῦμα λέγοντι πεποιῆσθαι, ἀντὶ μὲν τοῦ πεποιῆσθαι, συμπροσκυνεῖσθαι λέγει. ἀντὶ δὲ τοῦ ἐκ τοῦ υἱοῦ, ἐκ τοῦ πατρὸς φησὶν ἐκπορεύεσθαι. ἀντὶ δὲ τοῦ μόνου, τὸν υἱὸν παντάπασιν ἀποσιωπᾷ. οὗτοι δὲ τὸ πεποιῆσθαι, καὶ τὸ ἐκ μόνου φυγόντες μόνον, τὸ δὲ ἐκ τοῦ υἱοῦ προσδεξάμενοι, διορθοῦνται τὴν Σύνοδον, ὡς καλῶς αὐτὸ μὴ προσηκαμένην. ἡ δὲ τὸν Νεστόριον καθελοῦσα Τρίτη, ἀκούσασα τὸν Νεστόριον λέγοντα, μὴ ἔχειν τὴν ὕπαρξιν δι' υἱοῦ τὸ πνεῦμα τὸ ἅγιον. οὔτε καταδικάζει τούτου χάριν, καὶ ἀποφαίνεται μὴ δεῖν προστιθέναι οἷς ἡ Δευτέρα καὶ Πρώτη Σύνοδος ὥρισε, καταδικάσασ' ἂν (ὡς ἐκ τῶν πραγμάτων δῆλον ἐστὶν) εἴ τις ἀπεναντίας τῷ Νεστορίῳ λέγειν ἐβούλετο, περί γε τοῦ πνεύματος, καὶ ὑπὲρ τῆς δόξης φιλονεικεῖν. τοὺς γὰρ ἐναντία ποτὲ τολμήσαντας λέγειν, ἢ συγχαίρειν τῷ Συμβόλῳ τῶν Συνόδων ἐκείνων, τούτους ἑτέραν πίστιν καινοτομῆσαι ὑπείληφεν. ὥσπερ αὐτὸν Νεστόριον καινοτομεῖν ἀπεφήνατο, ἐν οἷς ἔλεγε κατὰ Χριστοῦ. ταύτην γὰρ τὴν ἐξήγησιν ἡμῖν οἱ Λατῖνοι φέρουσι· καὶ ἡμεῖς τό γε νῦν ἔχον αὐτῇ συγχωροῦμεν. οὐκοῦν εἰ τὴν εἰς Χριστὸν βλασφημίαν τοῦ Νεστορίου, πίστιν ἑτέραν ἐνόμισεν, ὡς τῇ τε λέξει τοῦ Συμβόλου, καὶ τῇ διανοίᾳ, φανερῶς ἐναντιουμένην, εὔδηλον ὡς ἡ περὶ τοῦ πνεύματος δόξα τοῦ Νεστορίου, (ἣν οὐδ' ὅλως εἶπε κακῶς, ἀλλὰ μᾶλλον ἔδειξεν ἀσμενίζουσα πολλοῖς ἡ Σύνοδος) τῷ Συμβόλῳ σύμφωνος ἐστί. καὶ οὕτω τὸ περὶ τοῦ πνεύματος ἄλλως φρονῆσαι, ἢ πεφρόνηκεν ὁ Νεστόριος, πίστιν ἑτέραν καινοτομῆσαι, καὶ κατὰ τοῦ Συμβόλου χωρῆσαι, ἥ τε Σύνοδος ἐγίνωσκεν ὅν, καὶ ἡμεῖς ὁμοίως εἰδότες, οὐχ ἁμαρτάνομεν. Εἰ δὲ τὰς μετὰ ταῦτα Συνόδους ποιῆσαι ἐροῦσιν, ὅπερ ἡ Τρίτη παρῆκεν, ἀναθέματι δεδωκυίας τὰ Θεοδωρήτου κεφάλαια·

τοῦτο

τοῦτο ψεῦδός ἐστι καὶ ἀδύνατον. ἐπεὶ γὰρ ἐκεῖναι βεβαιοῦσαι δείκνυνται τὴν Τρίτην, ὥσπερ εἰκὸς ἦν. ἄλλως γὰρ οὐκ ἂν ἐδόκουν συνάδειν. ἀδύνατον ἦν αὐτὰς τὴν περὶ τοῦ πνεύματος Θεοδωρήτου δόξαν ἀποτροπαίαν ἡγήσασθαι· ἧς ἕνεκα οὔτε Θεοδώρητος, οὔτε Νεστόριος, αἰτίαν τινὰ ἐδέξαντο ὑπὸ τῆς Τρίτης Συνόδου. καὶ τὴν Θεοδώρητος μέχρι τέλους ἐφρόνει, καίτοι Νεστόριον καθυποβαλὼν ἀναθέματι, καὶ οὕτω προσδεχθείς. ἀλλ' οὐδ' εἰκὸς ἦν τὰς Συνόδους ἐκείνας ἐνθυμηθῆναι, ὡς ὑπὸ ῥαθυμίας, ἥ τε Σύνοδος ἐκείνη, καὶ ὁ μακάριος Κύριλλος, περιεῖδον τὸ πνεῦμα βλασφημηθέν. τοῦτο οὐδ' ἄλλος ἄν τις νοῦν ἔχων πιστεύσειε, καὶ τὴν κατὰ Νεστορίου σφοδρὰν ἐκείνην μάχην εἰδὼς, τοῦ τε Κυρίλλου καὶ συμπάσης τῆς Ἐκκλησίας. ὥστε τῆς κατὰ τῶν κεφαλαίων ἐκείνων ψήφου, δεῖ ζητεῖν ἑτέραν αἰτίαν. αὕτη δὲ ἔκ τε τῶν πραγμάτων αὐτῶν, καὶ ἀπ' αὐτῆς τῆς λέξεως τῶν συνοδικῶν ψήφων ἐκείνων ἐστὶ σαφής. καὶ ἡμῖν ἐν τῷ προτέρῳ μέρει τοῦ συγγράμματος ἀποδέδεικται. καὶ νῦν οὐδὲν δεῖ προστιθέναι. Ἀλλ' οἱ Λατῖνοι τούτων ἁπάντων ὑπερορῶντες, κατὰ Νεστοριανῶν φασὶ προστεθεικέναι, τὸ καὶ ἐξ υἱοῦ ἔχειν τὴν ὕπαρξιν τὸ πνεῦμα. καίτοιγε οὐ τοσοῦτον αὐτοῖς ἠνώχλουν Νεστοριανοὶ μετὰ τὴν Ἑβδόμην Σύνοδον, ὅσον ὁ Νεστόριος, καὶ οἱ τὰ ἐκείνου φρονοῦντες, ἠνώχλουν τῇ Τρίτῃ τότε Συνόδῳ. ὥστε καὶ τὴν Δευτέραν καὶ Τρίτην Σύνοδον διορθοῦνται, ἢ καὶ αἱρετικὰς ἀποφαίνουσι· τὴν μὲν, τοιαύτην ἀλήθειαν σιωπήσασαν, διὰ τὸ μὴ φρονεῖν δήπου. οὐ γὰρ ἦν ἂν οὐδέ τισιν ἄλλοις ἀνθρώποις ἐγκαιρότερον, ἢ τοῖς πατράσιν ἐκείνοις, καὶ ἐκ τοῦ υἱοῦ τὸ πνεῦμα εἰπεῖν, ἐπεὶ ᾔδεισαν τοῦτ' ἀληθὲς εἶναι· τὴν δὲ, βλασφημοῦντι τῷ Νεστορίῳ περὶ τὸ πνεῦμα τὸ ἅγιον, οὐκ ἐπιτιμήσασαν. ἀλλὰ τοὐναντίον μᾶλλον ἐστὶν, ὅτι καὶ Μακεδονίῳ συντρέχουσι, καὶ εἴ τις ἀντιλέγων τότε τῷ Νεστορίῳ, ταῖς συνοδικαῖς ἔμελλεν ὑπεύθυνος γίνεσθαι ψήφοις. κἀκείνῳ ἂν δήπου συνέτρεχον. ἐπεὶ δ' οὐδεὶς ἀντεῖπε τῷ Νεστορίῳ τὰ περὶ τὴν τοῦ πνεύματος ὕπαρξιν. αὐτοὶ τῶν ἐκείνης θεσμῶν καταφρονηταὶ γενέσθαι πρῶτοι βεβούληνται.

ΚΕ-

ΚΕΦΑΛΑΙΟΝ κγ.

Ὅτι ἐκ τῶν τοῦ Δαμασκηνοῦ λόγων, τοῦτο σαφές ἐστι. καὶ λύσεις τῶν λατινικῶν ἀντιθέσεων σύντομοι.

Πρόσκείσθω τοῖς εἰρημένοις ὁ θεῖος Δαμασκηνὸς Ἰωάννης, λέγων περὶ τοῦ πνεύματος ἐν τῷ .η. τῶν θεολογικῶν. Τὸ δὲ πνεῦμα τὸ ἅγιον ἐκ τοῦ πατρὸς λέγομεν, καὶ πνεῦμα πατρὸς ὀνομάζομεν. ἐκ τοῦ υἱοῦ δὲ τὸ πνεῦμα οὐ λέγομεν, πνεῦμα δὲ υἱοῦ ὀνομάζομεν. (Δαμασκ.) καίτοι τὸν διδάσκαλον τοῦτον ἄλλοι συκοφαντοῦσι, καὶ τὴν ἡμετέραν Ἐκκλησίαν πᾶσαν συνδιαβάλλουσι, καὶ αὐτὴν τὴν ἀλήθειαν, πρότερον ἀπεδείξαμεν. Οἱ δὲ φασὶ φρονεῖν αὐτὸν τοῦτο, καὶ μὴ λέγειν· μειρακιώδεσι σοφίσμασιν ἑαυτούς τε καὶ τοὺς ἄλλους ἐξαπατῶντες. εἰ γὰρ πανταχοῦ τῷ οὐ λέγομεν, τὸ φρονοῦμεν συνυπακούσομεν, ἐπειδὰν ὁ αὐτὸς λέγῃ διδάσκαλος, ὅτι τὸν πατέρα οὐ λέγομεν ἔκ τινος, δεήσει συνυπακούειν, ὅτι φρονοῦμεν αὐτὸν ἔκ τινος εἶναι. εἰ δὲ παράγουσι τὸν αὐτὸν περὶ τῆς μακαρίας Παρθένου λέγοντα, ὅτι χριστοτόκον αὐτὴν φρονοῦμεν ὡς ἀληθῶς, ἀλλ' οὐ λέγομεν διὰ τὸν ἐξώλην Νεστόριον, τῇ φωνῇ ταύτῃ κακῶς χρησάμενον, καὶ τὴν Θεοτόκος φωνὴν ἐκβάλλοντα. ἀλλ' ἐκεῖ μὲν ὁ διδάσκαλος, καὶ τὴν αἰτίαν προστίθησι τοῦ φρονοῦντας μὴ λέγειν. ἐνταῦθα δὲ, οὔτε τὴν αἰτίαν προστίθησι, οὔτε μὴ φρονεῖν ὅλως λέγει. ὥστε οὐ δεῖ τοῦτο συνυπακούεσθαι. ἐλέγχει δ' αὐτοὺς ὁ διδάσκαλος ἐν .ιγ. τῶν κεφαλαίων, λέγων, Πνεῦμα τοῦ πατρὸς, ὡς ἐκ πατρὸς ἐκπορευόμενον· οὐδὲ μία γὰρ ὁρμὴ (Δαμας.) ἄνευ πνεύματος· καὶ υἱοῦ δὲ πνεῦμα, οὐχ ὡς ἐξ αὐτοῦ, ἀλλ' ὡς δι' αὐτοῦ ἐκπορευόμενον. ἐνταῦθα γὰρ δείκνυται καὶ πάνυ φρονῶν οὐκ εἶναι τὸ πνεῦμα ἐκ τοῦ υἱοῦ. δῆλον δὲ ἐπεὶ γὰρ πνεῦμα πατρὸς, καὶ πνεῦμα υἱοῦ εὑρίσκομεν ἐν τῇ γραφῇ λεγόμενον τὸ πνεῦμα τὸ ἅγιον, οὐ κατὰ τὴν αὐτὴν ἔννοιαν καὶ ἄμφω λέγεσθαι δείκνυσιν. ἀλλὰ τοῦ πατρὸς μὲν λέγεσθαι, ὡς ἐκ πα-

πατρὸς ἐκπορευόμενον· τοῦ υἱοῦ δὲ, οὐχ ὡς ἐκ τοῦ υἱοῦ. εἰ τοίνυν ἐφρόνει τὸ ἐκ τοῦ υἱοῦ (ὡς αὐτοὶ λέγουσιν) οὐκ ἐφρόνει ἂν δήπου τὸ οὐκ ἐξ αὐτοῦ. οὐ γάρ οἷόν τ' ἦν αὐτὸν ἄμφω φρονεῖν ἅμα. ἀλλὰ μὴν τοῦ υἱοῦ φησὶν εἶναι τὸ πνεῦμα, οὐχ ὡς ἐξ αὐτοῦ, καὶ οὕτω φρονεῖ· οὐκ ἄρα ἐφρόνει τοῦτο εἶναι ἐκ τοῦ υἱοῦ. Πάλιν ἔνιοι λέγουσιν, ὅτι τὴν .ἐκ. πρόθεσιν ἀποδίδωσι τῷ πατρὶ, ὡς πρώτῃ αἰτίᾳ· τῷ δὲ υἱῷ τὴν .διά. διὰ τὴν τάξιν ἣν ὁ υἱὸς ἔχει πρὸς τὸν πατέρα, ἐν τῷ τὸ πνεῦμα προβάλλειν. οὐκ ἀρνεῖται δὲ προβολέα τὸν υἱὸν εἶναι τοῦ πνεύματος. ἀλλὰ καὶ τοῦτο ψεῦδός ἐστι. διότι ἐπάγει, μόνος γὰρ αἴτιος ὁ πατήρ. καὶ πρὸς τοῦτο πάλιν σοφίζονται, ὅτι μόνος αἴτιος ἐστὶν ὁ πατὴρ, κατ' ἐκεῖνο τῆς αἰτίας τὸ σημαινόμενον. ὅπερ ἐπιτίθησιν ἡ .ἐκ. πρόθεσις τῷ ὀνόματι ᾧ συντέτακται. τουτέστιν ὡς πρώτη αἰτία καὶ κοινὴ πάσης τῆς θεότητος. ἀλλὰ πρῶτον μὲν, εἴπερ αἴτιον νοοῦσι πρῶτον, οἵ τε ἄλλοι διδάσκαλοι, καὶ Δαμασκηνὸς ὁ πάντων ἑρμηνεὺς καὶ συνοπτὴς, καὶ διὰ τοῦτ' ἀποφάσκουσιν αὐτὸ τοῦ υἱοῦ. οὐδ' ἂν δημιουργὸν λέγοιεν τὸν υἱὸν, ἢ Θεόν. διότι καὶ τὸ δημιουργεῖν, καὶ τὸ εἶναι, ἐκ τοῦ πατρὸς πρόσεστι τῷ υἱῷ. ἀλλ' οὐδεὶς φησὶ δημιουργὸν εἶναι μόνον τὸν πατέρα, ἢ ἀρχὴν τῶν κτισμάτων, ἢ αἴτιον μόνον. οὔτ' ἂν ἠλήθευσε λέγων ἁπλῶς, οὕτως ἄνευ προσθήκης· οὐκοῦν οὐδὲ μόνον αἴτιον λέγουσι τὸν πατέρα τοῦ πνεύματος, ὡς δὴ μόνον αἴτιον πρῶτον. ἐπεὶ τὸ πρῶτον, οὐ προστιθέασιν, ὥστ' ἁπλῶς τὴν αἰτίαν τοῦ υἱοῦ ἀποφάσκουσιν, ἁπλῶς αἴτιον λέγοντες τὸν πατέρα μόνον. ἔπειτα τοῦτ' ἂν εἶχε καλῶς εἴπερ ὁ υἱὸς ἐλέγετο τοῦ πνεύματος αἴτιος, εἰ ἐν τῷ δι' υἱοῦ τὸ πνεῦμα προϊέναι λέγεσθαι, τὴν πρόθεσιν ταύτην ὡς αἰτίας σημαντικὴν ἐνόουν οἱ τῆς Ἐκκλησίας διδάσκαλοι. εἰ πρώτην τινὰ καὶ δευτέραν αἰτίαν ἔλεγον τοῦ πνεύματος, ἢ τῆς θεότητος. ἐπεὶ δὲ τούτων τε καὶ τῶν τοιούτων οὐδὲν οἱ διδάσκαλοι λέγουσιν. ἡ τοιαύτη ἐξήγησις ἐκ τῆς τῶν Λατίνων οὖσα φρενὸς, οὐδὲν ἀνάγκης πρός γε ἡμᾶς ἔχει. ὅτι δὲ καὶ ἀδύνατος ἐστὶ, τῶν διδασκάλων τἀναντία τούτοις λεγόντων, ἐκ τῶν μετὰ ταῦτα φανερωθήσεται.

Πάνυ δὲ θαυμαστὸν ἐστὶν, ὅτι τὴν τοῦ Δαμασκηνοῦ ῥῆσιν, τοιαύταις παρεξηγήσεσι διαστρέφειν πειρῶνται πρὸς τὴν αὐτῶν θέλησιν, ὡς δὴ πολ-

λὴν

λὴν ἡμῖν σωτηρίαν παρεχομένην, σαφήνειά τε, καὶ τῷ τοῦ εἰπόντος ἀξιώματι, ἐπεὶ τολμῶσιν οἱ αὐτοὶ καὶ Νεστοριανὸν τοῦτον ἀποκαλεῖν, καὶ αἱρετικὴν εἶναι τὴν δόξαν ταύτην λέγουσιν. εἰ γὰρ Θεοδωρήτῳ καὶ Νεστορίῳ συμψεύδεται Δαμασκηνὸς, καὶ τὴν αὐτὴν ὑπέστη πλάνην ἐκείνοις, ἀρκεῖ τοῦτο πρὸς παραγραφὴν τοῦ ῥητοῦ. καὶ οὐδὲν δεῖ λοιπὸν αὐτὸ θεραπεύειν. ἢ οὕτω γ' ἂν καὶ τοὺς αἱρετικοὺς πάντας ἔξω θήσομεν αἰτίας, καὶ ταῖς ἐκείνων αἱρέσεσι πάροδον δώσομεν. χρῶμα αὐταῖς ὀρθότητος ἐπιθέντες ἔκ τινος μηχανῆς. Εἰ δὲ ἡ ῥῆσις ἀληθής ἐστι κατά τινα τρόπον, αὐτὸν γοῦν ὃν ἐπινοοῦσι Λατῖνοι, τί τὸν Δαμασκηνὸν ἀδικοῦσιν, αἱρετικοῖς αὐτὸν συντάττοντες; ἢ πῶς οὐκ αἰσχύνονται σφᾶς αὐτοὺς ἀσύστατα λέγοντες; πῶς γὰρ ἐστὶ δυνατὸν, καὶ τοῖς αἱρετικοῖς συμφρονεῖν, καὶ ὀρθὴν διάνοιαν ἔχειν, τὸν αὐτὸν ἐν τῷ αὐτῷ πράγματι; ἀλλ' ἴσως τῶν παρεξηγήσεων τούτων καταγινώσκοντες, καὶ συνειδότες καὶ αὐτοὶ τῇ ῥήσει ταύτῃ κρείττονι πάσης οὔσῃ διαστροφῆς, ἐπὶ τὴν τοῦ διδασκάλου διαβολὴν τρέπονται. ἁλίσκονται δὲ, ὑπ' οὐδενὸς ἱστάμενοι θεμελίου, ἐξ ὧν πειρῶνται μιγνύειν τὰ ἄμικτα. καὶ οἱ αὐτοὶ συναπαχθῆναί τε αὐτὸν αἱρετικοῖς τισὶ λέγουσι, καὶ ὡς ὀρθοδοξοῦσαν ἐξηγοῦνται πάλιν τὴν ῥῆσιν, ἐκ τοσούτων λόγων τε καὶ πραγμάτων, καὶ πολλῶν πλειόνων ἄλλων. οὐ γὰρ ἀνάγκη πάντα παράγειν. δόξα τῆς τοῦ Χριστοῦ Ἐκκλησίας κοινὴ εἶναι δείκνυται, τὸ πνεῦμα μὴ ἐκπορεύεσθαι ἐκ τοῦ υἱοῦ. ἐν γὰρ τοῖς ἀπηριθμημένοις τῶν διδασκάλων ῥητοῖς, καὶ τοῖς ὁμοίοις, τοῦτ' ἐχρῆν λέγεσθαι, εἴπερ ἐκεῖνοι τοῦτ' ἐφρόνουν. ἐν οἷς περὶ τῆς ἀϊδίου τῶν θείων προσώπων ὑπάρξεώς τε καὶ τάξεως διαλέγονται. οἱ δὲ ἐκ τοῦ πατρὸς ἐκπορεύεσθαι, καὶ ὑφεστάναι, καὶ τὴν ὕπαρξιν ἔχειν, καὶ τὴν αἰτίαν φασίν. ἐκ δὲ τοῦ υἱοῦ τούτων οὐδὲν λέγουσιν, ὥσπερ ἐκ συνθήματος εἰς μίαν γνώμην πάντες συμβάντες. χωρὶς δὲ τῶν ῥητῶν ἑκάστου τῶν διδασκάλων, ἡ Δευτέρα Σύνοδος ἀπαράγραπτος ἡμῖν τῆς ἀληθείας ἕστηκεν ἑρμηνεύς. καὶ ἡ μετ' αὐτὴν εὐθὺς, δι' ὧν ἔμεινε ταῖς προτέραις ψήφοις, καὶ ὡς Νεστορίῳ τά γ' ἄλλα ἐχρήσατο, πλὴν τῶν εἰς τὴν θείαν ἢ κοίτων οἰκονομίαν, κῆρυξ ἡμῖν γίνεται τοῦ μηδενὸς ἀνέχεσθαι. προστεθέν-

τες λοιπὸν τῷ περὶ τοῦ πνεύματος ἄρθρῳ.

ΚΕΦΑΛΑΙΟΝ κδ.

Ἐπιστασία εἰς τὸ τοῦ εὐαγγελίου ῥητὸν, ἐν ᾧ λέγεται τὸ πνεῦμα ἐκ τοῦ πατρὸς ἐκπορεύεσθαι. δεικνύουσα ὅτι τὴν ἴσην δύναμιν ἔχει τὸ ῥητὸν, ὡς εἰ ἔλεγεν, ἐκ τοῦ πατρὸς μόνου. καὶ συναγωγὴ πάλιν τῶν Συνόδων, πρὸς τὴν τοῦ ῥητοῦ τούτου διάνοιαν.

Ἀλλὰ πρὸ πάντων καὶ ὑπὲρ ἅπαντα, ὁ δεσπότης ἡμῶν ὁ τὴν τοῦ πνεύματος πρὸς τὸν Θεὸν καὶ πρὸς ἑαυτὸν, τάξιν εἰδὼς, ἐκ τοῦ πατρὸς αὐτὸ φησιν ἐκπορεύεσθαι. πᾶσαν ἀναπλύσεως πρόφασιν ἀποκλείων, δι' ὧν τῷ λόγῳ τούτῳ προσέθηκεν. οὐ γὰρ εἶπεν ἁπλῶς ὅτι τὸ πνεῦμα
Ἰωάν. ιε. » παρὰ τοῦ πατρὸς ἐκπορεύεται. Ἀλλ' ὅταν ἔλθῃ ὁ παράκλητος, ὃν ἐγὼ
» πέμψω ὑμῖν παρὰ τοῦ πατρὸς, τὸ πνεῦμα, τῆς ἀληθείας ὃ παρὰ τοῦ πατρὸς ἐκπορεύεται. Ἐπειδὴ γὰρ ὑπ' αὐτοῦ πεμφθήσεσθαι τοῦτο φησὶν, ἵνα μὴ δόξῃ κτίσμα τοῦτο εἶναι καὶ δουλικὴν ὑπουργίαν ἀποπληροῦν, προθεραπεύων τὴν ἀπὸ τοῦ πέμψεσθαι συμβαίνουσαν ὑποψίαν, ὅταν ἔλθῃ φησί. τουτέστιν ὁπόταν αὐθεντικῶς ὡς Θεὸς καὶ τῇ ἰδίᾳ βουλήσει πρὸς τὴν ὑμετέραν συγκαταβαῖνον ἐπίσκεψιν παραγένηται. ἀλλ' εἰ καὶ οἴκοθεν ἥξει, οὐδὲν ἧττον καὶ παρ' ἐμοῦ φησι πεμφθήσεται πρὸς ὑμᾶς. οὐ μόνον ὅτι μετ' ἐμοῦ ἥξει καὶ ἡ κάθοδος αὐτοῦ πρὸς ὑμᾶς ἀναγκαία διὰ τὴν ἐμὴν ἄνοδον ἔσται, ἀλλὰ καὶ ὅτι ἐμοῦ τε συμβουλομένου, καὶ δι' ἐκείνου τὴν οἰκονομίαν ἅπασαν συμπεραίνοντος, καὶ προτιθέντος τὸ λοιπὸν, ἀφίξεται. ἐν ὑμῖν μὲν ὄν, καὶ γινωσκόμενον ὑμῖν πλέον, ἢ τοῖς ἄλλοις πᾶσιν ἀνθρώποις. οὔπω δὲ ὑφ' ὑμῶν γινωσκόμενον, ὡς γινώσκεσθαι δεῖ. καὶ διὰ τοῦτο μηδὲ παρεῖναι δοκοῦν. φανερώσω τοίνυν ὑμῖν αὐτὸ μετ' ἐμέ. οὐ παρὼν, ἀλλὰ ἀποστὰς πρότερον ἐξ ὑμῶν καὶ τὴν πίστιν ὑμῶν καὶ τὴν εὔνοιαν τῇ ἀπουσίᾳ γυμνάσας, καὶ οὕτως ἀ-

ξίους

ξίους τῆς τῶν ἀγαθῶν δείξας παραθήκης. εἶτα, δεικνὺς ὡς ἡ θέλησις αὕτη, τῆς διὰ τοῦ πνεύματος ὠφελείας, οὐ τοῦ πνεύματος ἐστὶ μόνου, καὶ αὐτοῦ, ἀλλὰ καὶ τοῦ Θεοῦ καὶ πατρὸς (κοινὴ γὰρ τούτων ἡ θέλησις, καθάπερ ἡ φύσις μία. ἐκεῖθεν μὲν ἀρχομένη, δι᾽ αὐτοῦ δὲ πρὸς τὸ πνεῦμα διικνουμένη) πέμψω ὑμῖν φησὶ παρὰ τοῦ πατρός. ὡς ἐκείνου δηλονότι συμπέμποντος, ὅς ἐμοὶ καὶ τοῦ εἶναι, καὶ τοῦ βούλεσθαι, καὶ τοῦ τῷ πνεύματι συμβούλεσθαι, πάντα συμφυῶς καὶ συναϊδίως ἐστὶν ἀρχή. ἐπεὶ δὲ ἡ τοῦ πνεύματος πέμψις τε καὶ φανέρωσις, πρὸς ἡμᾶς τε ἐστὶ καὶ χάριν ἡμῶν, καὶ κοινὸν τῆς Τριάδος συμπάσης πέφυκεν ἔργον· ἡ δὲ ἀΐδιος τοῦ πνεύματος ὕπαρξις, ὑπὲρ αἰτίαν κατὰ τοὺς ἱεροὺς θεολόγους ἐστί. καὶ παντὸς ἀπολελυμένη κτιστοῦ πράγματος καὶ νοήματος, καὶ τὴν τῆς οἰκονομίας ὑπερανῳκισμένη λογισμῶν τε καὶ ἔργων, ταύτην ἡμῖν ἐμφῆναι βουλόμενος, ἐπήγαγε, τὸ πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ πατρὸς ἐκπορεύεται. καὶ ἑαυτοῦ μὲν εἶναι τοῦτο φησὶν, ἀληθείας ὄντος, ὡς ἀϊδίως αὐτῷ καὶ ὑπερηνωμένως συνόν. καὶ ἐν αὐτῷ μόνον, εἰ καὶ ὑποστατικῶς αὐτοῦ διακρίνεται, παρὰ δὲ τοῦ πατρὸς ἐκπορεύεται φησί. τουτέστιν ἐκεῖθεν, ὅθεν ὁ υἱὸς γεγέννηται πρόεισι, καὶ ἰδιοσυστάτως ὑφέστηκεν. Ὅθεν ἐκ τούτων τῶν λόγων θαυμασία τις δογμάτων συμπέπλεκται σειρὰ, καὶ συνήρμοσται. καὶ γὰρ τὴν ἐκ τοῦ πατρὸς προκαταγγέλλει τοῖς μαθηταῖς δωρεὰν ὁ ἡμέτερος Σωτὴρ καὶ δεσπότης. τὴν ἐκείνου παρίστησιν αὐθεντίαν, ἑαυτὸν ἀρχηγὸν εἶναι τῶν διὰ τοῦ πνεύματος γενησομένων αὐτοῖς ὠφελειῶν ἀποφαίνεται· τὴν πρώτην ἀρχὴν ἁπάντων ἀνακηρύττει. τὴν συμφυΐαν ἑαυτοῦ καὶ τοῦ πνεύματος μαρτυρεῖ· καὶ τὴν αἰτίαν τῆς ὑποστάσεως πόθεν αὐτῷ τῷ πνεύματι πρόσεστιν ἰσχυρίζεται. ὅτι ἐκ τοῦ πατρός. Ἀλλὰ τί καὶ πρὸς ταῦτα Λατῖνοι παρ[illegible]οῦσι; τὸ μὲν πέμπεσθαι, ταὐτὸν ἡγοῦνται τῷ ἐκπορεύεσθαι. τῷ δὲ ἐκ πατρὸς ἐκπορεύεσθαι, καὶ τὸν υἱὸν συνεπινοοῦσι. κἀντεῦθεν τὴν ἐν τῷ συμβόλῳ προσθήκην, ἀνάπτυξιν ἀποσεμνύοντες λέγουσιν. Εἰ μὲν οὖν ὁ δεσπότης ἡμῶν εἰπὼν, ὃν ἐγὼ πέμψω, οὐ προσετίθει παρὰ τοῦ πατρὸς, εἶχον ἂν λέγειν, ὅτι διὰ τοῦτο προστέθηκεν, ὃ παρὰ τοῦ πατρὸς ἐκπορεύεται, ἵνα δείξῃ

τῆς πέμψεως τὸν πατέρα αἴτιον ὄντα. καὶ οὕτω τὴν πέμψιν αὐτὸ τῆς ἐκπορεύσεως εὐλόγως ἂν προσλαμβάνειν ἐδόκουν, καὶ συμπεραίνειν ἐξ ἀμφοτέρων τὸ πνεῦμα ὑφίστασθαι, πλὴν μετὰ ταύτης τῆς διαφορᾶς, ἣς προσδιορίζονται νῦν. ὅτι ἀναιτίως ἐκ τοῦ πατρὸς καὶ ἀνάρχως, ἐκ τοῦ υἱοῦ δὲ διὰ τὸν πατέρα. Ἐπεὶ δὲ πέμψω εἰπὼν, προσέθηκε παρὰ τοῦ πατρός. τῆς μὲν πέμψεως ἐκείνης, ὅρον τινὰ πρῶτον δείκνυσι τὸν πατέρα. καὶ οὕτως ἀρκούντως ἑαυτὸν, εἰς τὴν ἰδίαν αἰτίαν ἀνήνεγκεν. καὶ οὕτω τὰ κατὰ τὴν πέμψιν εἶχεν ἂν ἐνδεῶς. καὶ τῶν τριῶν ὑποστάσεων ἐν ταύτῃ λαμβανομένων. τί λοιπὸν ἔδει προσδιορίζεσθαι, ὅτι τὸ πνεῦμα παρὰ τοῦ πατρὸς ἐκπορεύεται, εἴγε ταὐτὸν ἦν τὸ παρὰ τοῦ πατρὸς ἐκπορεύεσθαι, τῷ παρὰ τοῦ πατρὸς πέμπεσθαι; τοῦτο δὲ εἴρηκε φθάσας, ἐν οἷς εἶπε πέμψειν αὐτὸ παρὰ τοῦ πατρός. παρέλκων γὰρ ἂν ἦν καὶ ἀδόλεσχος, καὶ οὐδὲν πλέον ἔχων οὗτος ὁ λόγος, δὶς λεγομένου τοῦ παρὰ τοῦ πατρὸς ἐκπορεύεσθαι, ἢ παρὰ τοῦ πατρὸς πέμπεσθαι. ἄλλο δέ τι τῆς πέμψεως βουλομένης, καὶ ἄλλο τῆς ἐκπορεύσεως. οὐδὲν λοιπὸν τοιοῦτον ἐξέσται τοῦ λόγου κατηγορεῖν. ἀλλὰ παρὰ πατρὸς μὲν πέμπεσθαι, δι᾽ υἱοῦ νοηθήσεται. ὡς ἐκ πατρὸς δι᾽ υἱοῦ ἐν πνεύματι, μιᾶς ἐρχομένης εἰς τοὺς ἀνθρώπους εὐεργεσίας. οὐ κατιούσης μὲν ἐκείνης τῇ τάξει. οὐδὲ μετά τινος διαστήματος, ἀλλ᾽ ἐν τῇ ἑνότητι τῆς δωρεᾶς καὶ τῆς τῶν θείων προσώπων τάξεως νοουμένης. ἣν ἐν ἑαυτοῖς καὶ πρὸς ἑαυτὰ κέκτηνται. παρὰ δὲ τοῦ πατρὸς ἐκπορεύεσθαι, ὡς ἐκεῖθεν τὴν ἰδίαν ὕπαρξιν ἔχον. ἣν καὶ πρὸ τῆς οἰκονομίας, καὶ τῆς τῶν ὄντων δημιουργίας, καὶ πάσης χρονικῆς ἐννοίας ἐπέκεινα, κέκτηνται. καὶ οὐκ ἔστιν ὅτε οὐκ εἶχεν. ἕνεκα μὲν οὖν τοῦ δεῖξαι τὸν πατέρα τῆς πέμψεως ἐκείνης καὶ φανερώσεως τοῦ πνεύματος, αἰτίαν ἄναρχον καὶ ἀναίτιον, οὐκ εἶπεν αὐτὸ ἐκ τοῦ πατρὸς ἐκπορεύεσθαι. τοῦτο γὰρ ἐδήλωσε πρότερον εἰπὼν, ὃν πέμψω ὑμῖν παρὰ τοῦ πατρὸς, καὶ τῇ κοινῇ τῆς Τριάδος εὐεργεσίᾳ καὶ τὸν πατέρα συμπεριείληφεν. Εἰ δὲ τὴν ἀΐδιον τοῦ πνεύματος ὕπαρξιν παριστῶν, ἐκ τοῦ πατρὸς εἴρηκεν ἐκπορεύεσθαι, τίνος ἕνεκα λοιπὸν οὐ προστίθησι καὶ ἑαυτὸν, εἰδὼς ἑαυτὸν τοῦ πνεύματος αἴτιον; εἰ μὲν δὴ μὴ βουλόμενος ἑαυτῷ τὰ μέγιστα μαρτυρεῖν

διὰ τὴν οἰκονομίαν, καὶ μὴν πέμψειν ἔφασκεν αὐτό, ὃ τῆς ἴσης ἐστὶ δυνάμεως πρός γε τὴν τῆς θεότητος μαρτυρίαν. ἐκ δὲ τοῦ προφαινομένου καὶ μεῖζον, ὃ τοὺς αἱρετικοὺς ἔσφαλεν. Εἰ δὲ τὰ ἑαυτοῦ πρὸς τὸν πατέρα βουλόμενος ἀναφέρειν, ἀλλὰ καὶ τὴν πέμψιν πρὸς τὸν πατέρα ἀνήνεγκεν. ὅμως καὶ ἑαυτὸν τὸ πνεῦμα πέμψειν παρὰ τοῦ πατρὸς ἐπηγγείλατο. καὶ ῥᾴδιον ἦν οὕτως εἰπεῖν, ὃ παρ᾽ ἐμοῦ καὶ τοῦ πατρὸς ἐκπορεύεται. ἢ ὃ παρὰ τοῦ πατρὸς ἐκπορεύεται δι᾽ ἐμοῦ. Εἰ δὲ ἀρκεῖν ἡγεῖτο, τὸ παρὰ τοῦ πατρὸς ἐκπορεύεσθαι ὥστε κἀκεῖνο δηλῶσαι, ἤρκει γ᾽ ἂν καὶ οὕτως εἰπεῖν, ὃν πέμψει ὁ πατήρ. ἀλλὰ προσέθηκεν, ἐν τῷ ὀνόματί μου. καὶ πάλιν ἤρκεσεν ἂν εἰπεῖν, ὅταν ἔλθῃ ὁ παράκλητος ὃν ὁ πατὴρ πέμψει. ἀλλ᾽ εἶπεν ὅμως, ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ πατρός. ἑκὼν ὡς οὐκ ἀρκοῦν, ἄλλως εἰπεῖν ταῦτα ἐκεῖ προσετίθει. οὐδὲ ἐνταῦθα τίνων ἐξήρκει τούτῳ τῷ λόγῳ, ἀλλ᾽ ἔδει προσθήκης, εἴπερ ἀληθὲς ἦν, προστιθέναι. οὐ γὰρ ἔλαττον τῷ τοῦ υἱοῦ ὀνόματι ὁ πατὴρ συνεπινοεῖται διὰ τὴν σχέσιν, ἢ ὁ υἱὸς τῷ ὀνόματι τοῦ πατρός· οὐδὲ μᾶλλον ἔδει τὸν πατέρα συμπαραλαμβάνειν ἐν τῷ προδήλως κοινῶς ὑπάρχοντι πράγματι, ὁπόταν λέγῃ, ἐγὼ πέμψω παρὰ τοῦ πατρός. ἢ τὸν υἱὸν συμπαραλαμβάνειν ἐν τῷ ἰδικῷ καὶ προσωπικῷ· ἐν ᾧ τὸν υἱὸν οὐκ ἀνάγκη συνεπινοεῖν ἔκ γε τῆς ὕλης τοῦ λόγου. Τὸ μὴ προσθεῖναι ἄρα καὶ ἑαυτὸν ἐν τῇ παρὰ τοῦ πατρὸς ἐκπορεύσει τοῦ πνεύματος, οὐκ ἦν δήπουθεν ἐξαρκεῖν ἡγουμένου τὸ πατρικὸν ὄνομα, πρὸς τὸ καὶ τὸν υἱὸν κοινωνὸν ἐκείνης τῆς προβολῆς ἀποφῆναι· ἀλλὰ μᾶλλον ἀρκεῖν εἰδότος τῷ πνεύματι τὴν ἐκ πατρὸς ἐκπόρευσιν, καθάπερ δήπου καὶ ἑαυτῷ συνῄδει τὴν ἐξ ἐκείνου γέννησιν, ἐξαρκεῖν. οὐδὲ διὰ τὴν σάρκα ἐφθέγγετο ταπεινότερον. ἀλλὰ διὰ τὴν θεότητα μᾶλλον, τῆς ἀϊδίου καὶ θείας ἀληθείας κῆρυξ ἀπερίγραπτος ἦν, ὅτε περὶ τῶν τῇ θείᾳ φύσει προσόντων ἐδίδασκεν. οὐδὲ ἐφείδετο τῶν προσόντων ἑαυτῷ τιμῶν τὸν πατέρα, ἀλλ᾽ ἔτι μᾶλλον ἑαυτὸν ἀληθῶς, ὅτι τὸ παρὰ τοῦ πατρὸς ὑφεστὼς ἑαυτοῦ ἔλεγεν εἶναι, ἐν τῷ τῆς ἀληθείας πνεῦμα καλεῖν αὐτό. ὅπερ οὐδεὶς ἂν ἄνθρωπος ὤν, περὶ τοῦ θείου πνεύματος φαίη. τῷ μέντοι Θεῷ καὶ πατρί, τὴν ἀρχικὴν ἀπένειμεν ἰδιότητα.

ἣν

ἣν μόνος ἐν τοῖς θείοις προσώποις ἔχει πρὸς ταῦτα. ἵνα καὶ τῶν θείων προσώπων ἀρχὴ μία ὁ πατὴρ ᾖ· καθάπερ πάντων τῶν ὄντων ἀρχὴ μία ἐστὶν ὁ πατὴρ δι' υἱοῦ ἐν πνεύματι· τουτέστιν ὁ ἐν τριάδι Θεός. Ὑπὸ τούτων ὡς ἔοικεν ἡ Δευτέρα Σύνοδος κινηθεῖσα τῶν λογισμῶν, καὶ οὕτω τὴν εὐαγγελικὴν ἐκείνην ἀπόφασιν ἐννοήσασα, μικρᾷ προσθήκῃ λέξεων, ἀνέπλυξε μὲν τὴν γνώμην τῶν ἐπὶ τῆς Πρώτης ἁγίων πατέρων. Μακεδονίου δὲ τὰς φλυαρίας ἐξήλεγξεν. ἅς τε ἐκ τῶν προτέρων παρείληφεν αἱρετικῶν. καὶ ἃς προσεπενόησεν οἴκοθεν. οὐ καταδεέστερον μόνον (ὡς ἐκεῖνοι) τοῦ υἱοῦ τὸ πνεῦμα φρονῶν, καὶ τὸν υἱὸν ὁμοούσιον τῷ πατρὶ, ἀλλὰ μηδὲ εἰς τὴν τῆς Τριάδος δόξαν αὐτὸ συναναλαμβάνων, τὴν δὲ τῶν ἀγγέλων τάξιν ἀποδιδοὺς, κτίσμα τε τοῦ Θεοῦ καὶ διάκονον καὶ ὑπηρέτην ἀποκαλῶν τοῦτο τοῖς ἀγγέλοις ὁμοίως. καὶ μέχρι τοῦ νῦν ἡ τῶν πνευματομάχων ἐκείνων καὶ Μαραθωνίων φρατρία, ταῖς τοῦ Συμβόλου συλλαβαῖς ἐκείναις ἀνατρέπεται πᾶσα. εἰ γὰρ τῷ υἱῷ συμπροσκυνεῖται τὸ πνεῦμα προσκυνουμένῳ μετὰ πατρὸς, τὴν αὐτὴν οὐσίαν ὁ υἱὸς ἔχει μετὰ πατρὸς, καὶ σύνεστιν αὐτῷ τῇ τῆς οὐσίας δόξῃ καὶ τῆς θεότητος, εἰ πατρὶ καὶ υἱῷ συμπροσκυνεῖται καὶ συνδοξάζεται· δῆλον ὅτι συμπληρωτικόν ἐστιν (ὡς οὕτως εἰπεῖν) τῆς μακαρίας Τριάδος, καὶ τῶν τῆς θεότητος πρεσβείων ἁπάντων γνησίως τῷ πατρὶ καὶ τῷ υἱῷ κοινωνεῖ. καὶ οὔτε τοῦ υἱοῦ, οὔτε τοῦ πατρὸς πέφυκε κτίσμα. Εἰ ἐκ τοῦ πατρὸς δὲ ἐκπορεύεται, τουτέστιν ὑφίσταται, δῆλον ὅτι ἐκ τοῦ υἱοῦ οὐχ ὑφίσταται. εἰ μὲν γὰρ ἐκ τοῦ υἱοῦ ἐκπορεύοιτο, καὶ ἐκ πατρὸς ἕποιτ' ἂν ἐκπορεύεσθαι· ἐπεὶ πάντα ὁ υἱὸς ἐκ τοῦ πατρὸς ἔχει. καὶ οὐδὲν ἀφ' ἑαυτοῦ ποιεῖν, οὔτε προσάγειν αὐτὸς φησὶ περὶ ἑαυτοῦ. Εἰ δὲ ἐκ τοῦ πατρὸς ἐκπορεύεται, οὐκ ἔτι ἂν ἡ αὐτὴ ἀνάγκη εἴη καὶ ἐκ τοῦ υἱοῦ ἐκπορεύεσθαι, ἢ καὶ πάντα προσεῖναι ἂν τῷ υἱῷ, τὰ τῷ πατρὶ προσόντα. ἀλλὰ τοῦτο ψεῦδος ἐστιν. οὐ γὰρ τὸ ἄναρχον αὐτῷ καὶ ἀγέννητον πρόσεστιν. οὐδὲ τὸ γεννᾶν· οὐδ' ὅλως ἡ ἀρχὴ καὶ τὸ αἴτιον, ὡς τοῖς ἱεροῖς διδασκάλοις δοκεῖ. ἀλλὰ μήπω περὶ τοῦ αἰτίου καὶ τῆς ἀρχῆς * ἀρκεῖ δὲ τοσοῦτον εἰπεῖν, ὅτι τῶν γνωριστικῶν τῆς πατρικῆς ὑποστάσεως, οὐδενὸς ὁ υἱὸς κοινωνεῖ. καὶ ἡ μετὰ τὴν Δευτέ-

ραν

ἐὰν Σύνοδος, ἀπαραίτητοι τοῖς ὀρθῶς λογιζομένοις ἀνάγκην ἡμῖν ἐπιτίθησι, μὴ πιστεύειν ἐκ τοῦ υἱοῦ τὸ πνεῦμα ὑφίστασθαι, διὰ τὰς εἰρημένας αἰτίας. τὴν γὰρ εὐαγγελικῶν ἐκείνων ῥημάτων, ἀπαραλλάκτως ὡς ἡ Δευτέρα Σύνοδος ἤκουσεν. Ἀλλ' οἱ κακοὶ τούτων ἀκροαταὶ (λέγω δὲ τοὺς ἐξ ἡμῶν ἀποστάντας, καὶ τοῖς ὑπερορείοις θεμένους νεωτερίσμασι) οὔτε τῶν Συνόδων ἐκείνων, οὔτε τῶν διδασκάλων χωρὶς, οὔτε τῶν δεσποτικῶν αὐτῶν φροντίσαντες λόγων, ἑτοίμως ἔσχον πάνυ πρὸς τὴν μετάθεσιν.

ΚΕΦΑΛΑΙΟΝ κε.

Ἔκθεσις τῶν ῥητῶν, ἐν οἷς ἐκ πατρὸς δι' υἱοῦ ἐκπορεύεσθαι λέγεται τὸ ἅγιον πνεῦμα. καὶ ὅτι ταῦτα μὴ νοήσαντες τινὲς καλῶς, τοῖς Λατίνοις ἐνέδωκαν.

ΤΟύτων οὕτω προτεθειμένων εἰς ἀπόδειξιν τοῦ τὴν ἀΐδιον ὕπαρξιν τοῦ πνεύματος, ἐκ πατρὸς εἶναι μόνον, ὡς ἀπ' αἰτίας. οἷς οὐκ ἔστιν ἀντειπεῖν, οὐδὲ ἀντιβλέψαι, τῆς ἱερᾶς οὔσι διδασκαλίας, οὐ τῶν ἀνθρωπίνων καὶ θνητῶν λογισμῶν· καιρὸν ἔχει λοιπὸν ἐπισκέψασθαι, τὰ τῶν διδασκάλων ῥητά· ἐν οἷς δοκοῦσιν ἐκ πατρὸς δι' υἱοῦ τὸ πνεῦμα τιθέναι. Ὁ μέγας τοίνυν Ἀθανάσιος ἐν τῷ λόγῳ ὃς ἐπιγέγραπται ἔλεγ-
χος ὑποκρίσεως, τῶν περὶ Μελίτιον καὶ Εὐσέβιον, οὕτω φησίν. Ἦν δ' ,, Ἀθανάσ.
ἀδιαίρετον ἐν τῇ τῆς Τριάδος δόξῃ τὸ πνεῦμα δοξάζεσθαι μὴ προοδικῶς ,,
ὂν ἐκ Θεοῦ δι' υἱοῦ, ἀλλὰ ποιητικῶς ἐκ Θεοῦ ὡς λέγουσιν οἱ αἱρετικοὶ δηλο- ,,
νότι. Ὁ μέγας Βασίλειος ἐν λ'. τῶν πρὸς Εὐνόμιον, ἐν οἷς ἀπορεῖ δια-
τί μὴ καὶ τὸ πνεῦμα υἱὸς τοῦ υἱοῦ, φησὶν, οὐ διὰ τὸ μὴ εἶναι ἐκ Θεοῦ δι' υἱοῦ. ,, Βασίλ.
ἀλλ' ἵνα μὴ ἡ Τριὰς νομισθείη πλῆθος ἄπειρον υἱοὺς ἐξ υἱῶν, ὡς καὶ ἐν ,,
ἀνθρώποις, ἔχειν ὑποπτευθεῖσα. Ὁ θεῖος Μάξιμος ἐν τῇ ἑρμηνείᾳ ,,
τῆς χρυσῆς λυχνίας, φησί. Τὸ πνεῦμα τὸ ἅγιον, ὥσπερ κατ' οὐσίαν ὑ- ,, Μάξιμ.
πάρχει τοῦ Θεοῦ καὶ πατρὸς, οὕτω κατ' οὐσίαν ἐστὶ καὶ τοῦ υἱοῦ. ὡς ἐκ τοῦ ,,

πατρὸς οὐσιωδῶς δι' υἱοῦ γεννηθέντος ἀφράστως ἐκπορευόμενον. Ὁ θεῖος Ταράσιος ἐν τῇ ὁμολογίᾳ τῆς ἑαυτοῦ πίστεως, ἣν συνεῖπε καὶ ἡ ἁγία οἰκουμενικὴ Ἑβδόμη Σύνοδος. Ταράσιος Καὶ εἰς τὸ πνεῦμα (φησὶ) τὸ ἅγιον, τὸ ἐκ πατρὸς δι' υἱοῦ ἐκπορευόμενον, καὶ αὐτὸ θεὸν εἶναι γνωριζόμενον. Καὶ Ἰωάννης ὁ Δαμασκ. Δαμασκηνὸς ἐν. ιγ. τῶν θεολογικῶν οὕτω φησίν. Αὐτὸς οὖν ἐστὶ λόγου γεννήτωρ, καὶ διὰ λόγου προβολεὺς ἐκφαντορικοῦ πνεύματος. ὁ αὐτὸς Ὁ αὐτός. ἐν τῷ αὐτῷ, φησί, Τὸ πνεῦμα τὸ ἅγιον ἡ ἐκφαντορικὴ τοῦ κρυφίου τῆς θεότητος δύναμις τοῦ πατρός, ἐκ πατρὸς ἐστὶ δι' υἱοῦ ἐκπορευομένη. τούτοις τοῖς ῥητοῖς οὐ πρόσκειται μὲν τὸ ἀϊδίως. συνεμφαίνεσθαι δὲ δοκεῖ, διὰ τὴν τοῦ ἐκπορεύεσθαι λέξιν. ἥ πως τῇ ἀϊδίῳ τοῦ πνεύματος ὑπάρξει, καὶ τῇ ὑποστατικῇ τούτου προόδῳ, ἰδίως ἀφορίζεσθαι δοκεῖ. καὶ ἐκ τοῦ προβολέα δι' υἱοῦ εἶναι τὸν πατέρα τοῦ πνεύματος. ἐκ πατρὸς δι' υἱοῦ ἀϊδίως τὸ πνεῦμα δείκνυται προερχόμενον. καὶ πολλῷ σαφέστερον ἐν τῷ δὲ τῷ ῥητῷ, ἢ τοῖς ἄλλοις, τοῦτο καταφαίνεται. διότι τὸ ἐνεργοῦν πρόσωπον ὁ πατήρ, καὶ τοὔνομα τῆς ἐνεργείας κεῖται. καὶ δοκεῖ ἀδύνατον εἶναι, μὴ καὶ τὸν υἱὸν ἀρχὴν εἶναι τῆς ἐνεργείας ἐκείνης, προσεχῶς τὸ πνεῦμα προαγούσαν. εἰς ταύτην δὲ τὴν ἔννοιαν καὶ τὸ τοῦ Νύσσης φέρειν δοκεῖ ἐν τῷ πρὸς Ἀβλάβιον λόγῳ. Γρηγ. ὁ Νύσσ. ἐν ᾧ προσεχῶς μὲν ἐκ τοῦ πρώτου ὁ υἱὸς εἶναι θεολογεῖται. τὸ δὲ πνεῦμα τὸ ἅγιον, διὰ τοῦ προσεχῶς ἐκ τοῦ πρώτου. τουτέστιν ἐκ τοῦ πατρὸς διὰ τοῦ υἱοῦ. καὶ ὅτι περὶ τῆς ἀϊδίου συντάξεώς τε καὶ διακείσεως τῶν θείων προσώπων ὁ λόγος αὐτῷ, πρόδηλον ἐστίν. Ἐκ τούτων τοίνυν τῶν ῥητῶν τοῖς ἁπλουστέροις ἐπέρχεται, καὶ ἐκ τοῦ υἱοῦ τοῦτο τιθέναι ὑφίστασθαι. καὶ ὁ σύμπας τῆς πρὸς Λατίνους θεμέλιος τοῖς ἐνταῦθα βουλομένοις, οὗτος ἐστί. τὸ πνεῦμα ἀϊδίως ἐκ τοῦ πατρὸς δι' υἱοῦ φασὶν οἱ ἀπ' Ἀνατολῆς διδάσκαλοι ἐκπορεύεσθαι. ἀλλ' ὡς παρ' ἡ. ἐκ. σημαίνει αἰτίαν ἐν τῷ ἐκ τοῦ πατρός. οὕτω καὶ ἡ. διὰ. τὴν αἰτίαν παρίστησιν ἐν τῷ δι' υἱοῦ. οὐκοῦν τὸ πνεῦμα ἀληθὲς ἐστὶν εἰπεῖν καὶ ἐκ τοῦ υἱοῦ ὑφεστάναι. καὶ ἐκ τοῦ υἱοῦ τὴν ὕπαρξιν ἔχειν. καὶ τὸν υἱὸν ἀρχὴν αὐτοῦ καὶ αἴτιον εἶναι. καὶ πάντα δὴ τὰ τοιαῦτα. οὕτω δὲ οἴονται καὶ τοὺς εὐρωπαίους συνάδειν τοῖς ἡμετέροις πατράσιν,

ἂν

ἂν ἐν τῷ διʼ υἱοῦ, ἀρχὴ καὶ αἴτιος ὁ υἱὸς νοῆται τοῦ πνεύματος. ἄλλως δὲ ἀδύνατον αὐτοὺς ἡγοῦνται συνᾴδειν.

ΚΕΦΑΛΑΙΟΝ κϛ.

Ὅτι εἰ καὶ δυνατόν ἐστι καὶ ταῦτα τὰ ῥητὰ πρὸς τὴν χρονικὴν πρόοδον ἐκλαμβάνειν ἀληθῶς. ἀλλʼ ἐπειδὴ δύνανται καὶ περὶ τῆς ἀϊδίου προόδου νοεῖσθαι ὀρθῶς, δεῖ τοῦτο συγχωρεῖν τοῖς Λατίνοις. καὶ περὶ τοῦ τίνα μὲν τῶν ῥημάτων ἀφωρισμένως δηλοῦσι τὴν χρονικὴν πρόοδον, τίνα δὲ τὴν ἀΐδιον. καὶ τίνα εἰσὶν ὥσπερ κοινά.

Ἀλλʼ ἡμεῖς αὐτῷ τῷ τῆς ἀληθείας πνεύματι συνεργῷ κεχρημένοι καὶ ὁδηγῷ, πρῶτα μὲν λέγομεν, ὡς εἰ καὶ τὰ μάλιστα τὴν ἀΐδιον τοῦ πνεύματος ὕπαρξιν, διὰ τῆς τοῦ ἐκπορεύεσθαι νοουμένην φωνῆς, ἢ τὴν ὑπερνόητον ἐκείνην αὐτῷ πρόοδον, ὁ θεῖος ἐνέφηνε λόγος. ἀλλʼ οὐκ ἀνάγκη πανταχοῦ τὴν φωνὴν εἰς ταύτην ἐκλαμβάνειν τὴν ἔννοιαν, οὐδὲ ἐν ὅσοις τῶν διδασκάλων ῥητοῖς αὕτη κεῖται, καὶ τὸ ἀϊδίως προσυπακούειν ἀνάγκη. ἐν μὲν γὰρ τοῖς ἱεροῖς εὐαγγελίοις οὕτω νοεῖν ἀναγκαζόμεθα διὰ τὸ προτεθεῖσθαι ἐκεῖ τὴν τοῦ πνεύματος πέμψιν, ἐκ πατρὸς διʼ υἱοῦ γενήσεσθαι λεγομένην. ἧς πρὸς ἀντιδιαστολὴν, ἡ ἐκ πατρὸς ἐκπόρευσις ἐπαχθεῖσα, τὴν ἐντελῆ περὶ τοῦ πνεύματος ἡμῖν ὁλοσχερῶς εἰσήγαγεν ἔννοιαν, ὃν ἔναγχος εἴρηται τρόπον. καὶ ἐπειδὰν δὲ λέγουσιν οἱ τῆς Ἐκκλησίας διδάσκαλοι, ἀῤῥήτως μὲν τὸ πνεῦμα ἐκ τοῦ πατρὸς ἐκπορεύεσθαι, διὰ δὲ τοῦ υἱοῦ χορηγεῖσθαι τῇ κτίσει. καὶ ἐκ τοῦ πατρὸς μὲν ἐκπορεύεσθαι, εἶναι δὲ οὐκ ἀλλότριον τοῦ υἱοῦ κατὰ τὸν τῆς οὐσίας λόγον. καὶ πάλιν ἐκ τοῦ πατρὸς ὁ υἱὸς φασὶ γεγέννηται, καὶ τὸ πνεῦμα τὸ ἅγιον ἐκπορεύεται. Ὅταν τοίνυν ταῦτα λέγωσιν, οὐδὲν ἄλλο δεῖ νοεῖν, ἢ τὴν ὑποστατικὴν τοῦ πνεύματος πρόοδον. ἣ ἐκ τοῦ πατρὸς ὡς ἀπʼ αἰτίας πρόεισιν ὡς ἀληθῶς φυσικῆς. ἡ γὰρ διαστολὴ τῶν ῥημάτων ἐκεί-

νων, συνεσταλμένην τινὰ πρὸς μίαν ἔννοιαν τὴν τοῦ ἐκπορεύεσθαι λέξιν ἡμῖν ἀποδίδωσι. καὶ οὐ δυνάμεθα τὴν ἐκπόρευσιν τότε κατὰ κοινότερον ἐκδέχεσθαι τρόπον. ἐπειδὰν δὲ μηδὲν τοιοῦτον προσκείμενον ᾖ, ἀλλὰ μόνον ἐκ πατρὸς δι' υἱοῦ ἐκπορεύεσθαι λέγεται, δυνάμεθα καὶ περὶ τῆς χρονικῆς προόδου τὸ ῥῆμα τοῦτο νοεῖν, ὁλοσχερῶς αὐτὸ καὶ κατά τινα κοινότερον ἐκλαμβάνοντες τρόπον. ὡς τῷ προϊέναι μάλιστα χρώμεθα. οὕτω γὰρ καὶ τὴν χρονικὴν τοῦ πνεύματος ἀποστολὴν, τῷ πέμπεσθαι, καὶ προχεῖσθαι, καὶ πηγάζειν, καὶ πεφηνέναι, νοοῦμεν ἔν γε τοῖς πλείστοις. ἐν οἷς οἱ διδάσκαλοι τὴν κτίσιν, ἢ τοὺς ἀνθρώπους προστιθέασιν, ἤ τι τοιοῦτον. ἄνευ δὲ τῆς τοιαύτης προσθήκης, ἔσθ' ὅτε καὶ ἀΐδιόν τι διὰ τούτων νοοῦμεν. οὐ γὰρ ὥρισται ταῦτα πρὸς τὸ σημαίνειν ἀεὶ τὴν τοῦ πνεύματος χορηγίαν. ἀλλὰ μεταφορικῶς τὴν πρόοδον δηλοῦσι τοῦ πνεύματος, ὁποτέραν ἂν εἴποι τις. οἷον τὸ μὲν προχεῖσθαι, καὶ ἀναβλύζειν, καὶ πηγάζειν, κυρίως ἐπὶ τῆς ὑγρᾶς λεγόμενα φύσεως, κατὰ μεταφορὰν ἐπὶ Θεοῦ λέγονται. διό τι τὸ πνεῦμα τὸ ἅγιον, ὕδωρ ζῶν εἰκονικῶς ὑπὸ τῆς γραφῆς λέγεται. ὁ δὲ υἱὸς τοῦ Θεοῦ, ποταμὸς καὶ πηγὴ κατ' ἄλλην αὖθις ἔννοιαν, ὡς δειχθήσεται. ὡς δὲ καὶ τὸ πεφηνέναι, καὶ ἐκλάμπειν, περὶ τῆς φωτεινῆς καὶ λαμπρᾶς κυρίως λέγονται φύσεως, ἐπὶ δὲ τὸν Θεὸν μεταφέρονται, διὰ τὸ τὸν υἱὸν καὶ πνεῦμα φῶτα λέγεσθαι τοῦ πατρὸς, ὑπό τε τοῦ ἀποστόλου, καὶ Διονυσίου, καὶ ἀκολούθως ὑπὸ τῶν ἑξῆς διδασκάλων. ἐπεὶ δὲ τὸ πνεῦμα τὸ ἅγιον ὑφίσταται μὲν, ἐν τῷ ἰδίῳ εἶναι προσωπικῶς ἐκ πατρὸς. γνωρίζεται δὲ τοῖς ἀνθρώποις καὶ χορηγεῖται, διὰ τοῦ υἱοῦ. διὰ τοῦτο καὶ τὴν ἐκ πατρὸς αὐτοῦ πρόοδον, καὶ τὴν δι' υἱοῦ χορηγίαν, ἅτε δὴ φωτὸς ὄντος ὑπερφυοῦς, καὶ ζωῆς καὶ ὕδατος, τοῖς ῥήμασιν ἐκείνοις σεμνύνουσιν. ἢ μᾶλλον εἰπεῖν ἐκ τῆς τῶν προκειμένων τούτων ὁμοιότητος, παριστάνειν πειρῶνται τὴν ἄρρητον ἐκείνην τοῦ πνεύματος ἔκχυσιν ἐκ τῆς ἰδίας αἰτίας, καὶ εἰς ἡμᾶς πλημμύραν αὐτοῦ καὶ ἀνέκλειπτον χορηγίαν. ὅθεν αὗται μὲν αἱ λέξεις, ἀφ' ἑαυτῶν οὐ διορίζουσι τοῦ ἀϊδίου τὸ χρονικὸν, οὐδὲ τῆς ὑπάρξεως τὴν μετάδοσιν ἀποδιϊστῶσι. ἀλλ' ὡς γενικαί τινες λέξεις, καὶ ἀμφοῖν ἐφαρμόττουσιν. ἀλλ' ἐπιρρημάτων προσθήκη καὶ λέξεων ἄλλων, διωρισμέ-

νως

νας τὴν ἑτέραν τῶν προόδων δύνανται παριστάνειν. ὅθεν καὶ ἡμεῖς ἐπειδὰν ἐντύχωμεν ῥητῷ τινος διδασκάλου ταῖς τοιαύταις κοσμουμένῳ μεταφοραῖς, ἐκ τῶν ἄλλων τεκμηρίων ἐκείνων, ἔπι δὲ καὶ τοῦ προκειμένου τῷ διδασκάλῳ σκοποῦ συνορῶμεν, πότερον ἐκεῖ τὸ πεφηνέναι χρονικόν τι σημαίνει, ἢ ἀΐδιον. ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἄλλων. τοῦ μὲν γὰρ ἱερωτάτου Γρηγορίου ἀκούοντες λέγοντος, Πνεῦμα ἐκ Θεοῦ τὴν ὕπαρξιν ἔχον, καὶ δι' „ Γρηγ. ὁ θεολ.
υἱοῦ πεφηνὸς τοῖς ἀνθρώποις. τὸ πεφηνέναι, τὸ φανερωθῆναι, καὶ μετασχεθῆναι νοοῦμεν. τοῦ δὲ Κυρίλλου λέγοντος. Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ „ Κύριλ.
πατρὸς πεφηνότα δεικνύουσιν ἑαυτὸν ὁ μονογενής. τὸ πεφηνέναι, τὴν ἀΐδιον „ ἐκείνην γέννησιν φανταζόμεθα. καὶ πάλιν ἐπειδὰν μὲν οὗτος ὁ διδάσκαλος λέγῃ, Πνεῦμα τῇ κτίσει δι' υἱοῦ προχεόμενον, τὴν τοῦ πνεύματος χο- „ Ὁ αὐτός.
ρηγίαν δίδωσιν ἐννοεῖν. ὁπόταν δὲ λέγῃ, Καὶ προχεῖται μὲν, ἤγουν „ Ὁ αὐτός.
ἐκπορεύεται καθάπερ ἀπὸ πηγῆς τοῦ Θεοῦ καὶ πατρὸς, χορηγεῖται δὲ „ τῇ κτίσει διὰ υἱοῦ. αὐτὸς ἡμῖν ἐξηγητὴς τῆς ἀϊδίου προόδου τοῦ πνεύματος „ γίνεται. ἔνιοι δὲ τῶν διδασκάλων, καὶ χαίρουσι τὴν ἀΐδιον τοῦ πνεύματος πρόοδον, ἔκπεμψιν καὶ πρόεσιν ἀποκαλεῖν μᾶλλον, ἢ ἐκπόρευσιν. καὶ ἀϊδίως ἐκπέμπεσθαι, καὶ προϊέναι, καὶ προΐεσθαι, μᾶλλον ἢ ἐκπορεύεσθαι, τοῦ κατὰ τὴν λέξιν ἑλληνισμοῦ πάνυ φροντίζοντες. πλὴν ὅταν ἀνάγκη τις ᾖ ταῖς εὐαγγελικαῖς χρῆσθαι φωναῖς πρὸς τὴν τῆς ἀληθείας ἀπόδειξιν. τότε γὰρ οὐκ αἰδοῦνται τῶν τῆς τέχνης ὑπερορῶντες κανόνων. τούτοις μὲν οὖν (ὅπερ εἶπον) ἀδιαφόρως κέχρηνται τοῖς ὀνόμασί τε καὶ ῥήμασιν οἱ ἱεροὶ πατέρες ἡμῶν. ἐκείνοις δὲ τοῖς ῥητοῖς διωρισμένως τὴν ὑπαρκτικὴν σημαίνουσι τοῦ πνεύματος πρόοδον, δι' ἧς τὸ εἶναι προσωπικῶς ἔχει, οἷς ἡ ὕπαρξις καὶ τὸ εἶναι καὶ ὑφεστάναι, κατὰ τὴν αἰτίαν ἐναργῶς σημαίνοντα πρόσεισι. τούτοις γὰρ οὐδ' οἷόν τ' ἐπὶ προσθέντας τὸν τῆς κτίσεως ὅρον, ἐπί τι χρονικὸν ἑλκύσαι τὴν ἔννοιαν. ῥᾴδιον οὖν ἂν ἦν τὰ ῥητὰ τῶν διδασκάλων ἐκείνων, πρὸς τὴν χρονικὴν ἐπισπάσασθαι πρόοδον, ὡς δὴ καθόλου καὶ γενικῷ τινὶ τῷ τοῦ ἐκπορεύεσθαι ῥήματι χρωμένους. ἐπεὶ μήτε τὸ ἀϊδίως πρόσκειται, μήτε χρονικόν τι συντέτακται. ὡς

ἂν πρὸς τὴν ἐκείνου διαστολὴν τὸ ἐκπορεύεσθαι, ἀντὶ τοῦ ὑφίστασθαι νοεῖν ὁ λόγος ἡμᾶς ἀναγκάσῃ. καὶ οὐδὲν ἂν ἦν ἀπεικὸς, συνεπτυγμένην τινὰ τῶν διδασκάλων θεολογίαν τοῦτο νομίζειν, ἐπειδὰν ἐκ πατρὸς δι' υἱοῦ τὸ πνεῦμα λέγωσιν ἐκπορεύεσθαι· ὡς ἐκ μὲν τοῦ πατρὸς ὑφιστάμενόν τε καὶ χορηγούμενον, δι' υἱοῦ δὲ χορηγούμενον μόνον. ὡς ἂν τὸ ἐκπορεύεσθαι τὸ πνεῦμα, πρός τε τὸν πατέρα καὶ πρὸς τὸν υἱὸν ἀναφέροιτο, τὸν οἰκεῖον ἑκατέρῳ τρόπον. τὸν μὲν, ὡς αἴτιον καὶ πηγὴν τῆς θεότητος. τὸν δὲ, ὡς διὰ τὴν ταυτότητα τῆς οὐσίας, χορηγόν τε καὶ πρύτανιν τῶν ἐν πνεύματι πρὸς τὴν κτίσιν καταπεμφθέντων καλῶν ἄνωθεν ἐκ τοῦ τῶν φώτων πατρός.

Ἀλλ' ἵνα μὴ φιλονεικότερον δόξωμεν μετιέναι τοὺς λόγους, ἢ δι' ἔνδειαν ἁπλουστέρων τε καὶ ἀληθινῶν ἐξηγήσεων, ἐπὶ τὰς πολυπλόκους ταύτας καὶ ἀσαφεῖς καταφεύγειν, ὥσπερ οἱ Λατῖνοι ποιοῦσι πρὸς ἡμᾶς. διαιρέσεσί τισιν ἀμαρτύροις καὶ ἀσαφέσι τὴν καινοτομίαν ὑποσκιάζοντες. καὶ πρὸς τούτοις, ἐπειδήπερ οὐ μόνον ἐκπορεύεσθαι λέγεται ἐκ πατρὸς δι' υἱοῦ, ἀλλὰ καὶ ἐκ Θεοῦ δι' υἱοῦ εἶναι. ὃ δὴ φανερῶς οὐ περὶ τῆς προόδου τούτου καθόλου, ἀλλὰ περὶ τῆς ὑπάρξεως νοεῖσθαι δεῖ. οὐ μὴν δ' ἀλλὰ καὶ πολλοῖς ἄλλοις τῶν διδασκάλων ῥητοῖς τοῦτ' αὐτὸ κατάδηλον γίνεται. τὸ ἀϊδίως ἐκ πατρὸς δι' υἱοῦ προϊέναι τὸ πνεῦμα. οἷς καὶ καθάπερ ἐξηγητικοῖς τοῦ δι' υἱοῦ χρῆσθαι δυνάμεθα, καὶ χρησόμεθα. γένοιτο γὰρ ἂν οὐδεὶς ἐξηγητὴς, ὧν οἱ διδάσκαλοι λέγουσιν, ἀξιοχρεώτερος αὐτῶν τῶν εἰπόντων, συγχωροῦμεν ἀϊδίως ἐκ πατρὸς δι' υἱοῦ προϊέναι καὶ εἶναι τὸ πνεῦμα· κἂν μὴ τὸ ἀϊδίως προσκείσεται. καὶ λίαν ἀληθὲς τοῦτ' εἶναι ἰσχυριζόμεθα. καὶ δεῖν φαμὲν τὴν ἐκ πατρὸς τοῦ πνεύματος πρόοδον, διὰ τοῦ υἱοῦ λέγειν καὶ ἀνυμνεῖν. καὶ οὕτω νοεῖν ταύτην, ὡς οὕτω καὶ οὖσαν. ἀλλ' οὐ διὰ τοῦτο καὶ τὸν υἱὸν τοῦ πνεύματος νομίζομεν αἴτιον. οὐδ' ὅσα ἐντεῦθεν πλέκοντες συμπεραίνουσιν· οἱ διὰ ταῦτα Λατίνοις εὐκόλως προστεθειμένοι. Ἀλλ' ὅτι μὲν καθάπαξ ἀδύνατον ἐστὶ τοὺς ἱεροὺς διδασκάλους αἴτιον τὸν υἱὸν πεπιστευκέναι τοῦ πνεύματος, εἰ καὶ ἐκ τοῦ πατρὸς διὰ τοῦ υἱοῦ προϊέναι τοῦτο ἀϊδίως ἐφρόνουν, ταῖς αὐτῶν τῶν διδασκάλων ῥήσεσι μετὰ ταῦτα δειχθήσεται διαρρήδην τοῦτο λεγόντων. νῦν δὲ πρό-

τερον

περοι τί ποτ' ἐβούλοντο νοεῖν ἐν τῷ δι' υἱοῦ, πειρατέον εὑρεῖν. καὶ τοὺς ἄλλην τινὰ διάνοιαν ἐκείνοις προσάπτοντας παρὰ τὴν ἀληθῆ καὶ γνησίαν, ἐξελεγκτέον.

ΚΕΦΑΛΑΙΟΝ κζ.

Ὅτι οἱ διδάσκαλοι ἐκ πατρὸς δι' υἱοῦ λέγοντες ἐκπορεύεσθαι τὸ πνεῦμα, τὴν εὐαγγελικὴν πρότασιν ἀναπτύσσουσι. καὶ ὅτι τὴν κατ' οὐσίαν συνάφειαν τῶν θείων προσώπων καὶ τὴν τάξιν αὐτῶν, διὰ τῆς ἀναπτύσεως ταύτης παριστῶσι, καὶ τὴν τῶν προόδων διαφοράν.

Τὴν ἐκ τῆς πρώτης τοίνυν αἰτίας τοῦ πνεύματος πρόοδον, ἐνίοτε μὲν συνεπτυγμένως οἱ ἱεροὶ διδάσκαλοι παριστῶσιν, ἀρκούμενοι τῇ λέξει τῆς τοῦ Σωτῆρος θεολογίας, λέγοντος, ἐκ τοῦ πατρὸς τοῦτ' ἐκπορεύεσθαι. καὶ μάλιστα ἐπειδὰν συνημμένως καὶ τῆς τοῦ υἱοῦ γεννήσεως μνημονεύωσι. τουτέστιν, ὁπόταν λέγωσιν, ὅτι ἐκ τοῦ πατρὸς ὁ υἱὸς γεννᾶται, καὶ τὸ πνεῦμα τὸ ἅγιον ἐκπορεύεται. ὥσπερ ποιοῦσι καὶ ἐπειδὰν τὴν τοῦ πνεύματος φανέρωσιν δι' υἱοῦ γενομένην προστιθῶσι τῷ λόγῳ. λέγοντες, ἐκ πατρὸς μὲν ἐκπορεύεσθαι, δι' υἱοῦ δὲ χορηγεῖσθαι τῇ κτίσει. οὐδὲ γὰρ οἴονται τότε χρείαν εἶναι τῆς ἀναπτύξεως, τῶν θείων προσώπων ἁπάντων ἐμπεριεχομένων τῷ λόγῳ. ἀλλ' ὅταν κεχωρισμένως εἰς τὸν περὶ τοῦ πνεύματος ἀφίκωνται λόγον, τότε τὸν εὐαγγελικὸν ἐκεῖνον ἀναπτύσσοντες νοῦν, δι' υἱοῦ τοῦτο φασὶν ἐκ τοῦ πατρὸς ἐκπορεύεσθαι. ὁ γὰρ δεσπότης ἡμῶν Ἰησοῦς Χριστὸς, ἐκεῖθεν ἐκπορεύεσθαι εἶπε τὸ πνεῦμα, ὅθεν αὐτὸς γεγέννηται. καὶ τοῦτο ἐστὶ, τὸ παρὰ τοῦ πατρὸς ἐκπορεύεσθαι. τοῦτο γοῦν κἀκεῖνοι δηλοῦντες, ἐκ τοῦ πατρὸς διὰ τοῦ υἱοῦ τοῦτ' ἐκπορεύεσθαι λέγουσι. τουτέστιν ἐξ ἐκείνου τοῦ προσώπου, κἀκείνης τῆς ὑποστάσεως, ἐξ ἧς ὁ υἱὸς γεννητῶς τὸ εἶναι λαμβάνει, καὶ αὐτὸ προοδικῶς τὸ πνεῦμα ὑφίστασθαι.

καὶ οὕτω τὰς δύο προόδους συνημμένως νοοῦσιν, ὥσπερ ἀλλήλαις συμπεπλεγμένας. χωρίζουσι δ' αὖθις, ἐν τῷ διὰ υἱοῦ μὲν τὸ πνεῦμα προϊέναι λέγειν, οὐκ ἔτι δὲ καὶ τὸν υἱὸν διὰ τοῦ πνεύματος. καὶ αὐτὸ δὲ τὸ διὰ υἱοῦ λέγειν, οὐ μᾶλλον ἑνούντων ἐστὶν, ἢ χωριζόντων. ἡ γὰρ πρόθεσις αὕτη, καὶ διαιρεῖ τὰς προόδους, ὡς δὲ καὶ τὰ προϊόντα, καὶ συνάπτει πάλιν, ἣ ἂν αὐτὰ συνάπτεσθαι δέοι, τουτέστι κατὰ τὴν φύσιν. καὶ καθάπερ ὁ δεσπότης ἡμῶν, (Ἰωάν. ι΄ λ΄.) „ἐγὼ λέγων ἐν τῷ πατρὶ, καὶ ὁ πατὴρ ἐν ἐμοί. καὶ ἐγὼ (Ἰωάν. ι΄.) „καὶ ὁ πατὴρ ἕν ἐσμεν, ἑνοῖ τε ἑαυτῷ τὸν πατέρα κατὰ τὴν φύσιν, καὶ διαιρεῖ πάλιν ταῖς ἀντωνυμίαις ἐκείναις, καὶ τοῖς ὀνόμασιν. οὕτω καὶ οἱ διδάσκαλοι διὰ τοῦ υἱοῦ τὸ πνεῦμα ἐκ τοῦ πατρὸς ἐκπορεύεσθαι λέγοντες, καὶ συνάπτουσι τῷ υἱῷ τὸ πνεῦμα. (οὐ γὰρ διῄρηται λοιπὸν τοῦ υἱοῦ, τὸ δι' αὐτοῦ προϊέναι λεγόμενόν τε καὶ πιστευόμενον.) καὶ διαιροῦσι πάλιν αὐτοῦ. οὐ γὰρ οἷόν τ' ἓν εἶναι καθάπαξ, ἐν οἷς θάτερον τοῦ λοιποῦ προεπινοεῖται. δι' οὗ δέ τι πρόεισι, προεπινοεῖται δήπου τοῦ δι' αὐτοῦ προϊόντος. καὶ οὕτω καθάπερ ἐν τῇ πρώτῃ τῶν ὄντων δημιουργίᾳ, καὶ τῇ τῆς ἡμετέρας φύσεως ἀναπλάσει, ἐν ἑνὶ τῆς θεότητος ἔργῳ τὰς ὑπερουσίους ὑποστάσεις ἐκείνας πάσας εἱρμῷ τινι θαυμασίῳ συμπλέκουσιν, ἐκ πατρὸς διὰ υἱοῦ ἐν πνεύματι, ταῦτα γεγονέναι λέγοντες. οὕτω κἂν τῇ τοῦ πνεύματος προόδῳ, τὸν υἱὸν οὐκ ἀποσχοινίζουσιν. ἀλλὰ καίτοι προσεχῶς τοῦτο νοοῦντες ἐκ τοῦ πατρὸς ὑφεστάναι, καὶ καρπὸν εἶναι τῆς ἐν τῷ πατρὶ γονιμότητος, ὥσπερ καὶ τὸν υἱὸν, καὶ συνεπινοοῦσιν αὐτῷ τὸν υἱόν. οὐ γὰρ δύνανται χωρίζειν τὰ συμφυᾶ, καὶ τὰ ἐκ τῆς αὐτῆς αἰτίας ἀνίσχοντά τε καὶ συνανίσχοντα. καὶ προεπινοοῦσι αὐτοῦ τὸν υἱόν. προεπινοοῦντες μὲν ἁπλῶς θατέρου θάτερον· ἵνα διέλωσι προσωπικῶς τὰ κατὰ φύσιν ἓν ὄντα. εἰ γὰρ μὴ θατέρου θάτερον προεπινοηθείη κατὰ τὴν ὑπόστασιν, μία ἐν αὐτοῖς ὑπόστασις ἔσται, ὥσπερ καὶ φύσις· προεπινοοῦντες δὲ τὸν υἱὸν τοῦ πνεύματος· καὶ οὐ τὸ ἀνάπαλιν, ἵνα μήτε τὴν τῶν ὀνομάτων τάξιν ἀνέλωσι, καὶ τὴν θαυμασίαν ἐκείνην σειρὰν, ἣν ὁ θεῖος ἔπλεξε λόγος. μήτε τὰς τῶν θείων ὀνομάτων ἐμφάσεις συγχέωσιν. ἀλλ' ἐπεὶ μὲν τῶν πρὸς τὴν κτίσιν εὐεργεσιῶν τὸ κοινὸν τῆς Τριάδος ἔργον, ταῖς θείαις

ὑπο-

ὑποστάσεσι συνδιανέμεται, οἰκείως τὴν πρὸς ἑαυτὰς ἔχουσι τάξιν· οὐ γὰρ πρὸς τὴν δημιουργικὴν ἐνέργειαν ἡ τῶν ὑποθέσεων ἐκείνων διαφορὰ, ἀλλὰ πρὸς τὴν τάξιν τὴν καθ' ἑαυτὰς αἱ ὑποστάσεις ἔχουσιν ἀφορίζεται. ἐνταῦθα δὲ τὰς μὲν θείας ὑποστάσεις ὁ λόγος συμπλέκει, τῇ κατ' οὐσίαν ἐκείνων ἑνότητι, καθόσον ἔξεστιν αὐτῶν παρακολουθεῖν. τὸ μέντοιγε ἔργον, οὐ πάσης κατηγορεῖ τῆς θεότητος, ἀλλὰ τῆς πρώτης μόνης αἰτίας. διὸ ἐκεῖ μὲν ἐκ πατρὸς δι' υἱοῦ ἐν πνεύματι, ἓν γίνεται ἔργον. ἐν ᾧ ἡ Τριὰς ὡς εἷς ἐνεργῶν, ἐνεργεῖ. τοῦ δὲ πνεύματος ἐκ πατρὸς δι' υἱοῦ προϊόντος, ἓν γίνεται ἔργον. ἐν ᾧ μόνος ἐνεργῶν, τουτέστιν ἐκ τῆς ἰδίας προάγων φύσεως ἑτέραν ὑπόστασιν, καὶ ὑφιστῶν αὐτὴν τῷ νόμῳ τῶν προεχόντων, ἐστὶν ὁ πατήρ. καὶ ὑφίστησι μὲν ὁ πατὴρ τὸν υἱόν. ὑφίσταται δὲ ἐκ πατρὸς καὶ τὸ πνεῦμα, ὁ δὲ υἱὸς συνεπινοεῖται. οὔτε γὰρ τοῦ πατρὸς ὑφιστάντος, οὔτε τοῦ πνεύματος ὑφισταμένου κεχώρισται. εἰ καὶ μὴ τῷ πατρὶ συνυφίστησιν, ἀλλὰ τῷ πνεύματι συνυφίσταται. πλὴν ἕτερόν τινα τρόπον. συνεπινοεῖται δὲ οὔτε πρότερος τῆς ἰδίας αἰτίας, πῶς γὰρ ἂν προεπινοηθείη τῆς ἰδίας αἰτίας; οὔτε τοῦ πνεύματος ὕστερος, πῶς γὰρ ἂν χωρίζοιτο; τῇ ἐπινοίᾳ γοῦν τοῦ γεγεννηκότος, ἐπινοεῖται μὲν γὰρ μετ' ἐκεῖνον, ὡς δὴ ἐξ ἐκείνου γεγεννημένος. οὐδὲν δὲ παραδέχεται μέσον, διὰ τὸ μονογενὴς εἶναι. ἄλλως δὲ οὐδὲν ἂν ἐλυμήνατο τὴν ἀλήθειαν, εἴ τις ἐν μὲν τῇ προόδῳ τοῦ πνεύματος, μετὰ τὸ πνεῦμα τὸν υἱὸν συνεπινοεῖ. ἐν δὲ τῇ τοῦ υἱοῦ γεννήσει, τὸ πνεῦμα μετὰ τὸν υἱόν. ὡς γὰρ ἡ προεπίνοια τοῦ υἱοῦ, ἤγουν ἡ μεσιτεία τῆς φυσικῆς πρὸς τὸν πατέρα σχέσεως, οὐκ ἀπείργει τὸ πνεῦμα, ἀλλ' οὐδὲν ἧττον ἐκ τοῦ πατρὸς ὑφέστηκε προσεχῶς, εἰ καὶ ὁ υἱὸς αὐτοῦ προεπινοεῖται· οὕτως οὐδὲ τὸν υἱὸν ἂν τῆς πρὸς τὸν πατέρα φυσικῆς διέστησε σχέσεως, τὸ πνεῦμα τοῦ υἱοῦ προεπινοούμενον. Καρποὶ γὰρ εἰσὶν ἄμφω τῆς (Γρηγ. θεολ) ἐν τῷ Θεῷ γονιμότητος, προσεχεῖς ἐκείνῳ καὶ κατὰ φύσιν καὶ κατ' αἰτίαν ὁμοίως, ὡς δίδυμος τις ἀκτίς. ἢ ὡς ποταμοί τινες δύο, τῆς αὐτῆς πηγῆς ἀποβλύζοντες, ὁ μέγας εἶπε Γρηγόριος. ἀλλ' ἡ μὲν τοῦ πνεύματος μεσιτεία, συνέχεεν ἂν τὸ μονογενὲς τῷ υἱῷ. ἅτε καὶ τοῦ πνεύματος εἰς τὴν τοῦ υἱοῦ τάξιν μεθισταμένου, τῷ προσεχῶς ἐκ τοῦ πατρὸς νοεῖσθαι προεληλυθός,

τουτέστιν ὡς ἐκ πατρὸς τε καὶ γεννητῶς. ἡ δὲ τοῦ υἱοῦ μεσιτεία, καὶ ἑαυτῷ διαφυλάττει τὸ μονογενές, καὶ τὸ πνεῦμα τῆς φυσικῆς πρὸς τὸν πατέρα σχέσεως οὐκ ἀπείργει. διὰ ταῦτ᾽ ἄρα καὶ πνεῦμα μετὰ υἱοῦ λέγεται χωρὶς προσθήκης τινός, καὶ πνεῦμα πατρός· οὔτε γὰρ πνεῦμα λέγεται πατρὸς διὰ υἱοῦ· οὔτε πνεῦμα υἱοῦ ἐκ πατρός· ἐπεὶ γὰρ τὰ τοιαῦτα τὴν φυσικὴν συγγένειαν δηλοῖ τῆς θεότητος, ἐπίσης οὖσαν τῷ πνεύματι πρός τε τὸν πατέρα καὶ τὸν υἱόν, οὐκ ἂν ἔδει προσθήκῃ τινὶ διαιρεῖν. ἀλλ᾽ ἐπειδὰν ἐκ τοῦ πατρὸς λέγηται, καὶ ὁ λόγος τὴν πρόοδον τοῦ πνεύματος παριστάνῃ τὴν ἐκ τῆς πρώτης αἰτίας, ἐκ τοῦ πατρὸς λέγεται διὰ υἱοῦ. ἵνα μὴ πιστευθῇ τὸ πνεῦμα γεννᾶσθαι ἐκ τοῦ πατρός, ἀλλὰ τῷ ὀνόματι τοῦ υἱοῦ τῆς γεννήσεως ἐπινοηθείσης, καθ᾽ ἣν μονογενῶς ἐστὶν ἐκ τοῦ πατρὸς ὁ υἱός. καὶ τὸ πνεῦμα λοιπὸν ἕτερόν τινα τρόπον προόδου προελθεῖν ἐκ τοῦ πατρὸς νοηθῇ. καθ᾽ ὃν δὴ τρόπον καὶ προβολεὺς καλεῖτ᾽ ἂν εἰδικώτερον, ὁ πατήρ, ὁ Θεὸς καὶ πατήρ. ἐντεῦθεν ἐκ πατρὸς τὸ πνεῦμα λέγοντες ἐκπορεύεσθαι κατὰ τὴν τοῦ Σωτῆρος φωνὴν οἱ τῆς Ἐκκλησίας διδάσκαλοι, καὶ τὸ διὰ υἱοῦ προστιθέασιν. ἀνάπτυξιν ποιοῦντες μάλα ἐπαινετήν. εἴ γε μικρᾷ προσθήκῃ ταύτῃ, καὶ τὴν ἑνότητα τῆς θείας οὐσίας, καὶ τὴν διαφορὰν τῶν προόδων, καὶ τὴν ἀπ᾽ αὐτῆς ἀνίσχουσαν τάξιν, ἐν τοῖς αἰτιατοῖς προσώποις ἐκφαίνουσιν. ὅτι δὲ ταῦθ᾽ οὕτως ἔχει, μάρτυς ἡμῖν ὁ Νύσσης Γρηγόριος ἕστηκεν ἀξιόχρεος· αὐτὸς γὰρ ἐξηγητὴς ἡμῖν σαφέστατος γίνεται τῶν ῥήσεων ἐκείνων, ἐν οἷς ἐκπορεύεσθαι τὸ πνεῦμα ἐκ πατρὸς λέγεται διὰ υἱοῦ.

ΚΕΦΑΛΑΙΟΝ κη.

Ἐπιστασία εἰς τὰ τοῦ Νύσσης ῥητά, ἐφ᾽ οἷς μάλιστα θαρροῦσι Λατῖνοι, δεικνῦσα, ὅτι ταῦτα τῇ προεκτεθημένῃ μᾶλλον ἐννοίᾳ συναγωνίζονται.

ΕΝ γὰρ τῷ πρὸς Ἀβλάβιον λόγῳ προθέμενος περὶ τῆς κατὰ φύσιν ἑνότητος ἐν τρισὶ προσώποις τοῦ Θεοῦ πραγματεύσασθαι,

καὶ

καὶ δεῖξαι ὅπως οὔτε διὰ τὴν ἑνότητα τῆς θείας οὐσίας, οἱ τῶν ὑποστάσεων συγχέονταί τε καὶ ἀναμίγνυνται λόγοι. οὔτε τῷ πλήθει τῶν ὑποστάσεων, ἡ θεία συγκαταμερίζεται φύσις. καὶ ταῦτα δείξας πάνυ καλῶς, ἐν τῷ τοῦ λόγου τέλει τὴν πρόθεσιν ἐπεξεργαζόμενος, οὕτω φησίν. Εἰ δέ τις συκοφαντεῖ τὸν λόγον, ὡς ἐκ τοῦ μὴ δέχεσθαι τὴν κατὰ φύσιν διαφορὰν, μίξιν τινὰ τῶν ὑποστάσεων καὶ ἀνακύκλησιν κατασκευάζοντα, τοῦτο περὶ τῆς τοιαύτης ἀπολογησώμεθα μέμψεως. ὅτι τὸ ἀπαράλλακτον τῆς φύσεως ὁμολογοῦντες, τὴν κατὰ τὸ αἴτιον καὶ αἰτιατὸν διαφορὰν οὐκ ἀρνούμεθα, ἐν ᾧ μόνῳ διακρίνεσθαι τὸ ἕτερον τοῦ ἑτέρου καταλαμβάνομεν. τῷ τὸ μὲν αἴτιον πιστεύειν εἶναι, τὸ δὲ ἐκ τοῦ αἰτίου. καὶ τοῦ ἐξ αἰτίας ὄντος πάλιν ἄλλην διαφορὰν ἐννοοῦμεν. τὸ μὲν γὰρ προσεχῶς ἐκ τοῦ πρώτου. ὥστε καὶ τὸ μονογενὲς, ἀναμφίβολον ἐπὶ τοῦ υἱοῦ μένειν. καὶ τὸ ἐκ τοῦ πατρὸς εἶναι τὸ πνεῦμα, μὴ ἀμφιβάλλειν, τῆς τοῦ υἱοῦ μεσιτείας καὶ ἑαυτῷ τὸ μονογενὲς φυλαττούσης, καὶ τὸ πνεῦμα τῆς φυσικῆς πρὸς τὸν πατέρα σχέσεως μὴ ἀπειργούσης. εἶτα ἐπάγει συμπεραίνων. Ἐπειδὴ τοίνυν τὰς μὲν ὑποστάσεις ἐπὶ τῆς ἁγίας Τριάδος ὁ τοῦ αἰτίου διακρίνεται λόγος. τὸ μὲν ἀναιτίως εἶναι. τὸ δὲ ἐκ τοῦ αἰτίου πρεσβεύων. ἡ δὲ θεία φύσις, ἀπαράλλακτός τε καὶ ἀδιαίρετος διὰ πάσης ἐννοίας καταλαμβάνεται. διὰ τοῦτο κυρίως μία θεότης, καὶ εἷς Θεὸς, καὶ τ' ἄλλα πάντα τῶν θεοπρεπῶν ὀνομάτων, θεοπρεπῶς ἐξαγγέλλεται. Οὗτος τοίνυν ὁ μέγας διδάσκαλος τῆς τῶν θείων προσώπων διακρίσεως, τὴν κυριωτάτην καὶ μόνην αἰτίαν εὑρών τε ἐκ τῶν θείων καὶ ἱερῶν λογίων, καὶ ἡμῖν πάνυ συντόμως ἀποδιδοὺς, οὐδὲ μίαν ἑτέραν εἶναί φησιν, ἢ τὸν τοῦ αἰτίου λόγον. καὶ τούτῳ τῷ λόγῳ μόνῳ τὰ θεῖα διακρίνεσθαι πρόσωπα φησί· καὶ ἐκ τοῦ λόγου τούτου τὰς ὑποστάσεις χαρακτηρίζεσθαι, διαφόρως μετεχούσας αὐτοῦ. ἄνωθεν γὰρ ἐκ τοῦ πατρὸς ἠργμένος, καὶ διὰ τοῦ υἱοῦ ἐπὶ τὸ πνεῦμα περάνας, τὰ μετασχόντα διαφόρως αὐτοῦ, διάφορα πεποίηκεν εἶναι καὶ διακεκριμένα. λόγον γὰρ αἰτίου, οὕτωσίγε τὸν τῆς αἰτίας μόνης λόγον φησίν. οὕτω γὰρ οὐκ ἂν τὰ θεῖα πρόσωπα διεκρίνετο τῷ τοῦ αἰτίου λόγῳ. ἀλλὰ μᾶλλον ἅπαντα ἓν ἂν ἦσαν, διὰ πάντων ὁ-

Γρηγ. ὁ Νυσ.

μοίως τοῦ τῆς αἰτίας λόγου διήκοντος. καὶ πάντων αἰτίων ὄντων. ἀλλ' οὐδὲ λόγον αἰτίου, μόνον τὸν τῆς αἰτίας καὶ τοῦ ἐξ αἰτίας εἶναι λόγον καλεῖ, ὡς ἂν τὰ θεῖα πρόσωπα τῷ αἰτίῳ μόνῳ καὶ τῷ αἰτιατῷ διακεκεῖσθαι τις εἴπηται. καὶ ταύτην μόνην τὴν διάκεισιν διὰ πάντων ὁμοίως τῶν προσώπων διήκειν, ἀφ' ἑκάστου πρὸς ἕκαστον· οὕτω γὰρ ἔνιοι τὸ ῥητὸν ἐκεῖνο ἐνόησαν. καὶ διὰ τοῦτο τὸν μὲν υἱὸν, αἰτιατὸν τοῦ πατρός. τὸ δὲ πνεῦμα, αἰτιατὸν τοῦ πατρὸς καὶ τοῦ υἱοῦ πεπιστεύκασιν εἶναι. τῷ υἱῷ καθάπερ μέσῳ τινὶ, καὶ ἀμφοτέρας ἀποδόντες τὰς σχέσεις. ἀλλὰ λόγον αἰτίου φησὶ, τὴν ὁλοσχερῆ τῆς αἰτίας ἔννοιαν, τῷ ἀπαραλλάκτῳ τῆς φύσεως καὶ ἐνιαίῳ συνεισερχομένην, ἀναγκαίως καὶ τὴν διάκεισιν εὐθὺς συνεισφέρουσαν. ὡς ἂν τις εἴποι λόγον τῆς φύσεως καθόλου, τὴν ὁλοσχερῆ τῆς φύσεως ἔννοιαν ἀποδιαιρῶν πρὸς τὸν λόγον τῆς σχέσεως, ἢ τῆς τάξεως. ὡς καὶ αὐτὸς τοῦτο δείκνυσιν ὁ διδάσκαλος, ἐν τῷ τέλει τοῦ πρώτου τῶν πρὸς Εὐνόμιον ἀντιρρητικῶν, κἂν αὐτῷ τῷ πρὸς Ἀφλάβιον λόγῳ, οὑτωσὶ λέγων.

Ὁ αὐτός. „ Οὐ γὰρ τὸν αὐτὸν ἄν τις αἰτίας καὶ φύσεως λόγον ἀποδοίη.

Τῷ μὲν οὖν τῆς φύσεως λόγῳ, ἕνα τὸν Θεὸν εἶναι καὶ ἀδιάκειτον ὁ διδάσκαλος λέγει. τῷ δὲ τῆς αἰτίας λόγῳ, τὴν διαφορὰν ἔχειν, πολυσχεδῶς τοῖς θείοις ἐνθεωρουμένῳ πράγμασιν. οἷον εὐθὺς ὁ τῆς αἰτίας λόγος, γνωρίζει μὲν τὴν ὑπόστασιν τοῦ πατρὸς διχῶς. ὅτι τε ἀναιτίως ἐστὶν, ὡς αὐτὸς φησὶν ὁ διδάσκαλος, καὶ ὅτι τῶν ἄλλων αἴτιος ἐστίν. ὅτι μὲν γὰρ οὐκ ἂν οἷόν τ' ἦν ἄγονον τὸ θεῖον εἶναι, αἴτιος ἐστὶ φυσικῶς ὁ Θεός. ὅτι δὲ πάντῃ πάντων ἐστὶν αἰτία, καὶ ἀναίτιος ἐστὶν ἐξ ἀνάγκης· οὐκοῦν ἐν τῷ Θεῷ διὰ τοῦτο, τὸ μὲν αἴτιον πιστευόμενον εἶναι. τοῦτο δὲ ἐστὶν ὁ πατήρ· καὶ οὐκ αἴτιον μόνον, ἀλλὰ καὶ ἀναίτιον. τὸ δὲ ἐκ τοῦ αἰτίου πιστευόμενον εἶναι. εἷς μὲν δὴ τρόπος ἡμῖν διακείσεως οὗτος ἐκ τοῦ τῆς αἰτίας ἀνίσχει λόγου. εἰ δὲ βούλει, καὶ οὗτος διπλοῦς. ὅτι τὸ αἴτιον ἡμῖν καὶ ἀναίτιον ἀναπέφηνε. τὸ δὲ αἰτιατὸν, οὐκ ἀναίτιον. εἶτα καὶ δεύτερος ἡμῖν συναναφαίνεται διακείσεως τρόπος, ἐκ τοῦ τῆς αἰτίας λόγου. ᾧ δὴ τὸ αἰτιατὸν αὐτὸ διακείνεται. τουτέστι τὰ μετασχόντα τοῦ λόγου τῆς αἰτίας παθητικῶς. τοῦ γὰρ ἐξ αἰτίας ὄντος φησὶ, πάλιν ἄλλην διαφορὰν ἐννοοῦμεν.

οὐ

οὐ τὴν προτέραν ἐκείνην δηλονότι, τὴν κατὰ τὸ αἴτιον καὶ αἰτιατόν, ἀλλὰ τὴν κατὰ τὸ διαφόρως αἰτιατόν. εἰ γὰρ καὶ ἄμφω ταῦτα, οἷς τὸ ἐξ αἰτίας εἶναι κοινῶς πρόσεστιν ἐκ τοῦ πρώτου εἰσί, καὶ αἰτιατά εἰσιν ἐκείνου, ἀλλὰ διαφόρως εἰσὶν ἐκ τοῦ πρώτου. τὸ μὲν γὰρ προσεχῶς ἐστὶν ἐξ αὐτοῦ. τὸ δὲ διὰ τοῦ προσεχῶς, ἐξ αὐτοῦ. τὸ μὲν γὰρ ἐκ τοῦ πατρὸς, τρόπῳ γεννήσεως πρόεισιν, ὥστε καὶ προσεχῶς. προσεχὲς γὰρ ἐστὶ τῷ γεννῶντι δήπου τὸ γέννημα· τὸ δὲ ἕτερον τινὰ τρόπον πρόεισιν ἐκ τοῦ πατρὸς. οὐ κατὰ τὸν τῷ γεννῶντι πρέποντα τρόπον. ὥστε προεπινοουμένης ἐκ τοῦ πατρὸς τῆς τοῦ υἱοῦ γεννήσεως, καὶ τῆς τοῦ πατρὸς σημασίας εἰς τὸν υἱὸν ἀναφορικῶς ἀποδιδομένης, καὶ τὸ πνεῦμα νοεῖσθαι λοιπὸν ἐξ ἐκείνης δὴ προϊὸν τῆς πατρικῆς ὑποστάσεως. τοῦτο γὰρ ἐδήλωσε τὴν αἰτίαν προσθεὶς τῆς δευτέρας ταύτης διαφορᾶς. τοῦτο γὰρ φησί, διὰ τοῦθ' οὕτως ἔχει. ἵνα καὶ τὸ μονογενὲς ἀναμφίβολον ἐπὶ τοῦ υἱοῦ μένῃ, μὴ καὶ τοῦ πνεύματος πρὸς τὴν τοῦ υἱοῦ τάξιν μεθισταμένου. διὰ τὸ προσεχῶς νοηθῆναι ἂν καὶ αὐτὸ ἐκ τοῦ πατρός. καὶ τὸ ἐκ τοῦ πατρὸς εἶναι τὸ πνεῦμα, μὴ ἀμφιβάλληται· διὰ τοῦτο γὰρ εἶπον, καὶ ἄμφω ἐκ τοῦ πρώτου εἶναι, εἰ καὶ θάτερον μὲν προσεχῶς. θάτερον δὲ, διὰ τοῦ προσεχῶς. ἡ γὰρ τοῦ υἱοῦ μεσιτεία κατὰ τὴν προεπίνοιαν οὖσα, εἰ καὶ τῷ υἱῷ φυλάττει τὸ μονογενὲς, ἀλλὰ τὸ πνεῦμα τῆς φυσικῆς πρὸς τὸν πατέρα σχέσεως οὐκ ἀπείργει. φυσικὴν δὲ σχέσιν καλεῖ τοῦτ' αὐτὸ, τὸ ἐκ τοῦ πατρὸς εἶναι, καὶ προάγεσθαι φυσικῶς· καὶ ὡς ἄν τις εἴποι σαφέστερον, τὴν ἐν τῇ ἑνότητι διάκρισιν, καὶ τὴν ἀναφορὰν τῶν θείων τούτων προσώπων, οὐ τὴν ἑνότητα μόνην ὥς τινες ᾤοντο. Δῆλον οὖν ἐκ ταύτης τῆς ῥήσεως, ὡς ὁ μέγας οὗτος διδάσκαλος, δι' υἱοῦ τὸ πνεῦμα ἐκ τοῦ πατρὸς εἶναι ἐπίστευεν, οὐκ ἄλλως, ἀλλ' ἢ διὰ τοῦ προσεχῶς. καὶ ἵνα τῷ υἱῷ τὸ μονογενὲς φυλάξῃ. ἐπεὶ τὸ ἐκ τοῦ πατρὸς εἶναι τὸ πνεῦμα, καὶ οὕτως ᾔδει φυλαχθησόμενον. οὐ διὰ τὸ μὴ δύνασθαι τὸ πνεῦμα προϊέναι ἐκ τοῦ πατρὸς, μὴ τῆς ἐν τῷ πατρὶ γονιμότητος καὶ τῷ υἱῷ κοινοποιηθείσης, ὡς οἱ Λατῖνοι φρονοῦσι. καὶ ὅτι προτετάχθαι τὸν υἱὸν τοῦ πνεύματος, καὶ οὗτος φρονεῖ οὐ κατὰ τὴν αἰτίαν, ἀλλὰ κατὰ τὴν προεπίνοιαν. ἤ τις αὐτοῖς ἐκ τοῦ αἰτιατικοῦ συνέπεται λόγου. τοῦτο δὲ κἀν τῷ τέλει τοῦ πρώτου τῶν πρὸς

Ὁ αὐτός.

» Εὐνόμιον δείκνυσι. φησὶ γὰρ ἐκεῖ. Εἰ μὲν τινα χρονικὴν ἔμφασιν ὑπερεπίθη τῆς τοῦ μονογενοῦς ὑποστάσεως, ὁ τὸν πατέρα τοῦ υἱοῦ μόνῳ τῷ τῆς αἰτίας λόγῳ προθεωρῶν, εἰκότως ἂν ὁ τῆς ἀϊδιότητος ἡμῖν περὶ υἱοῦ λόγος ἐκινδυνεύετο. εἶτα ἐπήγαγεν. ὁ δ' αὐτὸς ἡμῖν καὶ περὶ τοῦ ἁγίου πνεύματος λόγος, ἐν μόνῃ τῇ τάξει τὴν διαφορὰν ἔχων. ὡς γὰρ συνάπτεται τῷ πατρὶ ὁ υἱός, καὶ ἐξ αὐτοῦ τὸ εἶναι ἔχων, οὐχ ὑστερίζει κατὰ τὴν ὕπαρξιν. οὕτω πάλιν καὶ τοῦ μονογενοῦς ἔχεται τὸ πνεῦμα τὸ ἅγιον, ἐπινοίᾳ μόνῃ κατὰ τὸν τῆς αἰτίας λόγον προθεωρουμένου τῆς τοῦ πνεύματος ὑποστάσεως. ὥστε τοῦ λόγου τῆς αἰτίας ὑπεξῃρημένου, ἐν μηδενὶ τὴν ἁγίαν Τριάδα πρὸς ἑαυτὴν ἀσυμφώνως ἔχειν. Ἰδοὺ κἀνταῦθα τοῦ υἱοῦ τὸν πατέρα μόνῳ τῷ τῆς αἰτίας λόγῳ προθεωρεῖσθαι, τουτέστι προεπινοεῖσθαι φησί. τὸν δ' αὐτὸν εἶναι καὶ περὶ τοῦ πνεύματος λόγον. τουτέστι καὶ αὐτοῦ τοῦ πνεύματος, τὸν πατέρα μόνῳ τῷ τῆς αἰτίας λόγῳ προθεωρεῖσθαι, εἶναι δὲ μόνον τὴν διαφορὰν ἐν τῇ τάξει. ὅτι τοῦ μὲν υἱοῦ προσεχῶς προεπινοεῖται. τοῦ δὲ πνεύματος, οὐ προσεχῶς. ἀλλὰ τῆς τοῦ υἱοῦ μεσιτευούσης ἐννοίας. διὸ καὶ ἐχόμενον τοῦ υἱοῦ τὸ πνεῦμα νοεῖται. προεπινοεῖται δὲ καὶ τοῦ πνεύματος ὁ υἱός, κατὰ τὸν τῆς αἰτίας λόγον εἰκότως, καὶ οὐδένα ἕτερον τρόπον. τὸ γὰρ μονογενῶς αὐτὸν ἐκ τῆς κοινῆς αἰτίας ὑφίστασθαι, οὐδὲν λοιπὸν ἀφίησιν αὐτοῦ τε μεταξὺ καὶ τοῦ πατρὸς ἐπινοηθῆναι, ὅπερ ἂν τοῦ υἱοῦ προεπινοούμενον, ὡς μεταξὺ νοούμενον εἴη. ἀλλὰ τὸ πνεῦμα τὸ ἅγιον ἐκ τῆς κοινῆς ὑφιστάμενον αἰτίας ἀδιαστάτως τῷ γε λόγῳ τῆς φύσεως· ὅμως ἑαυτοῦ μεταξὺ καὶ τοῦ πατρὸς, ἔχει τὸν ἐκ τοῦ πατρὸς προσεχῶς προϊόντα λόγον τε καὶ υἱόν. ὧν οἱ τῶν ὀνομάτων λόγοι οὐδὲν μέσον προσίενται. καὶ διὰ τοῦτ' ἔχει προεπινοούμενον ἑαυτοῦ τὸν υἱὸν τῷ τῆς αἰτίας λόγῳ. ταῦτα γὰρ ὁ τῆς αἰτίας λόγος ποιεῖ. διότι οὗτος εἰς τὴν ἄκραν ἐκείνην καὶ ἁπλουστάτην ἑνότητα, γνησίως τε καὶ φυσικῶς εἰπών, διεῖλε μὲν εὐθὺς εἰς αἴτιον καὶ αἰτιατὸν τὸν ἕνα Θεόν. τὸ δὲ αἰτιατὸν διαφόρῳ τάξει πρὸς τὴν κοινὴν αἰτίαν ἀνήνεγκε. τὸ μὲν, ὡς μονογενὲς τῷ πατρὶ προσεχῶς συνάψας. τὸ δὲ, διὰ τοῦ μονογενοῦς ἐξ ἀνάγκης πρὸς τὴν αὐτὴν αἰτίαν ἀποδεδωκώς. ὥστε τὸ πνεῦμα τὸ ἅγιον φύσει μὲν καὶ ἀξιώματι, ἀδιαστάτως ἔχεσθαι τοῦ πατρὸς ὁμοίως τῷ μονογενεῖ. τῷ

δὲ

δὲ τῆς αἰτίας λόγῳ, διὰ τοῦ υἱοῦ τοῦτο συνάπτεσθαι. μᾶλλον δὲ τῇ μὲν αἰτίᾳ καὶ τὸ πνεῦμα τῷ πατρὶ συνημμένον εἶναι ὁμοίως τῷ λόγῳ· τῷ δὲ τρόπῳ τῆς αἰτίας, ὅθεν ὁ προσωπικὸς ἀνίσχει λόγος τοῦ υἱοῦ καὶ τοῦ πνεύματος, διὰ τοῦ υἱοῦ πρὸς τὸν πατέρα συνάπτεσθαι. ὁ δὲ τῆς αἰτίας τρόπος, καὶ τὸ πῶς εἶναι ἐκ τῆς αἰτίας, ὑπὸ τὸν τῆς αἰτίας λόγον προδήλως ἐστίν, ὡς εἴρηται πρότερον. καὶ διὰ τοῦτο καλῶς ἐπήγαγεν ὁ διδάσκαλος, ὡς ἐὰν ὑπεξέλῃς τὸν τῆς αἰτίας λόγον, ἡ μακαρία Τριὰς ἐν οὐδενὶ πρὸς ἑαυτὴν ἀσυμφώνως ἕξει καὶ διαφόρως· τουτέστιν, ἂν τὴν κατὰ τὸ αἴτιον καὶ αἰτιατὸν ἀνέλῃς ἀντίθεσιν, ἐξ ἧς ἡμῖν ἡ τοῦ πατρὸς πρὸς τὸν υἱὸν καὶ τὸ πνεῦμα διάκρισις, καὶ τὴν κατὰ τὸ ὡδίπως αἰτιατὸν διαφοράν, ἐξ ἧς τὰ αἰτιατὰ διακρίνεται. ἃ δὴ πάντα προδήλως ὑπὸ τὸν τῆς αἰτίας λόγον ἐστίν, ὁ τῆς φύσεως μόνον ὑπολείπεται λόγος· μηδαμῇ μηδαμῶς διαφοράν τινα καὶ διάκρισιν προσιέμενος ἐν τοῖς θείοις. Εἴ τις τοίνυν συνελεῖν βούλεται τὸν τοῦ διδασκάλου σκοπόν, οὕτως ἐρεῖ. ὡς διακρίνει μὲν τὰς θείας ὑποστάσεις ὁ τῆς αἰτίας λόγος, οὐδαμῶς τοῦ τῆς φύσεως ἀπολειπόμενος λόγου. καὶ διὰ τοῦτο πλείους οὖσαι κατὰ τὸν τῆς αἰτίας λόγον, ὅμως ἕν εἰσι κατὰ τὴν φύσιν. διακρίνει μέντοιγε οὐχ ὡσαύτως ὁ τῆς αἰτίας λόγος πάσας τὰς ὑποστάσεις ἐκείνας. ἀλλὰ τὸν μὲν πατέρα τῶν ἐξ αὐτοῦ, ἀντιθετικῶς. τὸν δὲ υἱὸν καὶ τὸ πνεῦμα, διαφόρως. ἄλλη δέ ἐστιν αὕτη διαφορά, καὶ οὐχ ἡ αὐτὴ τῇ πρώτῃ κατὰ τὸ εἶδος. ἐκείνη μὲν γὰρ τῆς αἰτίας ἐστίν. αὕτη δ' ἐκ τῆς αἰτίας ἐστὶ μᾶλλον, καὶ διὰ τὴν αἰτίαν. κἀκείνη μὲν ἔοικε, τῇ τῶν ἀντικειμένων ἀναφορικῶς. αὕτη δὲ, τῇ τῶν διαφόρων τε καὶ ἀντιδιῃρημένων. τοιαύτην δὲ εἶναι τῆς ῥήσεως ταύτης τὴν διάνοιαν, καὶ ἡ πρόθεσις τοῦ μέρους ἐκείνου τῶν λόγων καλῶς βεβαιοῖ. οὐ γὰρ περὶ τῶν προόδων ἐκεῖ σκοπεῖ. οὐδὲ πόθεν ἔχει τὸ πνεῦμα τὸ εἶναι. ἀλλὰ πρὸς Εὐνόμιον καλῶς ἐνίσταται, φυσικήν τινα διαφορὰν ἐν τοῖς θείοις προσώποις ἀφυῶς συμπεραίνοντα. καὶ χρόνῳ προτιθέντα τὸν πατέρα τῶν ἐξ αὐτοῦ. καὶ τὴν ἀϊδιότητα ἐκ τῶν αἰτιατῶν προσώπων ἐκβάλλοντα. διὰ τὸ νομίζειν ταὐτὸν εἶναι τήν τε κατ' αἰτίαν, καὶ τὴν κατὰ χρόνον ἀρχήν. καὶ τὴν ἐκ τοῦ λόγου τῆς αἰτίας ἀνίσχουσαν τάξιν,

τὴν

τὴν αὐτὴν εἶναι καὶ χρόνου καὶ φύσεως. καὶ διὰ τοῦτο προτετάχθαι μὲν τοῦ υἱοῦ τὸν πατέρα, καὶ τὸν υἱὸν τοῦ πνεύματος. ἀλλ' οὐδὲν ἧττον ἓν εἶναι κατὰ τὴν φύσιν αὐτά φησιν ὁ διδάσκαλος, καὶ συναΐδια. ὡς τῆς τοιαύτης τάξεως κατὰ τὴν προεπίνοιαν οὔσης ἐν αὐτοῖς. ἵν' ὁ τῆς αἰτίας λόγος ἐν σφίσι ποιεῖ, οἰκείως ἑκάστοις (ὡς οὕτως εἰπεῖν) ἐμπολιτευόμενος. σύμφωνα τοῖς εἰρημένοις καὶ προϊὼν ἐν ἐκείνοις τοῖς λόγοις προστίθησι, τὴν τῶν

Ὁ αὐτός. θείων προσώπων διάκρισιν ἐπεξεργαζόμενος. Τὸ γὰρ πνεῦμα τῷ πατρί φησι κατὰ τὸ ἄκτιστον συναπτόμενον, πάλιν ἀπ' αὐτοῦ τῷ μὴ πατὴρ εἶναι καθάπερ ἐκεῖνος διαχωρίζεται. τῆς δὲ πρὸς τὸν υἱὸν κατὰ τὸ ἄκτιστον συναφείας, καὶ ἐν τῷ τὴν αἰτίαν τῆς ὑπάρξεως ἐκ τοῦ Θεοῦ τῶν ὅλων ἔχειν, ἀφίσταται πάλιν τῷ ἰδιάζοντι, ἐν τῷ μήτε μονογενῶς ἐκ τοῦ πατρὸς ὑποστῆναι, καὶ ἐν τῷ δι' αὐτοῦ τοῦ υἱοῦ πεφηνέναι. Προδήλως γὰρ ἐνταῦθα, συνάπτεσθαι μὲν τὸ πνεῦμα τῷ υἱῷ φησὶ κατά τε τὸ ἄκτιστον, καὶ τὸ τὴν αἰτίαν τῆς ὑπάρξεως ἐκεῖθεν ἔχειν, ὅθεν καὶ ὁ υἱός. διακρίνεσθαι δ' αὖθις αὐτοῦ, τῷ μήτε μονογενῶς ἐκ τοῦ πατρὸς ὑποστῆναι, καὶ ἐν τῷ διὰ τοῦ υἱοῦ πεφηνέναι. οὔτε γὰρ ὡς ὁ υἱὸς προῆλθεν ἐκ τοῦ πατρὸς γεννητῶς, ἀλλ' ἕτερόν τινα τρόπον. καὶ ἅμα διὰ τοῦτο, οὐδὲ προσεχῶς προῆλθεν ἐκ τοῦ πατρός. ἀλλὰ δι' αὐτοῦ τοῦ υἱοῦ πέφηνε. τουτέστιν εἰς τὴν ἰδίαν ὑπόστασιν ὁρίζεται φανερῶς προεπινοηθέντος τοῦ υἱοῦ. ἡ γὰρ τοῦ υἱοῦ ὑπόστασις, ἐκ τῆς τοῦ προσεχῶς εἶναι τῷ πατρὶ ἰδιότητος ἐπιγνωσθεῖσα, ἐναργῆ παρίστησιν ἡμῖν τὴν τοῦ πνεύματος ἰδιότητα, ᾗ τοῦ υἱοῦ διακρίνεται. ὡς αὐτός φησιν ἐν τοῖς αὐτοῖς λόγοις.

Ὁ αὐτός. Ὅτι ἡ ἐπιθεωρουμένη ἑκάστῃ τῶν ὑποστάσεων ἰδιότης, τρανῶς καὶ καθαρῶς τὸ ἕτερον ἀπὸ τοῦ ἑτέρου διΐστησιν. οὕτω τοίνυν πέφηνε διὰ τοῦ υἱοῦ, ὡς δι' ἐκείνου ὁριζόμενον εἰς τὴν ἰδίαν ὑπόστασιν καὶ γνωριζόμενον ἐναργῶς, τῆς τοῦ υἱοῦ προεπινοίας φανερώτερον ἡμῖν ἀποδιαλύσης τὸν τοῦ πνεύματος λόγον. τοῦτο δὲ καὶ πρότερον περὶ τοῦ πνεύματος ἔλεγεν.

Ὁ αὐτός. Ὅτι τὸ πνεῦμα διὰ τοῦ υἱοῦ συνημμένως καταλαμβάνεται. οὐχ ὑστερίζον κατὰ τὴν ὕπαρξιν μετὰ τὸν υἱόν, ὥστε ποτὲ τὸν μονογενῆ δίχα τοῦ πνεύματος νοηθῆναι. ἀλλ' ἐκ μὲν τοῦ Θεοῦ τῶν ὅλων, καὶ αὐτὸ τὴν αἰτίαν ἔχον τοῦ εἶναι. ὅθεν καὶ τὸ μονογενὲς ἐστὶ φῶς.

φῶς. διὰ δὲ τοῦ ἀληθινοῦ φωτὸς ἐκλάμψαν. καὶ πάλιν. δι' αὐτοῦ μὲν ἐκλάμποι φησὶ, τὴν δὲ τῆς ὑποστάσεως αἰτίαν ἔχοι ἐκ τοῦ πρωτοτύπου φωτός. συναθρώσκει γὰρ οἷον τῷ τοῦ υἱοῦ φωτὶ τὸ τοῦ πνεύματος φῶς ἐκ τῆς πρώτης αἰτίας, ἐπινοίᾳ μόνῃ προλαμβανόμενόν τε καὶ ὑπεῖξον. ἀλλ' οὐκ ἐπινοίᾳ διακρινόμενον. καθάπερ εἴ τις φαίη, διὰ τὰς ἀκτῖνας φανερωθῆναι τὴν θέρμην, ὡς ταύταις συνεξιοῦσαν ἐκ τοῦ ἡλίου καὶ συνδιήκουσαν. εἰ καὶ τοῦτο καὶ πᾶν ἄλλο παράδειγμα τῆς ἀληθείας ὅσον, οὐδ' ἔνεστιν εἰπεῖν ἀπολείπει· ὅτι δὲ τὸ πνεῦμα τὸ ἅγιον διὰ τοῦ υἱοῦ ἐστὶν, ὡς μετὰ τὸν υἱὸν τεταγμένον, διά τε τὴν τοῦ υἱοῦ προεπίνοιαν, καὶ τὸν ἐκ τῆς αὐτῆς αἰτίας διάφορον τρόπον, καὶ ὁ μέγας Βασίλειος τῷ Νύσσης συμμαρτυρεῖ. ὡς ἐν τοῖς πρότερον εἰρημένοις γέγονε δῆλον. ἔνθα φησὶ, » Τοῦτο γνωριστικὸν τῆς κατὰ τὴν ὑπόστασιν ἰδιότητος σημεῖον εἶναι ἐν πνεύματι, » τὸ μετὰ τὸν υἱὸν καὶ σὺν αὐτῷ γνωρίζεσθαι, καὶ ἐκ τοῦ πατρὸς ὑφεστάναι. » εἶτα ἐπάγει. ὁ δὲ υἱὸς τὸ ἐκ τοῦ πατρὸς ἐκπορευόμενον πνεῦμα, δι' ἑαυ- » τοῦ καὶ μεθ' ἑαυτοῦ γνωρίζων, μόνος μονογενῶς ἐκ τοῦ ἀγεννήτου φωτὸς » ἐκλάμψας, οὐδὲ μίαν κατὰ τὸ ἰδιάζον τῶν γνωρισμάτων τὴν κοινωνίαν ἔ- » χει πρὸς τὸν πατέρα, ἢ πρὸς τὸ πνεῦμα τὸ ἅγιον. ἀλλὰ τοῖς εἰρημένοις ση- » μείοις μόνοις γνωρίζεται. Ἤδη γὰρ καὶ οὗτος μετὰ τὸν υἱὸν καὶ σὺν αὐτῷ » γνωρίζεσθαι τὸ πνεῦμα εἰπὼν, ἐκ δὲ τοῦ πατρὸς ὑφεστάναι. ἀντὶ μὲν τοῦ σὺν αὐτῷ, τὸ μεθ' ἑαυτοῦ εἶπεν· ὡς τὴν ἴσην προδήλως δύναμιν ἔχον. ἀντὶ δὲ τοῦ μετὰ τὸν υἱόν, τὸ δι' ἑαυτοῦ εἶπεν· ἃ πάντα, ταὐτόν ἐστι τῷ ἐκ πατρὸς δι' υἱοῦ ἐκπορεύεσθαι. τὸ γὰρ ἐκ τοῦ πατρὸς ἐκπορευόμενον φησὶ πνεῦμα, δι' ἑαυτοῦ γνωρίζει καὶ μετ' ἑαυτοῦ ὁ υἱός. ὥσπερ πρότερον περὶ τοῦ πνεύματος εἶπε παθητικῶς. ὅτι μετὰ τὸν υἱὸν γνωρίζεται, ἐκ δὲ τοῦ πατρὸς ὑφέστηκε. καὶ ὡσανεί τις ἀναστρέψας εἴποι, ἐκ πατρὸς ὑφέστηκε, δι' υἱοῦ δὲ γνωρίζεται. τοῦ δὲ τὸν υἱὸν δι' ἑαυτοῦ καὶ μεθ' ἑαυτοῦ γνωρίζειν τὸ πνεῦμα, αἰτίαν ἐπάγει, τὸ μόνον αὐτὸν μονογενῶς ἐκ τοῦ ἀγεννήτου φωτὸς ἐκλάμψας. ὅπερ ἡμῖν ἐλέγετο πρότερον· καλῶς δὲ, καὶ τῷ Γρηγορίῳ συμφώνως, τῷ μετὰ τὸν υἱὸν προσέθηκε τὸ σὺν αὐτῷ. τῷ δὲ δι' αὐτοῦ, τὸ μεθ' ἑαυτοῦ. καὶ αὐτὸς γὰρ ὁ Γρηγόριος οὕτως ἔλεγε.

Βασιλ. ἐν τῇ πρὸς Γρηγ. ἐπιστολ.

Γρηγ. ὁ Νύσσ. » Πατὴρ μὲν ἄναρχος καὶ ἀγέννητος, καὶ ἀεὶ πατὴρ νοεῖται. ἐξ αὐτοῦ δὲ κατὰ
» τὸ προσεχὲς ἀδιαστάτως, ὁ μονογενὴς υἱὸς τῷ πατρὶ συνεπινοεῖται. δι'
» αὐτοῦ δὲ καὶ μετ' αὐτοῦ, πρὶν τι κενόν τε καὶ ἀνυπόστατον διὰ μέσου πα-
» ρεμπεσεῖν νόημα, εὐθὺς τὸ πνεῦμα τὸ ἅγιον διὰ τοῦ υἱοῦ συνημμένως κα-
» ταλαμβάνεται. καὶ ἐν τῷ γ. τῶν πρὸς Εὐνόμιον ὁ αὐτὸς αὖθις φησὶ Γρη-
Ὁ αὐτός. » γόριος. Τὸ γὰρ μαθεῖν ὅτι ἐκεῖνος ἐστὶ τὸ ὄντως ὄν, ᾧ διὰ τῆς σχετικῆς
» ἐννοίας ἡ τοῦ υἱοῦ μεγαλειότης συναναφαίνεται, ἡ τελειοτάτη διδασκα-
» λία τῆς εὐσεβείας ἐστί. τοῦ υἱοῦ καθὼς εἴρηται συνημμένως μεθ' ἑαυτοῦ τὸ
» πνεῦμα τῆς ζωῆς τε καὶ ἀληθείας ἐνδεικνυμένου· ἐπειδὴ αὐτὸς ἐστὶ καὶ ζωὴ
καὶ ἀλήθεια. ἀλλὰ μὴν καὶ μετὰ τὸν υἱὸν εἶναι φησὶ τὸ πνεῦμα οὗτος, ὡς
καὶ ὁ θεῖος εἶπε Βασίλειος. οὐχ ὡς ὑστερίζον κατὰ τὴν ὕπαρξιν μετὰ τὸν
υἱὸν, ὡς ποτὲ τὸν μονογενῆ δίχα τοῦ πνεύματος νοηθῆναι. τοῦτο γὰρ ἀπέ-
φησε πρότερον. ἀλλ' ὡς τῇ τοῦ ἀληθινοῦ τάξει δευτερεῦον τε καὶ συναριθ-
μούμενον. καὶ ὥσπερ ἐξηγητὴς ἡμῖν τοῦ ἱεροῦ γίνεται Βασιλείου, μετὰ τὸν
υἱὸν εἰρηκότος τὸ πνεῦμα γνωρίζεσθαι. φησὶ γὰρ ἐν τῷ α. τῶν κατ' Εὐ-
Βασίλ. » νομίου. Ὡς ἀπάσῃ τῇ τελειότητι πρὸς τὸ ἀκρότατον ἐπηρμένον τὸ πνεῦμα
» τὸ ἅγιον, μετὰ πατρὸς καὶ υἱοῦ θεωρεῖται· καὶ δι' αὐτοῦ τὴν προσαγω-
» γὴν πρὸς τὸ προεπινοούμενον φῶς τὸ ἐν πατρὶ καὶ υἱῷ πᾶσι τοῖς μετασ-
» χεῖν δυναμένοις χαρίζεται. Κατὰ τὰ προϋποτεθειμένα τοίνυν, καὶ κατὰ
τὴν τῶν διδασκάλων ἀνεπτυγμένην θεολογίαν, ἐν τῷ δι' υἱοῦ τὸ πνεῦ-
μα λέγεσθαι ἐκπορεύεσθαι, προεπίνοιαν τινα καὶ τάξιν ὁ λόγος, οὐκ αἰ-
τίαν σημαίνει, ἀλλὰ μᾶλλον αἰτιατῶν. καὶ οὐδὲν ἄλλο σχεδὸν, ἢ τὸ
μετὰ τὸν υἱόν. ἀεὶ νοουμένου τοῦ τὸ πνεῦμα συνημμένον εἶναι τῇ φύσει πρὸς
τὸν υἱόν, εἰ καὶ ἀκόλουθον ἐστὶ τῇ προσωπικῇ τάξει. οὗ χάριν οἱ διδάσ-
καλοι λέγοντες μετὰ τὸν υἱόν, εὐθὺς καὶ τὸ, σὺν αὐτῷ προστιθέασι. καὶ
εἰπόντες δι' ἑαυτοῦ, εὐθὺς ἐπιφέρουσι καὶ μεθ' ἑαυτοῦ.

ΚΕ-

ΚΕΦΑΛΑΙΟΝ κθ.

Ὅτι τὸ διὰ τοῦ υἱοῦ, οὐ σημαίνει τὸ μετὰ τοῦ υἱοῦ μόνον. ἀλλ' ἴσον ἐστὶ, τῷ μετὰ τὸν υἱὸν, καὶ σὺν τῷ υἱῷ.

Ἐξ ὧν δῆλον ἐστὶν, ὡς οὐκ ἔστιν ἴσον παντάπασι, διὰ υἱοῦ τε εἰπεῖν, καὶ μετὰ τοῦ υἱοῦ. εἰ γὰρ ταὐτὸν ἦν ταῦτα παντάπασιν, ἐκ παραλλήλου τούτοις ἐχρῶντο ἂν οἱ διδάσκαλοι. ἀλλὰ τοῦτ' ἀδύνατον· ἀλλ' οὐδ' ἀρκοῦν ἐστὶν εἰπεῖν τὸ πνεῦμα μετὰ τοῦ υἱοῦ ἐκ τοῦ πατρὸς ἐκπορεύεσθαι. τὸ γὰρ οὕτως εἰπεῖν, τὸ συναΐδιον καὶ ἰσότιμον τῶν προόδων μόνον δηλοῦν ἐστίν. ἡ δὲ τάξις τῶν θείων προσώπων οὐ συνεμφαίνεται. ἅμα δὲ καὶ οἱ Σοφισταὶ ἐκ ταύτης τῆς ἐξηγήσεως ἡμῖν ἐπιφύονται. Εἰ μὲν ἐκ τοῦ πατρὸς φασὶ μετὰ τοῦ υἱοῦ τὸ πνεῦμα νοεῖται ἐκπορευόμενον, οὐκοῦν προβολεὺς ἐστὶν ὁ υἱὸς, ὅπερ ἀρνεῖσθε. εἰ δὲ ἐκπορευόμενον μετὰ τοῦ υἱοῦ, οὐκοῦν καὶ ὁ υἱὸς πρόβλημα. ἀλλ' ὥσπερ οὐ γεννᾶται ὁ υἱὸς μετὰ τοῦ πνεύματος, οὕτως οὐδὲ τὸ πνεῦμα μετὰ τοῦ υἱοῦ ἐκπορεύεται. Ἀλλ' ὦ Σοφιστὰ, προσυπάκουσον τῷ υἱοῦ, τὸ γεννωμένου, ἢ γεννηθέντος, καὶ οὐδὲν ὁ λόγος ὕποπτον ἕξει· τί γὰρ δεινὸν ἐστὶν εἰπεῖν, ὅτι τὸ πνεῦμα μετὰ τοῦ υἱοῦ γεννωμένου, παρὰ τοῦ πατρὸς ἐκπορεύεται; ἵνα τὸ συνημμένον καὶ μὴ ὑστερίζον κατὰ τὴν ἐκ πατρὸς ὕπαρξιν, ἀμφοῖν ταῖς προόδοις καὶ ταῖς ὑποστάσεσι μαρτυρεῖται; ἀλλ' ὅπερ εἴρηται, δεῖ μὴ διδόναι προφάσεις τοῖς Σοφισταῖς, ἅμα δὲ καὶ ἐνδεὲς ἐστὶν οὕτω λέγειν. οὐ γὰρ ἡ τάξις ἐντεῦθεν ἐκφαίνεται. ἀλλὰ δεῖ μᾶλλον λέγειν διὰ υἱοῦ, ὡς δὴ μετὰ τὸν υἱὸν καὶ σὺν αὐτῷ, ὡς ἂν ἡ .διά. πρόθεσις τάξιν καὶ ἕνωσιν ἔχῃ δηλοῦν. οὐ θάτερον τούτων μόνον χωρίς. κἀντεῦθεν ὡς ὁ θεῖος ἔφη Βασίλειος ἐμφαίνηται. τὸ ἀκολούθως μὲν κατὰ τὴν τάξιν, συνημμένως δὲ κατὰ τὴν φύσιν ἔχειν πρὸς τὸν υἱὸν τὸ πνεῦμα τὸ ἅγιον. εἰ δέ τινες τῶν διδασκάλων, τὸ διὰ τοῦ υἱοῦ, τὸ μετὰ τοῦ υἱοῦ προσιθέασι, θαυμάζειν οὐ χρή. δοκοῦσι γὰρ οὗτοι, τῇ .διά. προθέσει πρὸς δήλωσιν τῆς τάξεως κε-

λέγεσθαι μᾶλλον, καὶ διὰ τοῦτο προστεθεῖναι τὸ μετὰ τοῦ υἱοῦ. ὥσπερ ἐπειδὰν λέγωσι μετὰ τὸν υἱὸν, εὐθὺς ἐπάγουσι καὶ σὺν αὐτῷ. οἳ καὶ δοκοῦσι τὸ διὰ τοῦ υἱοῦ, μᾶλλον ἀντὶ τοῦ μετὰ τὸν υἱὸν, ἢ μετὰ τοῦ υἱοῦ νενοηκέναι. ἀλλ' ἕτεροι τῶν διδασκάλων ἐν τῷ διὰ υἱοῦ μετὰ τῆς τῶν προσώπων ἀκολουθίας, καὶ τὴν κατ' οὐσίαν προεπινοοῦντες συνάφειαν, ἅτε προϋποκειμένου τοῦ πάντα τὰ περὶ τῶν θείων ὑποστάσεων συναϊδίως τε καὶ συμφυῶς λέγεσθαι, διὰ υἱοῦ λέγοντες, οὐδὲν προστιθέασι πλέον. ὥσπερ

Γρηγ. ὁ Νύσσ. Σύνοδ. ζ'

„ αὐτὸς αὖθις ὁ Νύσσης. μήτε μονογενῶς αὐτὸ φησὶν ὑποστῆναι τὸ πνεῦ-
„ μα, καὶ διὰ τοῦ υἱοῦ πεφηνέναι. καὶ ἡ ἑβδόμη Σύνοδος, τὸ ἐκ τοῦ πα-
„ τρὸς διὰ υἱοῦ ἐκπορευόμενον εἴρηκεν. οὐδὲν προστεθεῖσα λοιπόν. ὥσθ' ὅσαπερ αἱ προθέσεις ἄμφω σημαίνουσιν αὗται, ἥ τε. μετά. τὴν αἰτιατικὴν ἰθύνουσα πτῶσιν, καὶ ἡ. σύν: τοῦθ' ἡ. διά. μόνη σημαίνει. καὶ ὅσον δύναται μετὰ τὸν υἱὸν εἰπεῖν, καὶ σὺν τῷ υἱῷ, τοσοῦτον δύναται διὰ υἱοῦ φάναι. τάξιν δηλαδὴ προσώπων, καὶ φύσεως ἕνωσιν.

ΚΕΦΑΛΑΙΟΝ λ'.

Ὅτι εἴ τις βούλοιτο σαφεστέραν ἐξήγησιν ἀποδοῦναι τοῦ διὰ υἱοῦ, ἐρεῖ οὐκ ἄνευ τοῦ υἱοῦ. διὰ τὴν ἕνωσιν καὶ τὴν προεπίνοιαν, ἀφελὼν τὰς ἄλλας ἰδιότητας τὰς ὑπαρχούσας πᾶσι τοῖς οὐκ ἄνευ αὐτῶν.

ΚΑὶ εἴ τις ἑνί τινι λόγῳ σαφεστέρῳ βουληθείη δηλῶσαι τὸ διὰ τοῦ υἱοῦ, κατὰ τὸν τῶν ἱερῶν διδασκάλων σκοπὸν, ὥστε καὶ τὴν προεπίνοιαν δηλονότι παραστῆσαι, καὶ τὴν φυσικὴν αὐτοῦ πάλιν πρὸς τὸ πνεῦμα συνάφειαν, οὐκ ἀπεικότως ἂν τὸ διὰ τοῦ υἱοῦ, εἰς τὸ οὐκ ἄνευ τοῦ υἱοῦ μεταλάβοι. ὡς ἂν τὸ πνεῦμα νοῆται προϊὸν ἐκ Θεοῦ, οὐκ ἄνευ τοῦ λόγου. ἀλλ' ὁμοῦ τ' ἐκείνῳ δηλονότι, καὶ μετ' ἐκεῖνον. τῷ γὰρ οὐκ ἄνευ τινὸς, ἐπὶ τῶν προεπινοουμένων λέγεσθαι εἰώθαμεν. ὥσπερ φαμὲν τὸν Θεὸν καὶ πατέρα αἴτιον εἶναι, οὐκ ἄνευ τοῦ εἶναι ἀναίτιον. ὡς προϋποκειμένου

δηλο-

δηλονότι τοῦτον εἶναι ἀγέννητον καὶ ἀναίτιον, ἵνα μὴ κατὰ τὰς ἄλλας αἰτίας, καὶ αὐτὸς εἶναι νοηθῇ ἔχων τινὰ καὶ ἑαυτοῦ προηγουμένην αἰτίαν. ἄλλον δ' ἐστὶν ὡς ἐν τῷ Θεῷ καὶ πατρὶ, τὸ ἀναίτιον τοῦ αἰτίου προεπινοεῖται. ὡς τὸ καθ' ἑαυτὸ, τοῦ πρὸς ἄλλο· καὶ ὡς τὸ ἰδιαίτατα προσὸν, τοῦ καὶ ἄλλοις ὁπωσοῦν ὄντος κοινοῦ. καὶ ἐπὶ τῶν σωματικῶν δὲ, τὰ μηδὲν μὲν συμβαλλόμενα πρὸς τὴν τινὸς γένεσιν, ἐξ ἀνάγκης δὲ παρεπόμενα τοῖς ποιητικοῖς, ὡς οὐκ ἄνευ αὐτῶν ἐνεργοῦσιν. ὥς ὅ, τε χρόνος, καὶ ὁ τόπος ἔχει. προεπινοοῦνται γὰρ τῶν γινομένων· ἀλλ' οὔτ' αἴτιά εἰσιν, εἰ μὴ κατὰ συμβεβηκός. οὔτ' ἐκ τῆς οὐσίας τῶν γινομένων εἰσί· καὶ ὅμως δι' αὐτῶν τι γίνεσθαι λέγεται. ὥσπερ διὰ χρόνου φαμὲν πεποιηκέναι τὸν δὲ, τόδε. ὅτι οὐκ ἄνευ χρόνου. καὶ διὰ χρόνου πολλοῦ· ὅτι οὐκ ἄνευ χρόνου πολλοῦ. ταυτὸν δ' εἰπεῖν ἐν χρόνῳ πολλῷ. καὶ τὰ λόγον ὕλης ἔχοντα, προεπινοοῦνται τῶν ἔκ τινος αἰτίας ποιητικῆς γινομένων, καὶ δι' αὐτῶν, καὶ οὐκ ἄνευ αὐτῶν γίνεσθαι λέγεται τὰ γινόμενα. ὥσπερ τὸ φῶς ἐκ τοῦ ἡλίου διὰ τοῦ διαφανοῦς. ὅτι καθάπερ ὕλη τῷ φωτὶ τὸ διαφανὲς ὑποβέβληται. καὶ τὰ μετέχοντα φυτικῶς ἐν τοῖς ἀνομοιομερέσι τε καὶ κατὰ ποσότητα αὔξουσι, πρότερα τῶν ἐσχάτων ἐστὶ μερῶν. καὶ ὡς αὐτὰ ἤρτηται τοῦ πρώτου μορίου καὶ ἀρχικοῦ κατά τε αἰτίαν καὶ θέσιν, οὕτω καὶ αὐτῶν ἤρτηνται τὰ ἔσχατα θέσει. καὶ διὰ τοῦτο δι' αὐτῶν τε, καὶ οὐκ ἄνευ αὐτῶν, γίνεσθαι καὶ εἶναι φαμὲν τὰ ἔσχατα. οἷον διὰ τοῦ κλάδου μὲν ἐκ τῆς ῥίζης τρέφεσθαι τὸν καρπόν. καὶ δάκτυλον ἐκ τῆς καρδίας κινεῖσθαι διὰ τῆς χειρὸς, ἢ τρέφεσθαι, ἕως ἂν τρέφοιτο. καὶ πολλὰ δὲ τοιαῦτα ἐν τοῖς φύσει γενομένοις εὕροι τις ἄν. ἐν οἷς ἅπασιν εἰ καὶ ὁ τῆς μεσιτείας λόγος διαφόρως ὑπάρχει. ὅμως διὰ τουτωνὶ τῶν μεσιτευόντων πῶς, ὡς οὐκ ἄνευ αὐτῶν, ἅτε προϋποκειμένων ὅπως ποτὲ φαμὲν ποιεῖν τὰ ποιοῦντα, καὶ γίνεσθαι τὰ γινόμενα. ἀλλὰ τούτων τὰ μὲν καὶ αἴτια εἰσὶν, ὡς ἡ ὕλη. τὰ δὲ ἕτερόν τινα τρόπον. οὐδὲν δὲ αἴτιον ἐστὶν ὡς τὸ πρῶτον κινοῦν. καίτοι ἔνιοι ταῦτα πάντα ἐπαληθεύει τὸ οὐκ ἄνευ αὐτῶν, ὑπὸ τὸ γένος τῆς ὑλικῆς αἰτίας ἀνάγουσιν, ὡς ἐοικότα πῃ τῷ διὰ τὴν ὕλην ἀναγκαίῳ. ἐπὶ δὲ γε τῶν θείων, τὸ διὰ τοῦ υἱοῦ φάναι καὶ οὐκ ἄνευ αὐτοῦ, οὐχὶ καὶ αἴτιον

τὸν υἱὸν ἐξ ἀνάγκης εἰσάγει· ἐκεῖθεν γὰρ ὡς ἥ τε ὕλη καὶ ὁ τῆς ὕλης λόγος καὶ τρόπος, οὕτω καὶ ἡ κατ' αὐτὴν αἰτία παντελῶς ἀπελήλαται. καὶ ἔδοξέ γ' ἂν ἐπὶ τὸν υἱὸν προακτικὴν αἰτίαν εἶναι τοῦ πατρὸς, εἴπερ ἦν ὅλως αἰτία· καὶ διὰ τοῦτο τὸ οὐκ ἄνευ αὐτοῦ, κατὰ τὴν προεπίνοιαν μόνον πρέπειν νοεῖν. ταύτην δὲ μόνον ἐκ τῶν σωματικῶν ἐκείνων ἐξελόντας καὶ χρησαμένους, τὰ δ' ἄλλα πάντα διὰ τὸ ἀπεμφαῖνον τε καὶ ἀπεοικὸς ἀποῤῥίψαντας, ὥσπερ καὶ τὸ ἐξωτερικὸν τοῦ χρόνου τε καὶ τοῦ τόπου, καὶ τὸ περιεκτικὸν, ἢ τὸ τοῦ διαφανοῦς ἑτεροφανὲς πρός τε τὸν ἥλιον καὶ τὸ φῶς. ἢ τοῦ κλάδου τά τε ἄλλα καὶ τὸ τοῖς ἐσχάτοις συνάπτεσθαι. ὧν δὴ, καὶ τῶν τοιούτων, οὐδὲν τολμήσει τὶς νοῦν ἔχων τοῖς θείοις πράγμασιν ἐφαρμόττειν. προεπινοεῖν δὲ τὸν υἱὸν τοῦ πνεύματος, καὶ ἀληθές ἐστι, καὶ πᾶσα ἀνάγκη. καὶ τοῦτο δ' ὅμοιον ἐστὶν ἔν τε τῷ προκειμένῳ, καὶ πᾶσι τοῖς οὐκ ἄνευ αὐτῶν. Κατὰ τὴν προεπίνοιαν τοίνυν μόνον, τῷ οὐκ ἄνευ αὐτοῦ χρώμενοι, οὐκ ἀπεικότως ἐροῦμεν τὸ πνεῦμα τὸ ἅγιον ἐκ πατρὸς δι' υἱοῦ ἐκπορεύεσθαι. καὶ τὸν πατέρα προβολέα εἶναι τοῦ πνεύματος διὰ τοῦ υἱοῦ· ὡς οὐκ ἄνευ τοῦ υἱοῦ δηλονότι. προεπινοεῖται γὰρ ἡ τοῦ λόγου ὑπόστασις, τοῦ προσώπου τοῦ πνεύματος· οὕτω τῆς γραφῆς διδασκούσης. ὥστε καὶ ἡ τοῦ λόγου σύλληψις τῆς προόδου τοῦ πνεύματος. καὶ οὐδὲν ἧττον ἅμα. τουτέστι συναϊδίως, καὶ συνημμένως, καὶ προσεχῶς, ἐκ τῆς πρώτης αἰτίας εἰσὶν ἄμφω. ὃ τῶν κτιστῶν πραγμάτων οὐδενὶ πρόσεστιν.

ΚΕΦΑΛΑΙΟΝ λα.

Ὅτι εἰ καὶ προτέτακται τοῦ πνεύματος ὁ υἱὸς, ὡς προεπινοούμενος αὐτοῦ. ἀλλ' οὐδὲν ἧττον πραγματικῶς αὐτοῦ διακρίνεται, καὶ οὐ κατ' ἐπίνοιαν. καὶ ὅτι τὴν τοιαύτην τῆς προεπινοίας τάξιν μὴ καταδεχόμενοι οἱ Λατῖνοι, ἀσύμβατοι ἑαυτοῖς γίνονται.

Εἰ δέ τινες οἴονται, τῇ ἐπινοίᾳ διακρίνειν ἡμᾶς τὸν υἱὸν τοῦ πνεύματος ταῦτα λέγοντας, ἀπατῶνται. ἡμεῖς γὰρ οὐδὲν οἴκοθεν, τὰ

δὲ

δὲ τῶν διδασκάλων φαμέν. ἐκεῖνοι δὲ τῇ ἐπινοίᾳ προτάττουσι τοῦ πνεύματος τὸν υἱόν, καὶ τῇ ἐπινοίᾳ μόνῃ. αὐτοὶ δὲ εἰσὶν οἱ καὶ τὴν σαβέλλιον πανταχοῦ ψέγοντες σύγχυσιν, καὶ πραγματικῶς τὸν υἱὸν τοῦ πνεύματος διακρίνοντες. ὥστε τὸ προθεωρεῖσθαι τὸν υἱὸν τοῦ πνεύματος τῇ ἐπινοίᾳ μόνῃ, οὐκ ἀναιρεῖ τὸ πραγματικῶς αὐτὰ διακρίνεσθαι, εἰ μὴ ἠγνόουν ἑαυτοὺς οἱ διδάσκαλοι. Ὅτι δὲ καὶ πάνυ καλῶς ἄμφω ταῦτα συμβαίνει τό, τε πραγματικῶς διακρίνεσθαι, καὶ τό τῇ ἐπινοίᾳ προθεωρεῖσθαι, δῆλον ἐστίν. ὁ μὲν γὰρ τῆς αἰτίας λόγος, διακρίνει τὰς ὑπαρχούσας ὑποστάσεις ἐκείνας. τὸν μὲν πατέρα, τῶν ἐξ αὐτοῦ ἀντιθετικῶς. ταῦτα δ᾽ ἀλλήλων οὐκ ἀντιθετικῶς, ἀλλὰ διαφόρως μόνον, ὡς δέδεικται. ἀρκεῖ δὲ τὸ διαφόρως αὐτὰ προάγεσθαι ἐκ τῆς ἰδίας αἰτίας, πρὸς τὸ καὶ πραγματικῶς διακρίνειν αὐτά. ὡς καὶ οἱ διδάσκαλοι λέγουσι, καὶ πολλοὶ τῶν παρὰ Λατίνοις σοφῶν τοῦτο δεικνύουσι, τοῖς ἄλλως διακρίνουσιν οὐ πιθέμενοι. ὥσπερ τοίνυν ὁ τῆς αἰτίας λόγος διακρίνει τὸν πατέρα τοῦ υἱοῦ πραγματικῶς, κατὰ τὸν τῆς ἀντιθέσεως ἐν αὐτοῖς θεωρούμενος, ἀλλ᾽ οὐδὲν ἧττον ἐπινοίᾳ μόνῃ προτέτακται τοῦ υἱοῦ ὁ πατήρ, κατὰ τὸν Νύσσης Γρηγόριον. οὕτω καὶ τὸν υἱόν, καὶ τὸ πνεῦμα, διακρίνει πραγματικῶς ὁ τῆς αἰτίας λόγος, κατὰ τὸν διάφορον τῆς ὑπάρξεως τρόπον σφίσιν ἐνθεωρούμενος. ἀλλ᾽ οὐδὲν ἧττον ἐπινοίᾳ μόνῃ προτέτακται τοῦ πνεύματος ὁ υἱός. Ἡ μὲν γὰρ ἐπιθεωρουμένη ἑκάστῃ τῶν ὑποστάσεων ἰδιότης, τρανῶς,, [Γρηγ. ὁ Νύσσ.] καὶ καθαρῶς τὸ ἕτερον ἀπὸ τοῦ ἑτέρου διΐστησιν, ὁ Νύσσης ἔφη Γρηγόριος.,, Ἰδιότης δέ, πατρὸς μέν, ἡ ἀγεννησία, καὶ τὸ αἴτιον τῶν ἐξ αὐτοῦ. υἱοῦ,, [Γρηγ. θεο.] δέ, ἡ γέννησις. πνεύματος δὲ ἡ ἔκπεμψις, εἴτουν ἐκπόρευσις, ὁ θεολόγος,, ἔφη Γρηγόριος. διακεκριμέναις τοίνυν ταῖς ὑποστάσεσιν ἐκ τῶν τοιούτων ἰδιοτήτων, ὁ τῆς τάξεως εὐθὺς συνεισελήλυθε λόγος. ἀνάγκη γὰρ τετάχθαι ταῦτα, καὶ ἀκολούθως τῷ τῆς αἰτίας λόγῳ τετάχθαι. ᾧ δὴ καὶ διακεκριμένα εἰσίν. οἷον τὸ μὲν αἴτιον, τῶν ἐξ αὐτοῦ προτετάχθαι. τὸ δὲ μονογενῶς ἐκ τοῦ πατρὸς ὄν, προτετάχθαι τῆς ἕτερόν τινα τρόπον παριούσης ἐκ τοῦ πατρὸς ὑποστάσεως, διὰ τὸ τὴν πατρὸς καὶ υἱοῦ προσηγορίαν, μηδὲν προσίεσθαι μέσον. οὐκοῦν οὐχ ἡ διάκρισις τοῦ υἱοῦ

καὶ

καὶ τοῦ πνεύματος ἐκ τοῦ προτετάχθαι τὸν υἱὸν τῇ ἐπινοίᾳ ἐστὶν, ὥσπερ ἐντεῦθεν συμβαίνῃ καὶ ἐπινοίᾳ μόνῃ ταῦτα διακεκρίσθαι. ἀλλὰ διακέκριται μὲν ταῦτα, τῷ διαφόρως ἐκ τῆς πρώτης αἰτίας ὑφίστασθαι, καὶ ὡς ἐκείνης πραγματικῶς εἰσὶ διακεκριμένα, οὕτω δὴ καὶ ἀλλήλων. ἡ δὲ τάξις τῇ φύσει τῶν ὀνομάτων τε καὶ τῶν πραγμάτων ἀκολουθεῖ, οὐ πρὸς τὴν φύσιν διαβαίνουσα, ἀλλὰ τῷ ἀριθμῷ μόνον ἐνστηριζομένη τῶν διακεκριμένων, καὶ τὴν κατὰ φύσιν τούτων ἀκολουθίαν ἐμφαίνουσα. Εἴτε τοίνυν πραγματικὴν τὶς εἶναι λέγῃ τὴν τάξιν τῶν θείων προσώπων, ὡς οὐκ ἐκ τῆς ἡμετέρας μόνον θέσεως, ἀλλ' ἐκ τῆς τῶν πραγμάτων ἀκολουθίας ἀνίσχουσαν· εἴ τε τῆς ἐπινοίας εἶναι λέγῃ ταύτην, ὡς ἂν μήπω δοκοίη φύσεως ἢ ἀξίας εἶναι ἢ χρόνου ἢ τινὸς τῶν τοιούτων, οὐδὲν διαφέρει. τοῦτο δεῖ μόνον παραφυλάττειν, ἵνα μὴ διὰ τὴν τάξιν ταύτην, ἄλλο τι περὶ τῶν θείων φαντασθῶμεν, ὅπερ οὐκ ἔξεστιν. ὃ πάσχουσιν οἱ νομίζοντες τὸν αὐτὸν εἶναι θεμέλιον τῆς προεπινοίας ἐν υἱῷ καὶ πνεύματι, ὃς ἐστὶ καὶ πρὸς τὸν υἱὸν τῷ πατρί. οἴονται γὰρ καὶ ταῦτα ἀντιθετικῶς τῷ τῆς αἰτίας διακεκρίσθαι λόγῳ. καὶ οὕτω τὸν αὐτὸν παντάπασι τρόπον, προτετάχθαι μὲν τοῦ υἱοῦ τὸν πατέρα. προτετάχθαι δὲ τοῦ πνεύματος τὸν υἱόν. καὶ ὡς μὲν ἐπίσης ἐστὶ διὰ πάντων τῶν θείων προσώπων ἡ τάξις, καὶ οὐδὲν μᾶλλον οὐδὲ ἧττον, τοῦτ' ἀληθές ἐστι· προτέτακται γὰρ ταῦτα καὶ συνέπεται κατὰ τὸν τῆς αἰτίας λόγον ἀλλήλοις, καὶ οὐδαμῶς ἄλλως. ἀλλ' οὐ τὸν αὐτὸν ἅπαντα τρόπον ὁ τῆς αἰτίας λόγος διαλαμβάνει, ἀλλ' ὡς εἴρηται πρότερον. τοῖς μὲν δηλονότι κατὰ τὴν αἰτιατικὴν ἀντίθεσιν. τοῖς δὲ κατὰ τὸν διάφορον τρόπον τοῦ ἐξ αἰτίας εἶναι. Οἱ δὲ πάντα φύροντες, τὸν αὐτόν τε καθάπαξ θεμέλιον τῆς προσωπικῆς τάξεως ἐν τοῖς θείοις ποιοῦσι, καὶ τὴν κοσμικὴν τάξιν ἐπὶ συνηγορίᾳ τῆς δόξης παραλαμβάνουσι. καὶ καθάπερ ἐν τῇ φύσει τῶν ὄντων, ἄλλα ἄλλων εἰσὶν αἴτια προσεχῶς φασὶ, καὶ οὕτως ἀπὸ τῶν ὑψηλοτάτων αἰτιῶν μέχρι τῶν ἐσχάτων ἡ τῆς αἰτίας τάξις ὁρᾶται διήκουσα. οὕτω καὶ τὸν μὲν πατέρα φασὶν αἴτιον εἶναι τοῦ υἱοῦ, τὸν δὲ υἱὸν αἴτιον εἶναι τοῦ πνεύματος. εἶτα ἐπειδὴ μὴ συμφέρει σφίσι τὸ τῆς κοσμικῆς τάξεως ταύτης ὑπόδειγμα. ἐκεῖ γὰρ οὐ προ-

ἄγουσιν

ἄγουσιν ὁμοειδῶς τὰ καθ' αὑτὰ ποιητικὰ τὸ αὐτό. ἀλλ' ἂν παράγοι ὁμοειδῶς, τούτων τὰ ὑψηλότερα οὐ καθ' αὑτά εἰσιν αἴτια τῶν παραγομένων. ἀλλ' ἢ μόνον τὰ προσεχῆ. διὰ τοῦτο τῆς εἰκόνος ἐκείνης πάλιν καταφρονήσαντες, ἀπὸ τῆς ἑνότητος τῆς θείας οὐσίας ἐπιχειροῦσι. καὶ τὸν πατέρα καὶ τὸν υἱόν, μίαν ἀρχὴν τοῦ πνεύματος λέγουσι. καὶ οὐδ' ἐπὶ ταύτης πάλιν τῆς θέσεως ἵστανται. ἀλλ' ἀρχικῶς φασὶν ἐκ τοῦ πατρὸς ἐκπορεύεσθαι καὶ κυρίως. καὶ τοιαῦτά τινα καινοτομοῦσιν, ὑπ' οὐδενὸς ἱστάμενοι λογισμοῦ. διδασκάλων δέ τινων φωναῖς, τὰ ψευδῆ ταῦτα ἱδρύουσιν. ἃς ὁ τῆς ἀληθείας λόγος, μετὰ τῆς θεολογίας τῶν ἡμετέρων διδασκάλων, ἐπίσης καλῶς περιιών. καὶ ὅτι δ' ἀδύνατον ἐστὶ τοιαύτην τάξιν ἐπὶ τῶν θείων εἶναι προσώπων, ἣν αὐτοὶ τιθέασι, καὶ πολλὰ τὰ ἄτοπα ἔχει, προϊόντι τῷ λόγῳ φανερὸν ἔσται.

ΚΕΦΑΛΑΙΟΝ λβ.

Ἐπιβεβαίωσις διὰ ῥητῶν μετ' ἐπιστασίας τῶν προειρημένων περὶ τῆς τάξεως.

Νῦν δὲ τοὺς ἡμετέρους διδασκάλους παράξωμεν ἐπικυρώσαντας ἡμῖν, τὰ περὶ τῆς προεπινοίας τοῦ υἱοῦ εἰρημένα. καὶ ὅλως περὶ τῆς κατὰ τὴν προεπίνοιαν τάξεως ἐν τοῖς θείοις· δι' ἣν μάλιστα τὸ πνεῦμα τὸ ἅγιον, δι' υἱοῦ ἐκ πατρὸς εἶναι καὶ ἐκπορεύεσθαι λέγεται. ὁ γὰρ θεῖος
Βασίλειος ἐν τῇ πρὸς τὰς κανονικὰς ἐπιστολῇ φησί. Τὸ πνεῦμα τὸ ἅγιον ,, Βασίλ.
πατρὶ μὲν καὶ υἱῷ συναριθμεῖται, διὸ καὶ ὑπὲρ τὴν κτίσιν ἐστί. τέτακται ,,
δὲ ὡς ἐν εὐαγγελίῳ δεδιδάγμεθα παρὰ τοῦ Κυρίου εἰπόντος, πορευθέντες ,, Ματθ. κη
βαπτίζετε εἰς τὸ ὄνομα τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος. ὁ ,,
δὲ προτιθεὶς υἱοῦ, ἢ πρεσβύτερον λέγων πατρὸς, οὗτος ἀνθίσταται μὲν τῇ τοῦ ,,
Θεοῦ διδαχῇ, ἀλλότριος δὲ τῆς ὑγιαινούσης πίστεως, μὴ ὃν παρέλαβε ,,
τρόπον δοξολογίας διαφυλάττων, ἀλλ' ἑαυτῷ καινοφωνίαν εἰς ἀρέσκειαν ,,
ἀνθρώπων ἐπινοῶν. εἰ γὰρ ἀνώτερον Θεοῦ, οὐκ ἐκ τοῦ Θεοῦ. γέγραπται ,,

Κορινθ. α. κεφαλ. β.

,, γὰρ τὸ δὲ πνεῦμα ἐκ τοῦ Θεοῦ. εἰ δὲ ἐκ τοῦ Θεοῦ, πῶς πρεσβύτερον ἐστὶ
,, τοῦ ἐξ οὗ ἐστί; τίς δὲ καὶ ἡ παράνοια, ἑνὸς ὄντος τοῦ ἀγεννήτου, ἄλλο τι λέ-
,, γειν τοῦ ἀγεννήτου ἀνώτερον; ἀλλ' οὐδὲ τοῦ μονογενοῦς πρότερον. οὐδὲν γὰρ
,, μέσον υἱοῦ καὶ πατρός. εἰ δὲ μὴ ἐστὶν ἐκ Θεοῦ, διὰ Χριστοῦ δὲ ἐστὶν, οὐδὲ
,, ἔστι τὸ παράπαν. ὥστε ἡ παρὰ τὴν τάξιν καινοτομία, αὐτῆς τῆς ὑπάρ-
,, ξεως ἀθέτησιν ἔχει. καὶ ὅλης τῆς πίστεως ἐστὶν ἄρνησις.

Ἐνταῦθα σαφές ἐστιν ὅτι τὸ πνεῦμα τὸ ἅγιον, τοῦ μὲν πατρὸς οὐκ εἶναι πρότερον λέγει, διὰ τὸ εἶναι ἐκ τοῦ Θεοῦ. τοῦ δὲ υἱοῦ μὴ εἶναι πρότερον, οὐ διὰ τὸ εἶναι ἐξ αὐτοῦ, ἀλλὰ διὰ τὸ τὰ ὀνόματα ταῦτα, τὸν πατέρα καὶ τὸν υἱὸν μηδὲν παρεσίεσθαι μέσον ἐν τῇ πρὸς ἀλλήλους ἀναφορᾷ τε καὶ τάξει. ὥστε καὶ ἡμῖν καλῶς ἐλέγετο πρότερον, ὅτι παρεπινοουμένου τοῦ υἱοῦ καὶ ὡσπερεὶ μεσιτεύοντος διὰ τὸ μηδὲν αὐτοῦ καὶ τοῦ πατρὸς εἶναι μέσον, τὸ πνεῦμα τρίτον πιστεύεται. οὐ διὰ τὸ πνεῦμα εἶναι ἐκ τοῦ υἱοῦ. οὐ δὲ διὰ τὸ τὴν αὐτὴν τάξιν τῆς αἰτίας ἔχειν πρὸς τὸν υἱὸν, ἣν αὐτὸς ἔχει πρὸς τὸν πατέρα. εἰ δὲ ὁ μέγας ἤδη Βασίλειος τὸ πνεῦμα πρὸς τὸν υἱὸν τοιουτοτρόπως ἀναφερόμενον, τῇ αὐτῇ γ' ἂν αἰτίᾳ τοῦ μὴ παρατετάχθαι τοῦ υἱοῦ τοῦτο ἐχρήσατο, καὶ εἶπεν ἄν, ὡς οὐδὲ τοῦ μονογενοῦς ἐστὶ πρότερον, διότι οὐκ ἂν εἴη πρεσβύτερον, τοῦ ἐξ οὗ ἐστί, καὶ οὐκ ἂν ἐδέησεν ἄλλην αἰτίαν ἐπιζητεῖν, τὴν κυριωτέραν ἀφέντα καὶ μείζω. ἐλέγχει δὲ καὶ τὴν Μακεδονίου δόξαν πάνυ συντόμως. εἰ γὰρ μὴ ἐστί φησιν ἐκ τοῦ Θεοῦ, διὰ Χριστοῦ δὲ ἐστὶν (ὡς ἔλεγε Μακεδόνιος) οὐδὲ ἔστιν ὅλως. οὐδὲν γὰρ δύναται εἶναι διὰ Χριστοῦ, εἰ μὴ ἐκ Θεοῦ. ἐπεὶ δὲ καὶ ὁ Χριστὸς ἐκ τοῦ Θεοῦ ἐστί. καὶ πᾶν εἴπερ ἂν ἐν Χριστῷ εἴη καὶ διὰ Χριστοῦ, ἐκ τοῦ Θεοῦ καὶ πατρὸς τοῦτ' εἶναι ἀνάγκη. Οὐκ ἔλεγεν οὖν ὁ Μακεδόνιος τὸ πνεῦμα διὰ τοῦ υἱοῦ εἶναι, ὡς ἡ .διά. πρόθεσις τῆς .ἐκ. διενήνοχε τὴν τῶν αἰτίων ὑπεμφαίνουσα τάξιν· οὕτω γὰρ ἂν ηὐσέβει κατά γε Λατίνους· οἱ λέγουσι τὸ πνεῦμα ἐκ Θεοῦ δι' υἱοῦ ὑφίστασθαι. τὸν μὲν πατέρα, αἰτίαν νοοῦντες ἀρχικὴν καὶ ἀναίτιον. τὸν δὲ υἱὸν, δευτέραν τε καὶ αἰτιατήν. καὶ ἄλλως ἀδύνατον ἂν ἦν αὐτὸν οὕτω νοοῦντα τὸ δι' υἱοῦ, ἐκ μόνου τοῦ υἱοῦ λέγειν αὐτό. ἀλλ' ἢ διὰ τοῦ υἱοῦ ἔλεγεν εἶναι, ὡς ἐκ τοῦ υἱοῦ ἀδιαφόρως ταῖς προθέσεσι

χρώ-

λεγόμενος. καὶ καθόσον ἡ .διά. τῇ .ἐκ. ἰσοδυναμεῖ ὡς ἐπὶ τῆς δημιουργίας ἔχει τῶν ὄντων· ἐπεὶ καὶ ποίημα τὸ πνεῦμα τοῦ υἱοῦ εἶναι ἐδόξαζε, καὶ διὰ τοῦτο ἔλεγεν αὐτὸ μὴ εἶναι ἐκ τοῦ Θεοῦ. ἢ τοῦ Μακεδονίου λέγοντος ἐκ τοῦ υἱοῦ. διὰ τοῦ υἱοῦ φησὶν ὁ θεῖος Βασίλειος. ἵνα τῇ μεταλήψει τῆς προθέσεως, τὴν τοῦ ἐλέγχου δύναμιν ἐκ πλείονος τῆς παρρησίας ἡμῖν ἐπεμφήνῃ. ὅτι κἂν πρὸς τὸ εὐφημότερον ἡ Μακεδονίου λέξις μεταβληθῇ, ὥστε καὶ χρῶμά τι ἀληθείας προσδέξασθαι, ἀλλ' ἡ θέσις αὐτοῦ καθάπαξ ἐλέγχεται. ἐκ τοῦ υἱοῦ μὲν γὰρ φησὶν οὐκ ἄν ποτε συγχωρήσειέ τις εἶναι. δι' υἱοῦ δὲ τὸ πνεῦμα καὶ λέγεται, καὶ ἀληθές ἐστι κατά τινα τρόπον. ἀλλ' εἰ καὶ ἀληθές ἐστιν οὕτως εἰπεῖν, ἀλλὰ μετὰ τῆς τοῦ Μακεδονίου προσθήκης, ψεῦδός ἐστι καὶ ἀδύνατον. τουτέστιν ὅτι διὰ τοῦ Χριστοῦ ἐστὶν, οὐκ ἐκ τοῦ Θεοῦ. οὐδὲ μία γὰρ μηχανὴ, μὴ ὅτι γε τὸ πνεῦμα τὸ ἅγιον, ἀλλ' οὐδ' ὁποιονοῦν εἶναι δι' υἱοῦ, εἰ μὴ ἐκ Θεοῦ. ὥστε συμβήσεται κατὰ τὴν τοῦ Μακεδονίου θέσιν, οὐκ εἶναι τὸ πνεῦμα, εἴγε μή ἐστιν ἐκ τοῦ Θεοῦ. ἐπεὶ δ' αὐτὸς εἶναι τὸ πνεῦμα ὁμολογεῖ, τὸ αὐτὸ ἔσται, καὶ οὐκ ἔσται. καὶ οὕτω δικαίως καὶ καλῶς ὁ Μακεδόνιος ἐξελέγχεται. ἅμα δὲ καὶ τῶν αἱρετικῶν χείριστος ἀποδείκνυται, εἰς παντελῆ ἀνυπαρξίαν τὸ πνεῦμα τὸ ἅγιον ἐκ τῆς ἀποφατικῆς ἐκείνης προσθήκης ἐκβάλλων. δοκεῖ μὲν γὰρ ἀπείργειν τὸ πνεῦμα τῆς φυσικῆς πρὸς τὸν πατέρα σχέσεως μόνον. αὐτὴν μέντοιγε τὴν ὕπαρξιν ἀναιρεῖ καθάπαξ τοῦ πνεύματος. Ποῖον τοίνυν ἐν τούτῳ τῷ λόγῳ τοιοῦτον τάξεως εἶδος ἐνέφηνεν ὁ διδάσκαλος, οἷον Λατῖνοι λέγουσιν; ἀλλ' οἷον ἡμεῖς λέγομεν, καὶ πάνυ καλῶς ἀνέδειξεν. οὐδὲ γὰρ δεῖ φησὶ προτάττεσθαι τοῦ υἱοῦ τὸ πνεῦμα, διότι γένοιτ' ἂν οὕτω μέσον πατρὸς καὶ υἱοῦ. καὶ εἴη ἂν οὕτω τὸ πνεῦμα υἱός. καὶ οὐκ ἂν εἴη μονογενὴς ὁ υἱός. οἱ δὲ Λατῖνοι ταῦτά τε οὐ συνορῶσι, καὶ τὴν τοῦ διδασκάλου ῥῆσιν προτείνοντες, μορμολύττονται τοὺς ἁπλουστέρους τῶν ἡμετέρων. ἀκούετε φασὶν, ὅπως ἡ περὶ τὴν τάξιν καινοτομία, τῆς πίστεώς ἐστιν ἄρνησις; οὐκοῦν ὑμεῖς καινοτομεῖτε περὶ τὴν τάξιν, ὥστε καὶ τὴν πίστιν ἀρνεῖσθε· ἀλλὰ ψεῦδός ἐστιν ὦ 'γαθοί, ὅτι περὶ τὴν τάξιν καινοτομοῦμεν ἡμεῖς. τρίτον γὰρ ἀπὸ πατρὸς ἀριθμοῦμεν καὶ νοοῦμεν τὸ πνεῦμα.

καὶ ὃν τρόπον παρελάβομεν δοξολογίας διαφυλάττομεν, κατὰ τὸν θεῖον φάναι Βασίλειον. ἅμα δὲ καὶ τὰς τῶν ὑποστάσεων ἰδιότητας, οὕτως ἀπαραλεύτως τηροῦμεν. καὶ τὴν ἐν αὐταῖς ἄκραν τῆς οὐσίας ἑνότητα συμπρεσβεύομεν. ὑμεῖς δὲ αἴτιον τοῦ υἱοῦ τὸ πνεῦμα λέγοντες, καὶ τὸν υἱὸν ἀρχὴν αὐτοῦ καὶ αἰτίαν, καινοτομεῖτε περὶ τὴν τάξιν· οὔτε γὰρ τὴν ἐκ τῶν διδασκάλων ἐπάγεσθε συμμαχίαν σαφῶς οὖσαν. οὔτε τὸ εἰκὸς ἔχετε μεθ' ἑαυτῶν. οὔτε πάσαις ἀνάγκαις εἰς ταύτην ἀφικνεῖσθε τὴν δόξαν, ἐκ τοῦ τὸ πνεῦμα τρίτον ἀριθμεῖσθαί τε καὶ νοεῖσθαι, ἡμῖν ἐπιδείκνυτε. καὶ περὶ τούτοις πρᾶγμα πράττετε τολμηρότατον. οὐδὲ γὰρ ἔξεστιν ὑμῖν τὸ ὄνομα τῆς τάξεως ἐκ τῶν διδασκάλων ἁρπάζουσι, τὸν τρόπον τῆς τάξεως οἴκοθεν ἐφευρέσκειν. ὑμῖν οὖν διὰ ταῦτα τὸ τῆς καινοτομίας ἔγκλημα πρέπει. οἳ καὶ κατὰ τὴν λέξιν καὶ τὴν διάνοιαν κεκαινοτομήκατε φανερῶς· ἡμῖν δὲ ποῦ τοῦτο προσήκει; οἳ καὶ τὴν τάξιν ὁμολογοῦμεν, καὶ περὶ τοῦ τρόπου τῆς τάξεως οὐδὲν περιεργαζόμεθα; ἀλλὰ τῇ τῶν διδασκάλων ὑφηγήσει μόνῃ στοιχοῦμεν, τὸ καινοτομεῖν τι περὶ τὴν τάξιν τῆς πίστεως, ἄρνησιν ἀκούοντές τε καὶ νομίζοντες εἶναι; καὶ ταῦτα μὲν ἀπὸ τῆς τοῦ μεγάλου Βασιλείου ῥήσεως. ὁ δὲ Νύσσης Γρηγόριος ἐν . ϛ̄ . τῶν κατ' Εὐνομίου.

Γρηγ. ὁ Νύσ.

„ Εἰ μὴ γὰρ εἰς τὸ δόγμα τῆς ἀληθείας ἑώρα φησὶν ὁ Εὐνόμιος, καὶ μόνῃ τῇ τάξει κατὰ τὸ ἀκόλουθον τῶν ἐν τῇ ἁγίᾳ Τριάδι πεπιστευμένων πραγμάτων τὴν διαφορὰν ἐλογίζετο, τῆς συμφυοῦς ταύτης (ὥς φησι) τάξεως ἀσυγχύτου ποιουμένης τὴν τῶν ὑποστάσεων κρίσιν, ὥστε καὶ κοινωνεῖν κατὰ τὴν οὐσίαν, καὶ διῃρεῖσθαι κατὰ τὸν τῆς ὑποστάσεως λόγον οἴεσθαι, οὐκ ἂν πάντως ἐν τοῖς ὑπεναντίοις ἐτέτακτο. ταῦτα λέγων, ὧν καὶ ἡμεῖς προϊστάμεθα. καὶ πάλιν ὁ αὐτός. „ Ἀλλ' οὐδέπω καὶ νῦν ταύτης ἠκούσαμεν τῆς σοφίας, ἢ τὸ δεύτερον καὶ τρίτον ἔκ τινος ἀκολουθίας λεγόμενον, εἰς τὴν τῶν ὑποκειμένων καὶ ὑποπεπτωκότων ἀπαιτεῖται τάξιν. [illegible] ὅπως βούλεται, τὴν τῆς παραδόσεως τῶν προσώπων ἀκολουθίαν, ἀξιωμάτων καὶ φύσεων ὑπεροχάς τε καὶ ἐλαττώσεις κατασκευάζων ἐνδείκνυσθαι. ὁ δὲ Κύριλλος ἐν . ζ. τῶν πρὸς Ἑρμείαν περὶ τοῦ πνεύματος οὕτω φησί.

Κύριλ.

„ Τοιγάρτοι διὰ τὸ τῆς οὐσίας

ταὐ-

ταὐτόν, ἐφήρμοσται μὲν τῷ Θεῷ καὶ πατρί, καίτοι τρίτη κατὰ μόνην τὴν τῶν ὀνομάτων τὴν σύνταξιν ἐκφερομένη παρ᾽ ἡμῖν ἡ τοῦ πνεύματος κλῆσις. ἐφήρμοσται δὲ τῷ υἱῷ. Καὶ μὴν ἐν τοῖς κατ᾽ Εὐνομίου λόγοις ὁ θεῖος Βασίλειος τὴν τάξιν, εἴς τε τὴν φυσικὴν καὶ τὴν ἐπιτετηδευμένην, εἴτουν τεχνικὴν διελών, καὶ οὕτω πρὸς Εὐνόμιον ἀπαντήσας, πᾶσαν τάξιν ὁριζόμενον δεῖσθαι τινὸς προτέρου τοῦ τάττοντος, τὸ μὲν πρῶτον τῆς τάξεως σημαινόμενον ἀποδίδωσι τοῖς θείοις προσώποις. καὶ φησί, Πῶς ἐστὶν εὔλογον ἀρνεῖσθαι τὴν τάξιν, ἐφ᾽ ὧν πρῶτον καὶ δεύτερον, οὐ κατὰ τὴν ἡμετέραν θέσιν, ἀλλ᾽ ἐκ τῆς κατὰ φύσιν ἐνυπαρχούσης ἀκολουθίας; εἶτα ἐπάγει. ἡμεῖς δὲ κατὰ μὲν τὴν τῶν αἰτίων πρὸς τὰ ἐξ αὐτῶν σχέσιν, προτετάχθαι τοῦ υἱοῦ τὸν πατέρα φαμέν. κατὰ δὲ τὴν τῆς φύσεως διαφοράν, οὐκέτι. Οὐ προστίθησι τοίνυν ἐνταῦθα, καὶ τὸν υἱὸν προτετάχθαι τοῦ πνεύματος, κατὰ τὴν ὁμοίαν σχέσιν. οὐχ ὅτι περὶ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ τό γε νῦν ἔχοι ἡ τῶν λόγων πρόθεσις ἦν. ἀλλ᾽ ὅτι μηδ᾽ ἀληθὲς οὕτω λέγειν. εἰ γὰρ καὶ πόῤῥω τοῦτο τῆς προθέσεως ἦν, οἰκείως ὅμως ἂν εἶχεν εἰρῆσθαι. οὐδὲ πολλῶν ἂν ἐδέησε λέξεων. ἀλλ᾽ εἰπών, προτετάχθαι τοῦ υἱοῦ τὸν πατέρα φαμέν, προστέθηκεν ἂν καὶ τὸν υἱὸν τοῦ πνεύματος. ὅτι δὲ κατὰ τὴν τῶν αἰτιατῶν πρὸς τὴν ἰδίαν αἰτίαν διάφορον σχέσιν τε καὶ ἀναφοράν, θάτερον τῶν αἰτιατῶν τοῦ λοιποῦ προτέτακται, τοῦτο σεσιώπηκεν, ὡς τοῖς εἰρημένοις καλῶς συναναφαινόμενον· εἰ γὰρ ἡ πρὸς τὸν υἱὸν τοῦ πατρὸς τάξις, ἐκ τῆς κατὰ φύσιν ἐνυπαρχούσης ἀκολουθίας ἐστίν, ὅτι τῷ λογισμῷ τοῦ αἰτιατοῦ προεπινοεῖται τὸ αἴτιον, σύνεστι δὲ ἀδιαστάτως ὁ υἱὸς τῷ πατρί, μηδὲ τῆς τῶν ὀνομάτων ἀκολουθίας, μήτοιγε τῆς τῶν πραγμάτων φύσεως, τὸν χωρισμὸν δεχομένης, εὔδηλον ὅτι καὶ ἡ πρὸς τὸ πνεῦμα τοῦ υἱοῦ τάξις, ἐκ τῆς κατὰ φύσιν ἀκολουθίας ἐστί. τοῦ γὰρ υἱοῦ κατὰ φύσιν καὶ ἀληθῶς τῷ πατρὶ συνημμένου τε προσεχῶς καὶ ἀδιαστάτως συντεταγμένου, τὸ πνεῦμα λοιπὸν ὡς ἕτερόν τινα τρόπον προϊὸν ἐκ τοῦ Θεοῦ, μετὰ τὸν υἱὸν ἀριθμεῖται. εἰ καὶ αὐτὸ φυσικῶς τε καὶ προσεχῶς ἐκ τῆς αὐτῆς αἰτίας ἴσχει. διὸ καὶ οὐδὲν ἧττον ἐστὶ μετὰ τοῦ υἱοῦ. τοῦτο δ᾽ [illegible] ἐν ἄλλοις ἐνδείκνυσιν ὁ μέγας οὗτος διδάσκαλος, λέγων, Μετὰ τὸν υἱὸν

Βασίλ.

Ὁ αὐτός.